[illegible]

ΕΡΜΕΙΟΥ ΣΩΖΟΜΕΝΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΙΣΤΟΡΙΑ.

SOZOMENI

ECCLESIASTICA HISTORIA.

EDIDIT

ROBERTUS HUSSEY, S. T. B.

NUPER

HISTORIÆ ECCLESIASTICÆ PROFESSOR REGIUS.

TOMUS II.

OXONII:

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.LX.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΕΙΟΥ ΣΩΖΟΜΕΝΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ Ε΄.

ΚΕΦ. Α΄.

Περὶ τῆς ἀποστασίας Ἰουλιανοῦ τοῦ παραβάτου, καὶ περὶ τῆς τελευτῆς βασιλέως Κωνσταντίου.

1 ΚΑΙ τὰ μὲν ὧδε ἀνὰ τὴν ἕω περὶ τὴν ἐκκλησίαν[a] συνέβη. Ἐν τούτῳ δὲ Ἰουλιανὸς ὁ Καῖσαρ, μάχῃ κρατήσας τῶν παρὰ τὸν Ῥῆνον ποταμὸν βαρβάρων, τοὺς μὲν ἐχειρώσατο, τοὺς δὲ ἐζώγρησε. Λαμπρὸς δὲ τηνικάδε φανεὶς, καὶ ὑπὸ μετριότητος καὶ ἐπιεικείας

[a] Ita B. Steph. Genev. τὰς ἐκκλησίας tacite Vales. *ecclesias* Epiphan. in Cassiod. H. T. v. 50.

VALESII INTERPRETATIO.

CAPUT I.

De defectione Juliani apostatæ; et de obitu imperatoris Constantii.

ET hujusmodi quidem res in Orientis partibus per ecclesias contigerunt. Interea vero Julianus Cæsar, victis prœlio barbaris qui Rhenum fluvium accolunt, multos eorum interfecit, alios vivos cepit. Qua ex re ingentem gloriam adeptus, cum ob modestiam ac morum lenitatem gratissimus esset militibus, Augustus ab iis-

κεχαρισμένος τοῖς στρατιώταις γεγονὼς, ἀναγορεύεται
2 *πρὸς αὐτῶν Σεβαστός. Μηδὲν δὲ περὶ τούτου, ὡς*
εἰκὸς, πρὸς Κωνστάντιον παραιτησάμενος, ἄρχοντας
μὲν τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας ἤμειβεν· ἐπίτηδες
δὲ καὶ τὰς ἐπιστολὰς ἐπεδείκνυ, δι' ὧν τοὺς βαρβά-
ρους καλῶν κατὰ[b] *Μαγνεντίου, εἰς Ῥωμαίους ἤγαγεν.*
Ἐξαπίνης δὲ τὴν θρησκείαν μεταβαλὼν, πρότερον
χριστιανίζειν δοκῶν, ἀρχιερέα ὠνόμαζεν ἑαυτὸν, καὶ
τοῖς Ἑλλήνων ναοῖς ἐφοίτα, καὶ ἔθυε, καὶ τοὺς ὑπη-
3 *κόους ὧδε θρησκεύειν ἔπειθε. Προσδοκωμένων δὲ*
Περσῶν Ῥωμαίοις ἐπιθήσεσθαι, καὶ διὰ τοῦτο ἐν
Συρίᾳ Κωνσταντίου διατρίβοντος, λογισάμενος ἀμα-
χητὶ δύνασθαι τῶν Ἰλλυριῶν κρατεῖν, εἴχετο τῆς ἐπ'
αὐτοὺς ὁδοῦ· πρόφασιν ποιούμενος, ὡς ἀπολογίας
χάριν ἐλαύνει πρὸς Κωνστάντιον, ὑπὲρ τοῦ μὴ ἑκὼν 178
δόξαι πρὸς τῶν στρατιωτῶν παρὰ γνώμην[c] *αὐτοῦ τὰ*
4 *σύμβολα τῆς βασιλείας καταδέχεσθαι. Λέγεται δὲ*
ἡνίκα πρὸ τῶν τῇδε ὅρων ἐπέβη, τὰς μὲν ἀμπέλους
μετὰ τρύγην ἀμφὶ τὴν τῶν πλειάδων δύσιν ὀμφάκων

[b] *μετὰ* J. Scal. [c] *γνώμην δὲ* C.

dem renuntiatur. Nullaque ob id factum excusatione usus, sicut par erat, apud Constantium; judices quidem ab eo promotos mutavit. Literas autem ejus de industria ostentavit, quibus ille barbaros ad bellum contra Magnentium invitans, in provincias Romanorum induxerat. Cumque antea Christianus fuisse videretur, repente mutata religione, semetipse pontificem maximum appellavit: et Gentilium templa ingrediens, diis sacrificavit, et subditis suadere cœpit ut eo ritu Deos colerent. Porro cum metus subesset ne Persæ in Romanorum ditionem irrumperent, atque idcirco Constantius in Syria moraretur, animadvertens Julianus se absque ullo prœlio Illyricum occupare posse, eo contendit: fingens se excusandi sui causa, ad Constantium iter facere, ne sua sponte præter illius voluntatem insignia imperii a militibus suscepisse videretur. Cæterum eo primum ingrediente in fines Illyriorum, aiunt vites quidem post tempus vindemiæ circa occasum Vergiliarum, uvis acerbis plenas subito apparuisse: rorem vero ex aëre

πλήρεις φανῆναι· τὴν δὲ ἀπὸ τοῦ ἀέρος δρόσον, δια-
χεθεῖσαν[d] κατὰ τῆς αὐτοῦ ἐσθῆτος καὶ τῶν ἑπομένων,
καθ' ἑκάστην σταγόνα σταυροῦ σημεῖον ἐντυπῶσαι.
5 Ἐδόκει δὲ αὐτῷ καὶ πολλοῖς τῶν συνιόντων[e], οἱ μὲν
βότρυες παρὰ καιρὸν φανέντες σύμβολον εἶναι ἀγα-
θόν· ἡ δὲ δρόσος, ἐκ παρατυχόντος ὧδε τὴν ἐσθῆτα
καταστίξαι καθ' ἧς ἔτυχε πεσοῦσα. Ἄλλοι δὲ ἔλεγον
τοῖν συμβόλοιν, τὸ μὲν, ἄωρον σημαίνειν ἀπολεῖσθαι
τὸν βασιλέα, ὀμφάκων δίκην, καὶ ὀλιγοχρόνιον ἔσε-
σθαι αὐτοῦ τὴν βασιλείαν· τὸ δὲ, προμηνύειν οὐράνιον
εἶναι τὸ δόγμα τῶν Χριστιανῶν, καὶ χρῆναι πάντας
τῷ σημείῳ[f] τοῦ σταυροῦ κατασημανθῆναι. Ὡς ἔοικε
δὲ, οἱ τἀναντία τῷ βασιλεῖ δοξάσαντες οὐ διήμαρτον
τῆς ἀληθείας· ἀμφότερα γὰρ εὐστόχως εἰρῆσθαι προ-
6 ϊὼν ὁ χρόνος ἀπέδειξεν. Ἐπεὶ δὲ ἐπύθετο Κωνστάν-
τιος ἐκστρατεύειν ἐπ' αὐτὸν Ἰουλιανὸν, καταλιπὼν
τὴν πρὸς τοὺς Πέρσας παρασκευὴν, ἐπὶ τὴν Κων-
σταντινούπολιν ἠπείγετο· ἡνίκα δὴ τὴν ὁδοιπορίαν
ποιούμενος, ἐτελεύτησεν ἐν Μόμψου[g] κρήναις, μεταξὺ

[d] διακεχεῖσαν B. [e] Mallem scribere συνόντων. VALESIUS.
[f] συμβόλῳ B. [g] Μόψου Socrat. et alii.

delapsum, tum in ejus chlamyde, tum in vestibus eorum qui ipsum sequebantur, signum crucis singulis guttis depinxisse. Et ipse quidem, comitumque ejus quamplurimi, uvas intempestive apparentes pro bono omine accipiebant. Rorem vero casu quodam fortuito vestes in quas ceciderat, ita depinxisse opinabantur. Alii dicebant, ex his duobus prodigiis, alterum quidem portendere, imperatorem immaturo exitu periturum, perinde ac uvas illas; regnumque illius brevi tempore duraturum esse. Alterum vero prædicere, Christianorum religionem cœlestem esse, cunctosque signo crucis consignari oportere. Ac meo quidem judicio, ii qui adversa imperatori augurabantur, a veritate minime aberrarunt. Utrumque enim felici conjectura ab illis dictum fuisse, progressus temporis declaravit. Constantius porro, cum Julianum bellum ipsi inferre didicisset, relicto belli apparatu adversus Persas, Constantinopolim contendit. Sed dum iter faceret, Mopsucrenis, qui

Κιλίκων καὶ Καππαδοκῶν τῶν πρὸς τῷ Ταύρῳ· ἔτη
ἀμφὶ τεσσαράκοντα καὶ πέντε γεγονώς· ἐξ ὧν τρισ-
καίδεκα[h] σὺν τῷ πατρὶ ἐβασίλευσε, πέντε δὲ καὶ εἴ-
7 κοσι μετ' ἐκεῖνον. Ἐπεὶ δὲ ἐτελεύτησεν, ὁ μὲν Ἰου-
λιανὸς ἤδη τὴν Θρᾴκην εἶχεν. Οὐκ εἰς μακρὰν δὲ
εἰς τὴν Κωνσταντινούπολιν ἐλθὼν, αὐτοκράτωρ ἀνη-
8 γορεύθη. Οἱ δὲ Ἕλληνες ἐλογοποίουν, ὡς καὶ πρὸ
τοῦ Γαλάτας ἀπολιπεῖν αὐτὸν, μαντικοὶ καὶ δαίμονες
ἐπὶ ταύτην τὴν ἐκστρατείαν ἐκίνησαν, τὸν Κωνσταν-
τίου θάνατον προμηνύσαντες, καὶ τὴν τῶν πραγμάτων
μεταβολήν. Ἦν δὲ ἄρα πιθανὸν πρόγνωσιν ταῦτα
καλεῖν, εἰ μὴ καὶ αὐτὸν ὅσον οὔπω τὸ τοῦ βίου τέλος
ἔφθασεν, ὡς ἐν ὀνείρῳ τῆς βασιλείας γευσάμενον.
9 Εὔηθες γὰρ οἶμαι λέγειν, ὡς διὰ τῆς μαντικῆς προ-
ϊδὼν τὴν αὐτόματον Κωνσταντίου τελευτὴν, καὶ τὴν
αὐτοῦ παρὰ Πέρσαις σφαγὴν, ἑκοντὴς εἰς προὖπτον
ἥλατο θάνατον· αὐτῷ μὲν, οὐδὲν ὅτι μὴ ἀβουλίας καὶ
ἀμαθοῦς στρατηγίας προσάψαντα[i] δόξαν παρὰ πολ-

[h] εἴκοσι μὲν σὺν J. Christ. Curt. [Vulc.; μὲν inconsulto om. Scal.]

[i] In Fuk. cod. προσάξαντα. Quam emendationem Christophorsonus etiam ac Savilius in margine adscripserunt. VALESIUS. [προσάξαντα Scal.]

locus est inter Cilices et Cappadoces qui Taurum accolunt, fato functus est: annos natus quinque et quadraginta. Ex quibus tredecim quidem una cum patre: quinque vero ac viginti post ejus obitum imperavit. Mortuo itaque Constantio, Julianus quidem jam Thraciam obtinebat. Verum paulo post ingressus Constantinopolim, imperator est appellatus. Cæterum Gentiles aiebant, eum, multo ante quam ex Galliis discederet, ad hanc expeditionem suscipiendam incitatum fuisse a vatibus atque dæmonibus, qui et Constantii mortem, et futuram rerum mutationem ei prædixerant. Posset id quidem non absurde vocari præscientia rerum futurarum, nisi ipsemet statim morte præventus fuisset, imperio velut in somnis dumtaxat degustato. Stultum enim, ut opinor, fuerit dicere, eum cum fatalem Constantii interitum, et suam ipsius cædem in Perside futuram per divinandi artem prævidisset, ultro ad mortem ante oculos positam properasse: quæ ipsi quidem nihil

λοῖς· τῇ δὲ Ῥωμαίων ὑπηκόῳ τοσοῦτον ἐπαγαγόντα κίνδυνον, ὡς μικροῦ πᾶσαν, ἢ τὸ πλεῖστον αὐτῆς, κινδυνεῦσαι ὑπὸ Πέρσαις γενέσθαι. Ἀλλὰ ταῦτα μὲν, ἵνα μὴ παραλελεῖφθαι δόξῃ, ὧδε εἰρήσθω ἡμῖν, καὶ ὅπῃ ἕκαστος βούλεται, ταύτῃ ἡγείσθω[k].

ΚΕΦ. Β΄.

Περὶ βίου καὶ ἀγωγῆς καὶ διαίτης, καὶ τῆς εἰς τὴν βασιλείαν παρόδου Ἰουλιανοῦ.

1 Κωνσταντίου δὲ τελευτήσαντος, εἰς δέος διωγμῶν
ἡ ἐκκλησία καθίστατο· καὶ φοβερωτέραν τῆς πείρας 179
τὴν προσδοκίαν ἐποιεῖτο τοῖς[1] Χριστιανοῖς, ὅ τε διὰ μέσου πολὺς χρόνος, ἀήθεις αὐτοὺς καταστήσας τῶν τοιούτων κινδύνων, καὶ τῶν πάλαι τιμωριῶν ἡ ἀνάμνησις, καὶ τὸ τοῦ κρατοῦντος περὶ τὸ δόγμα μῖσος.
2 Λέγεται γὰρ εὐθὺς περιφανῶς οὕτως ἀνέδην[m] ἀπαρνήσασθαι τὴν εἰς Χριστὸν πίστιν, ὡς θυσίαις τισὶ

k ἡμῖν—usque ad ἡγείσθω om. B. Steph. supplev. Christ. Scal. Curt. Vales.

1 τοῖς om. B.

m Ita B. Steph. Genev. Niceph. x. 3. ἀναίδην male Vales. qui item perinde reddit ac si scriptum esset ἀναιδῶς, secutus in hoc Epiphanium in Cassiod. H. T. vi. 2.

allatura esset, præter opinionem imprudentiæ atque imperitiæ rei militaris: Romano autem imperio tantum invectura esset periculum, ut parum abfuerit, quin universum, aut certe pars ejus maxima, Persis subjiceretur. Verum hæc quidem a nobis ita dicta sint, ne prætermissa esse videantur: singuli vero de iis statuant, prout voluerint.

CAPUT II.

De vita et institutione ac victu Juliani; et quomodo ad imperium pervenerit.

Post obitum autem Constantii, persecutionum metus ecclesiam invasit. Malique expectationem graviorem ipso malo faciebat Christianis, et longinquitas temporis elapsi, quæ ipsis oblivionem ac desuetudinem hujusmodi periculorum attulerat; et vetustorum cruciatuum recordatio, et odium principis in ipsorum religionem. Etenim statim ab initio fidem Christi adeo impudenter abnegasse

καὶ ἐπικλήσεσιν, ἃς ἀποτροπαίους Ἕλληνες καλοῦσι,
καὶ αἵματι σφαγίων τὴν καθ' ἡμᾶς βάπτισιν ἀπονί-
ψασθαι, τῇ μυήσει τῆς ἐκκλησίας ἀποταξάμενον· καὶ
τὸ ἐξ ἐκείνου, ἰδίᾳ τε καὶ δημοσίᾳ ἐντόμοις[n], καὶ ἱε-
ρείοις, καὶ τοῖς ὅσα θέμις ἐστὶν Ἕλλησι, χρῆσθαι.
3 Ποτὲ γοῦν αὐτῷ θεωμένῳ[o], λόγος ἀναδειχθῆναι σταυ-
ροῦ σημεῖον ἐν τοῖς σπλάγχνοις στεφάνῳ κυκλού-
μενον· καὶ τοὺς μὲν ἄλλους κοινωνοὺς τῆς μαντείας
εἰς δέος ἐμβαλεῖν, συμβάλλοντας ἐντεῦθεν τὴν μετὰ
ταῦτα τῆς θρησκείας ἰσχὺν, καὶ τοῦ δόγματος τὸ ἀΐ-
διον· καθότι ὁ στέφανος ᾧ περιείληπτο, νίκης τε
σημαντικόν ἐστι· καὶ τῇ περιόδῳ τοῦ κύκλου, πάντο-
θεν ἀρχόμενος, καὶ εἰς ἑαυτὸν λήγων, οὐδαμοῦ περαι-
4 οῦται. Ὅ γε μὴν ἀρχηγὸς τῆς περὶ ταῦτα διαγνώ-
σεως, θαρρεῖν ἐκέλευσεν[p], ὡς αἰσίων κατὰ[q] γνώμην
αὐτοῖς[r] τῶν σφαγίων ἀναδεικνυμένων, καὶ περικλειόν-
των τὸ τοῦ δόγματος σύμβολον, καὶ εἰς ταυτὸν συνω-
θούντων, ὥστε μὴ πλατύνεσθαι, καὶ ἀδεῶς χωρεῖν ἐφ'

[n] ἐντομίοις B. Steph. ἐν τομίοις Genev. ἐντόμοις Christ. Scal. Curt. Vales.
[o] γοῦν ἐν τῷ θυομένῳ J.
[p] ἐκέλευεν B.
[q] καὶ κατὰ emend. voluit Vales.
[r] Ita B. Vales. αὐτῆς Steph. αὐτοῦ Christ.

fertur, ut sacrificiis quibusdam atque invocationibus quas Græci depulsorias vocant, et victimarum sanguine, baptismum Christianorum eluerit, sacramentis ecclesiæ renuntians: atque ex eo tempore haruspicina, et victimis, et cæteris Gentilium ritibus, tum privatim, tum publice usus sit. Quodam igitur tempore cum exta inspiceret, aiunt signum crucis ei in extis apparuisse corona circumdatum. Et reliquos quidem divinationis illius conscios ac participes, metu perculsos esse, quippe qui religionis nostræ vim, et mansuram in perpetuum doctrinam ex eo conjicerent. Corona siquidem qua crux erat circumdata, signum est victoriæ: et undequaque exordium sumens, atque in se desinens, ambitu circuli nusquam terminatur. Verum doctor hujus scientiæ, imperatorem bono animo esse jussit. Exta enim fausta et ex animi sententia ipsis apparere, quippe quæ symbolum religionis Christianorum undique concluderent, atque in angustum coarctarent; ita ut nec

οὓς βούλεται, ὅρον ἔχοντα τὴν τοῦ κύκλου περιγρα-
5 φήν. Ἐπυθόμην δὲ ὡς καὶ τῶν ἐπισημοτάτων καὶ φοβερῶν ἀδύτων εἴς τι κατήει, τελετῆς τινὸς ἢ μαντείας χάριν· ἐξαπίνης δὲ προσβαλλόντων αὐτῷ τῶν ἐπὶ τούτοις μεμηχανευμένων, καὶ γοητείαις παραφαινομένων φασμάτων, ὑπὸ θορύβου καὶ δέους τῶν παρόντων ἐπιλανθανόμενος· ὀψὲ γὰρ τῆς ἡλικίας ἐπὶ τοιαύτην[a] ἦλθε τὴν μάθησιν· ἔλαθεν ὑπὸ τῆς προτέρας συνηθείας, οἷά γε Χριστιανὸς ἐν ἀπόροις κινδύνοις περιληφθεὶς, τῷ συμβόλῳ τοῦ Χριστοῦ κατα-
6 σημάνας ἑαυτόν. Αὐτίκα τε φροῦδα τὰ φάσματα ἐγένετο, καὶ τὸ σπουδαζόμενον ἐμπεπόδιστο. Ἀπορούμενος δὲ περὶ τούτου ὁ μυσταγωγὸς, ἐπειδὴ ἔγνω τὸ αἴτιον τῆς φυγῆς τῶν δαιμόνων, ἄγος τὸ γεγονὸς ἀποκαλέσας, καὶ ἀνδρεῖον εἶναι, καὶ μηδὲν πρᾶξαι ἢ ἐννοῆσαι Χριστιανικὸν παρακελευσάμενος, αὖθις ἐπὶ
7 τὴν τελετὴν αὐτὸν ἦγεν. Οὐ μετρίως δὲ ἐλύπει τοὺς Χριστιανοὺς καὶ περιδεεῖς ἐποίει ἡ περὶ ταῦτα σπουδὴ τοῦ βασιλέως, καὶ μάλιστα ὅτι Χριστιανὸς ἦν πρό-

[a] ἐπὶ ταύτην J. Christ. Scal.

dilatari, nec libere quo vellet evagari posset, utpote ambitu circuli circumscripta. Audivi præterea, eum aliquando in illustrissimum quoddam ac religiosum adytum descendisse, initiationis cujusdam, aut certe oraculi consulendi causa. Cumque repente spectra, quæ machinationibus quibusdam et magicis præstigiis in ejusmodi locis apparere solent, ei objecta essent, præ terrore ac metu, oblitus eorum quæ gerebantur: jam enim adulta ætate ad eam disciplinam se transtulerat: ex pristina consuetudine, utpote Christianus, in gravissimo discrimine constitutus, imprudens signo crucis seipsum consignavit. Statimque spectra evanuerunt, et id quod perficere volebant, impeditum est. Sacrorum autem antistes ea re perturbatus, postquam didicit quam ob causam dæmones aufugissent, piaculum esse dixit id quod ab imperatore factum erat: hortatusque ut forti animo esset, nec Christianum quidquam aut ageret, aut cogitaret, eum rursus ad peragendum sacrum deduxit. Porro Christianis non mediocrem dolorem ac metum incutiebat,

τερον. Εὐλαβῶν γὰρ περὶ τὴν θρησκείαν πατέρων
γενόμενος, ἐκ νέου ἐμυήθη κατὰ τὸν θεσμὸν τῆς ἐκ-
κλησίας, καὶ τὰς ἱερὰς γραφὰς ἐπαιδεύθη, καὶ ὑπὸ
ἐπισκόποις καὶ ἐκκλησιαστικοῖς ἀνδράσιν ἐτράφη.
8 Γέγονε γὰρ αὐτῷ καὶ Γάλλῳ πατὴρ Κωνστάντιος,
ὁμοπάτριος ἀδελφὸς Κωνσταντίνου τοῦ βασιλεύσαν- 180
τος, καὶ Δαλματίου, οὗ παῖς ὁμώνυμος Καῖσαρ ἀνα-
δειχθεὶς ἀνηρέθη ὑπὸ τῶν στρατιωτῶν μετὰ τὴν
Κωνσταντίνου τελευτήν· ὀρφανοὶ δὲ πατρὸς γενό-
μενοι καὶ αὐτοὶ τότε, Δαλματίῳ συναπολέσθαι ἐκιν-
9 δύνευον. Ἐξείλετο δὲ τῆς ἐπιβουλῆς Γάλλον μὲν, ὅτι
νοσῶν ἔτυχε, καὶ ὅσον οὔπω αὐτομάτως τεθνήξεσθαι
προσεδοκήθη· Ἰουλιανὸν δὲ τὸ νέον· ἔτι γὰρ ὄγδοον
ἡλικίας ἦγεν ἔτος. Παραδόξως δὲ ὧδε διασωθέντες,
προσετάχθησαν ἐν Καππαδοκίᾳ διατρίβειν ἐν Μα-
κέλλῳ. Χωρίον δὲ τοῦτο βασιλικὸν πρὸς τῷ Ἀργέῳ
ὄρει, οὐκ ἀπὸ πολλοῦ τῆς Καισαρέων πόλεως, μεγαλο-
πρεπῆ τε βασίλεια ἔχον, καὶ λουτρὰ καὶ κήπους, καὶ
10 πηγὰς ἀεννάους. Ἔνθα δὴ θεραπείας καὶ ἀγωγῆς

studium principis erga hujusmodi superstitionem, ac præcipue quod Christianus ante exstitisset. Nam cum parentibus Christianæ religioni addictissimis ortus esset, a puero juxta ecclesiæ ritum initiatus et sacris literis institutus; sub episcopis denique et ecclesiasticis viris educatus fuerat. Ipsi enim et Gallo pater fuit Constantius, germanus frater Constantini imperatoris, atque Dalmatii: cujus filius eodem nomine nuncupatus Dalmatius, cum Cæsar renuntiatus fuisset, post obitum Constantini a militibus est interfectus. Quo quidem tempore ipsi quoque patre orbati, parum abfuit quin perirent una cum Dalmatio. Sed Gallum quidem periculo exemit morbus quo tum laborabat, et quo propediem moriturus putabatur: Julianum vero ætas tenera. Octavum enim ætatis annum nondum exegerat. Ita præter omnium spem atque opinionem servati, in Cappadocia degere jussi sunt in Macello. Villa hæc est publica, ad Argæum montem sita, haud procul ab urbe Cæsarea, quæ ad magnificum habet palatium, et lavacra et hortos et fontes perpetuos. Illic ambo regali cultu educati sunt

βασιλικῆς ἠξιοῦντο, καὶ μαθήμασι καὶ γυμνασίοις
τοῖς καθ' ἡλικίαν ἐχρῶντο, καὶ λόγων διδασκάλοις,
καὶ τοῖς ὑφηγηταῖς τῶν ἁγίων γραφῶν· ὡς καὶ κλήρῳ
ἐγκαταλεγῆναι, καὶ ὑπαναγινώσκειν τῷ λαῷ τὰς ἐκ-
11 κλησιαστικὰς βίβλους. Οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν
ἠθῶν καὶ τῶν ἔργων, τὴν εὐσέβειαν ἐπεδείκνυντο·
περὶ πολλοῦ ποιούμενοι τοὺς ἱερέας, καὶ τοὺς ἄλλως[s]
ἀγαθοὺς, καὶ περὶ δόγμα[t] σπουδαίους, τοῖς τε εὐκτη-
ρίοις οἴκοις θαμίζοντες, καὶ ταῖς προσηκούσαις τιμαῖς
12 τὰς τῶν μαρτύρων θήκας γεραίροντες. Τηνικαῦτα
γοῦν φασὶν αὐτοὺς, σπουδάζοντας μεγίστῳ περιλα-
βεῖν οἴκῳ τὸν τάφον Μάμα τοῦ μάρτυρος, εἰς ἀμφο-
τέρους μερίσαι τὸ ἔργον· ἁμιλλωμένου δὲ ἑκατέρου
φιλοτιμίᾳ καὶ τιμῇ ὑπερβάλλεσθαι τὸν ἕτερον, παρά-
δοξον συμβῆναι καὶ παντελῶς ἄπιστον, εἰ μὴ πολλοὶ
τῶν ἀκηκοότων παρὰ τῶν τεθεαμένων μέχρι καὶ εἰς
13 ἡμᾶς περιῆσαν. Τὸ μὲν γὰρ Γάλλου μέρος ἐπεδίδου,
καὶ κατὰ γνώμην προὐχώρει· τῶν δὲ Ἰουλιανοῦ πο-
νημάτων, τὰ μὲν ἠρείπωτο· τὰ δὲ ἐκ τῆς γῆς ἀνε-

[s] ἄλλους J. Christ. Scal. [t] τὸ δόγμα B. C.

atque instituti: ibi disciplinis et exercitationibus, ipsorum ætati convenientibus imbuti: ibi denique ab humaniorum artium magistris, et a doctoribus sacrarum literarum ita sunt eruditi, ut in clerum ascriberentur, et ecclesiasticos libros populo prælegerent. Moribus quoque et factis pietatem præ se ferebant: quippe qui tum sacerdotes, tum reliquos viros bonos et Christianæ doctrinæ studiosos, plurimi facerent; ecclesias crebro adirent, et martyrum sepulcra competenti honore venerarentur. Eo igitur tempore, aiunt illos sepulcrum Mamæ martyris amplissima basilica circumdare studentes, opus inter se partitos esse. Dumque alter alterum magnificentia et cultu superare contenderet, rem admirabilem prorsusque incredibilem accidisse, nisi multi nostra adhuc ætate superessent, qui rem ipsam ab illis qui eam viderant, acceperunt. Nam pars quidem operis quæ Gallo obvenerat, attollebatur, et ex animi procedebat sententia. Ex operibus autem Juliani, alia corruebant; alia ex fundamentis sursum propellebantur; alia ne solo

δίδοτο· τὰ δὲ παραυτίκα συνάπτεσθαι πρὸς τὸ ἔδαφος οὐκ ἠνείχετο, οἷά γε ἐξ ἀντιτύπου καὶ βιαίου τινὸς δυνάμεως κάτωθεν ἀντωθούσης ἀνακρουόμενα. Πᾶσι
14 δὲ εἰκότως τεράστιον ἐδόκει τὸ πρᾶγμα. Καὶ τοῖς μὲν πολλοῖς τῇ ἀποβάσει ἐκρίθη. Οἱ δὲ ἐξ ἐκείνου συνέβαλον, μὴ ὑγιῶς ἔχειν τὸν ἄνδρα περὶ τὴν θρησκείαν, ἀλλ' εὐσεβεῖν πλάττεσθαι, πρὸς[u] Χριστιανὸν ὄντα τὸν τότε κρατοῦντα ὑποκρινόμενον, καὶ εἰς τὸ προφανὲς ἐξάγειν τὴν γνώμην οὐκ ἀσφαλὲς ἡγούμενον.
15 Προὔδωκε δὲ, ὡς λέγεται, τὴν πατρῴαν θρησκείαν, συνουσίαις μάντεων ὑπαχθεὶς τὰ πρῶτα. Μετὰ χρόνον γάρ τινα παυσαμένου Κωνσταντίου τῆς ὀργῆς, Γάλλος μὲν εἰς τὴν Ἀσίαν ἐλθὼν, ἐν Ἐφέσῳ διέτρι- 181
βεν, ἔνθα δὴ τὰ πλείω τῆς οὐσίας εἶχεν. Ἰουλιανὸς δὲ, εἰς Κωνσταντινούπολιν ἐπανελθὼν, τοῖς ἐκεῖσε διδασκάλοις ἐφοίτα· φύσεως δὲ εὖ ἔχων, καὶ τοῖς μαθήμασι ῥᾳδίως ἐπιδιδοὺς, οὐκ ἐλάνθανεν. Ἐν ἰδιώτου γὰρ σχήματι[x] τὰς προόδους ποιούμενος, πολλοῖς συνεγίνετο. Ἐπεὶ[y] δὲ οἷα φιλεῖ, ἐν ὁμίλῳ καὶ βασιλευ-

[u] Ita C. πρὸς om. ceteri. δέει δὲ τοῦ κρατοῦντος Niceph.
[x] τάγματι J. Scal. [y] ἐπειδὴ δὲ C.

quidem cohærere ab initio sustinebant, non secus ac si contraria quadam vi deorsum obsistente retruderentur. Et omnibus quidem ea res prodigio similis visa est. Multi vero, quid portenderet, ex eventu judicaverunt. Sed nonnulli ex eo conjecturam ceperunt, illum haudquaquam sincero animo erga religionem esse, verum præ metu principis qui tum temporis Christianus esset, pietatem fingere; parum tutum esse existimantem, sententiam suam in apertum proferre. Porro paternam religionem prodidisse dicitur, vatum familiaritate et colloquiis primum inductus. Nam aliquanto post ira Constantii placata, Gallus quidem in Asiam profectus, Ephesi mansit: quo in loco majorem partem rei familiaris sitam habebat. Julianus vero Constantinopolim reversus, magistrorum qui illic erant auditoria frequentavit. Qui cum egregia indole præditus esset, et in disciplinis magnos progressus faceret, haudquaquam in obscuro delituit. Privato enim habitu in publicum

οὔσῃ πόλει, ἀδελφὸς ὢν τοῦ κρατοῦντος, καὶ πράγματα
διοικεῖν ἱκανὸς εἶναι φαινόμενος, προσεδοκᾶτο βασι-
λεύειν, καὶ πολὺς[z] περὶ αὐτοῦ τοιοῦτος ἐκράτει λόγος,
16 προσετάχθη ἐν Νικομηδείᾳ διάγειν. Ἐνταῦθα περι-
τυχὼν αὐτῷ Μάξιμος ὁ Ἐφέσιος φιλόσοφος, φιλο-
σόφων αὐτῷ λόγων καθηγητὴς ἐγένετο, καὶ μίσους
τῆς Χριστιανῶν θρησκείας· καὶ οἷα μάντις, ἀληθὲς
εἶναι ἰσχυρίζετο τὸ περὶ αὐτοῦ θρυλλούμενον[a]. Ὁ δὲ,
τοῦτο δὴ τὸ[b] πολλοῖς συμβαῖνον, ἐν ὑπονοίᾳ δυσχε-
ρῶν πραγμάτων ταλαιπωρούμενος[c], βουκοληθεὶς αἱ-
17 σίαις ἐλπίσι, φίλον ἔσχε τὸν Μάξιμον. Τῷ βασιλεῖ
δὲ τούτων μηνυθέντων, δείσας[d] ἐν χρῷ ἐκείρατο, καὶ
τὸν μοναχικὸν ἐπλάττετο βίον· λάθρα δὲ τῆς ἑτέρας
εἴχετο θρησκείας. Ἐπειδὴ δὲ εἰς ἄνδρας ἤδη προῄει,
18 ἑτοιμότερον ὑπήχθη, καὶ ἐπτοεῖτο[e] περὶ τάδε. Θαυ-

[z] πολλοῖς B.

[a] Lege θρυλούμενον.

[b] δὴ τοῖς πολ. C. Steph. Genev. corr.

[c] Scribendum puto ταλαιπωρουμένοις. Refertur enim ad id quod præcessit, τοῦτο δὴ τοῖς πολλοῖς συμβαῖνον, seu potius τὸ πολλοῖς συμβαῖνον, ut legitur in codice Fuketiano. Hoc est, *quemadmodum plerisque evenire solet, qui calamitatum metu cruciantur, spe rerum secundarum illectus, Maximum in amicorum numero habuit.* VALESIUS.

[d] δείσας om. B.

[e] Ita B. et Vales. e cod. Fuk. ἐποιεῖτο Steph. Genev.

procedens, cum plurimis familiariter versabatur. Sed quoniam, ut in populi multitudine et in regia civitate fieri solet, tanquam frater patruelis imperatoris, et rebus gerendis idoneus, brevi ad imperium perventurus sperabatur; multique hujusmodi sermones de illo passim spargebantur, jussus est Nicomediæ degere. Illic Maximus Ephesius philosophus ei occurrens, et philosophiam eum docuit, et odium religionis Christianæ: atque ut vates, ei affirmavit verum esse quod de illo vulgi sermonibus ferebatur. Ille, ut plerumque evenire solet hominibus qui imminentium calamitatum metu afflictantur, melioris fortunæ spe illectus, Maximum in familiaritatem suam adscivit. Quibus imperatori nuntiatis, timore perculsus comam rasit, et monasticum vivendi genus simulavit: clam vero Gentilium superstitionem amplexus est. Posthæc jam virilem ingressus ætatem, promptius ad hæc ferri, eaque agere

μάζων τε εἴ τίς ἐστι τέχνη προσημαίνουσα τὸ μέλλον, καὶ ἀναγκαίαν ἡγούμενος τὴν ταύτης μάθησιν, ὧν μὴ δεῖ Χριστιανοῖς εἰς πεῖραν προήχθη· καὶ τὸ ἐξ ἐκείνου τοῖς ταῦτα μετιοῦσιν ἐχρῆτο φίλοις. Ὧδε δὲ[f] *ἔχων γνώμης, ἧκεν εἰς Ἀσίαν ἀπὸ Νικομηδείας· καὶ συγγενόμενος ἐκεῖσε τοιούτοις, προθυμότερος περὶ ταῦτα*
19 *γέγονεν. Ἐπεὶ δὲ Γάλλος ὁ αὐτοῦ ἀδελφὸς, Καῖσαρ καταστὰς, μηνυθεὶς νεωτερίζειν ἀνῃρέθη, ὑπολαβὼν Κωνστάντιος καὶ αὐτὸν ἔρωτι βασιλείας κατέχεσθαι, ὑπὸ φυλακῆς*[g] *εἶχεν. Ἐξαιτησαμένης δὲ αὐτὸν Εὐσεβείας*[h] *τῆς γαμετῆς Κωνσταντίου, παραιτησάμενος αὐτὸν, ἀπεδήμησεν εἰς Ἀθήνας· προφάσει μὲν τῶν Ἑλληνικῶν πόνων καὶ παιδευτηρίων*[i]*· ὡς δὲ λέγουσι, κοινωσόμενος τοῖς ἐκεῖσε μάντεσι περὶ τῶν κατ' αὐτόν.*
20 *Μετακαλεσάμενος δὲ αὐτὸν ἐνθένδε Κωνστάντιος, Καίσαρα κατέστησε· κατεγγυήσας τε αὐτῷ πρὸς γάμον Κωνσταντίαν τὴν αὐτοῦ ἀδελφὴν, ἐπὶ τοὺς πρὸς δύσιν Γαλάτας πέπομφεν. Οἱ γὰρ βάρβαροι, οὓς*

[f] Malim scribere ὧδε δή. Sic enim Græci loqui solent. VALESIUS.

[g] φυλακὴν C.

[h] Εὐσεβίας B. Εὐσεβία Socrat. Niceph.

[i] [Vales. et Reading inconsulto παιδευτερίων.]

cœpit. Artem igitur, si qua illa est, quæ res futuras prædicit, ingenti admiratione suspiciens, ejusque notitiam necessariam sibi esse existimans, experimentum cepit earum rerum quæ Christianis interdictæ sunt. Ex eo tempore eos qui artem istam profiterentur, in amicorum habuit numero. Cum igitur eo animo esset, relicta Nicomedia in Asiam perrexit, et cum ejusmodi viris illic congressus, ardentiore studio in eas artes incubuit. Cæterum cum frater ipsius Gallus Cæsar res novas moliri delatus, eamque ob causam interfectus fuisset, suspicatus Constantius Julianum quoque imperandi cupiditate ardere, sub custodia eum tenuit. Verum cum Eusebia uxor Constantii pro illo deprecata esset, ipse venia a Constantio impetrata, Athenas profectus est: specie quidem, ut Græcas disciplinas perdisceret, et scholas frequentaret: re vera tamen, ut vates illic degentes de rebus suis consuleret. Verum paulo post Constantius eum inde accersitum, Cæsarem renuntiavit: desponsaque ei Constantia sorore sua, cum in Gallias

αὐτὸς πρότερον[j] κατὰ Μαγνεντίου ἐμισθώσατο[k] εἰς
συμμαχίαν, οὐδὲν ὄφελος εἰς τοῦτο γενόμενοι, τοὺς
21 Γαλάτας ἐδῄουν. Ἐπεὶ δὲ ἔτι νέος ἦν, τοῖς ἑπομένοις
αὐτῷ στρατηγοῖς τὰ πρακτέα ἐπέτρεψε. Τῶν δὲ ῥα-
θυμούντων, αὐτὸς ὡς ἐνῆν ὁ Καῖσαρ τοῦ πολέμου
προενόει· καὶ τοὺς στρατιώτας προθυμοτέρους περὶ
τὴν μάχην κατέστησεν, ἄλλως τε παρακινδυνεύειν 182
προτρέπων, καὶ ῥητὸν μισθὸν τάξας ἑκάστῳ βάρ-
βαρον ἀναιροῦντι. Κεχαρισμένος δὲ τοῖς στρατιώταις
ἐντεῦθεν[l] γενόμενος, ἐδήλωσε Κωνσταντίῳ τὴν τῶν
22 στρατηγῶν ῥαστώνην. Ἀποσταλέντος δὲ ἑτέρου, συμ-
βαλὼν τοῖς βαρβάροις, καλῶς ἔπραξε. Τῶν δὲ περὶ
σπονδῶν πρεσβευομένων, καὶ ἐπιστολὰς Κωνσταντίου
προϊσχομένων, μετακαλουμένου σφᾶς ἐπὶ τὴν Ῥω-
μαίων γῆν, ἐπίτηδες ἀποπέμψαι μελλήσας[m] τὸν τάδε
πρεσβευόμενον, ἀδοκήτως τῷ πλήθει τῶν πολεμίων
ἐπελθὼν, ἐνίκησε. Λέγεται δὲ Κωνστάντιον ἐπιβου-
λεύοντα αὐτῷ, τοῦτον ἐπιτρέψαι τὸν πόλεμον. Ἐμοὶ

j πρώην J.
k εἰς συμμαχίαν ἐμισθώσατο B.
l ἐνταῦθα B. Steph. Genev. corr. Christ. Scal.
m Ita C. Niceph. μελήσας B. Steph. Genev. Vales.

misit. Etenim barbari quos ipse paulo antea ad auxilium sibi ferendum contra Magnentium mercede conduxerat; cum nullum sui usum in eo bello præbuissent, Gallos populabantur. Et quoniam Julianus adhuc juvenis erat, ducibus ipsum comitantibus rerum curam commisit Constantius. Qui dum segnius agerent, ipsemet Cæsar pro virili parte belli curam suscepit: et milites ad pugnandum alacriores reddidit, tum aliis modis eos incitando ut periculis sese objicerent, tum certa mercede proposita ei qui barbarum interfecisset. Quam ob causam acceptus militibus ducum suorum desidiam Constantio per literas indicavit. Altero igitur magistro militum misso, cum barbaris congressus, rem feliciter gessit. Cumque illi legatos de pace misissent, et literas ostenderent Constantii, quibus ipsos in Romanorum ditionem evocaverat, ipse legatum qui ea de re venerat, dimittere de industria cunctatus, magnam hostium multitudinem inopinato adortus devicit. Aiunt porro Constantium insidias Juliano struentem, bellum istud

23 δὲ οὐ πιθανὸν εἶναι τοῦτο δοκεῖ. Ὧι γὰρ ἐξῆν μηδὲ Καίσαρα τὴν ἀρχὴν ποιεῖν αὐτὸν, τί καὶ ἐποίει, καὶ τὴν ἀδελφὴν ἐδίδου γαμετὴν, καὶ μεμφομένῳ περὶ τῶν ῥαθύμων στρατηγῶν ὑπήκουε, καὶ σπουδαῖον ἀντὶ τούτων ἐξαπέστειλεν, ὅπως κατορθώσῃ[m] τὸν πόλεμον, εἰ μὴ φίλος ἐτύγχανεν; ἀλλ' ὡς συμβάλλω, τὴν μὲν ἀρχὴν εὔνους ὢν αὐτῷ Κωνστάντιος, Καίσαρα κατέστησεν· ἐπεὶ δὲ παρὰ γνώμην αὐτοῦ Σεβαστὸς ἀνεκηρύχθη, ἢ δεδιὼς ἀνθ' ὧν αὐτὸν καὶ τὸν ἀδελφὸν νέους ὄντας ἠδίκησεν, ἢ φθονῶν, ὡς εἰκὸς, ἐπὶ τῇ ὁμοίᾳ τιμῇ, ἐπεβούλευεν αὐτῷ διὰ τῶν πρὸς τὸν Ῥῆνον βαρβάρων. Ἀλλὰ τάδε μὲν ἄλλοις ἄλλως δοκεῖ.

ΚΕΦ. Γ'.

Ὅτι καταστὰς εἰς τὴν βασιλείαν Ἰουλιανὸς, ἠρέμα πῶς τὰ τῶν Χριστιανῶν ἀνακινεῖν ἤρξατο, καὶ τὸν Ἑλληνισμὸν τεχνηέντως εἰσάγειν.

1 Ἐπεὶ δὲ μόνος εἰς τὴν βασιλείαν κατέστη, καὶ ἀνὰ τὴν ἕω τοὺς Ἑλληνικοὺς ναοὺς[n] ἀνέῳξε, καὶ τοὺς ἡμε-

[m] Ita B.C. Niceph. κατορθῶσι Steph. Genev. Vales.

[n] ναοὺς om. Steph. τοὺς ν. Ἑλλ. Christ. Curt.

ei gerendum commisisse: quod tamen mihi nequaquam videtur probabile. Nam cum ei liceret illum ne Cæsarem quidem initio facere, quid causæ est cur fecerit, cur sororem suam illi in matrimonium dederit, cur de ducum desidia conquerenti morem gesserit, et eorum loco alium strenuum miserit ut victoriam de hostibus reportaret, nisi benevolo erga illum animo affectus fuisset? verum, ut equidem conjicio, initio quidem Constantius cum eum benevole complecteretur, Cæsarem nuncupavit. Sed postquam præter ipsius sententiam Augustus renunciatus esset; seu metu, eo quod ipsum ac fratrem adhuc adolescentes injuria affecerat; seu invidia, ut videtur, impulsus, eo quod parem ipsi honoris gradum consequutus esset, barbarorum qui Rhenum accolunt opera, insidias ei comparavit. Verum de his rebus alii aliter sentiunt.

CAPUT III.

Quomodo Julianus ad imperium evectus, res Christianorum sensim labefactare, et Gentilium superstitionem callide instaurare cœpit.

Ubi vero solus imperio potitus est, in Orientis quoque partibus

λημένους ἐπισκευάζεσθαι, τοὺς δὲ καταλυθέντας ἀνα-
νεοῦσθαι, καὶ τοὺς βωμοὺς ἀνίστασθαι προσέταξε·
καὶ πολλοὺς αὐτοῖς ἐξεῦρε[o] φόρους· ἔθη τε παλαιὰ,
καὶ τὰ πάτρια τῶν πόλεων, καὶ τὰς θυσίας ἀνενέωσεν.
2 Αὐτός τε ἀναφανδὸν δημοσίᾳ ἔσπενδε, καὶ ἔθυε[p], καὶ
τοὺς περὶ ταῦτα σπουδάζοντας ἐν πολλῇ τιμῇ ἐποι-
εῖτο· μύσταις τε καὶ ἱερεῦσιν, ἱεροφάνταις τε καὶ τοῖς
τῶν ξοάνων θεραπευταῖς, τὰς παλαιὰς τιμὰς ἀπέδωκε·
καὶ τὰ παρὰ τῶν πρόσθεν βασιλέων νενομοθετημένα
ἐπ' αὐτοῖς ἐκύρωσε· λειτουργιῶν τε, καὶ τῶν ἄλλων
ὧν[q] πρὶν εἶχον, τὴν ἀτέλειαν ἐπεψηφίσατο· καὶ τὰ
ἀφαιρεθέντα τῶν νεωκόρων σιτηρέσια ἀπέδωκε. Καὶ 185
καθαροὺς εἶναι ἀπὸ τροφῶν διεκελεύετο, καὶ ὅσον
ἀπέχεσθαι προσῆκε τὸν[r], ὡς Ἕλληνες λέγουσιν, ἁγι-
3 στεύειν προειρημένον[s]. Προσέταξε δὲ καὶ τὸν πῆχυν

[o] ἐφεῦρε Cod. Fuk. Valesii.

[p] ἔθυε καὶ ἔσπενδε B. Steph. Genev. ordinem tacite mutavit Vales.

[q] Mallem dicere ὧς πρὶν εἶχον etc. Vulgata tamen lectio ferri potest. VALESIUS.

[r] τῶν, et προειρημένων B. Steph. Genev.

[s] Hujus loci emendationem debemus codici Leonis Allatii, in quo ita scribitur: τὸν, ὡς ἕλ-ληνες λέγουσιν, ἁγιστεύειν προηρημένον. VALESIUS. ἀγχιστεύειν B. J. Christ. Curt. Scal., quod videtur legisse Nicephorus nec intellexisse. ἀρχιστεύειν Steph. Genev. Vid. Annot.

Gentilium templa aperuit. Et ea quidem quæ neglecta fuerant sarciri; eversa vero refici; et aras extrui jussit. Multaque eis vectigalia constituit. Priscos etiam ritus, et patrias urbium cæremonias ac sacrificia renovavit. Ipse palam ac publice diis immolans, victimas ac libamenta offerens, eos qui istarum rerum studiosi essent, in honore habebat. Sacrorum præterea initiatoribus, flaminibus, hierophantis, et simulacrorum ministris pristinos honores restituit; et quæ a superioribus imperatoribus in eorum gratiam constituta fuerant confirmavit; immunitatem quoque a functionibus publicis, et ab aliis oneribus, sicut antea habuerant, iis decrevit. Ad hæc annonas æditiuis templorum ablatas reddidit. Jussitque ut a cibis abstinerent, et ab aliis omnibus, a quibus temperare convenit eos, qui, ut Gentiles loquuntur, in castu esse volunt. Præcepit etiam, ut cubitus Nili, et sacra symbola juxta

τοῦ Νείλου, καὶ τὰ σύμβολα, καὶ τὰ παλαιὰ[t] πάτρια
κομίζεσθαι πρὸς τὸν Σάραπιν. Κατὰ πρόσταξιν γὰρ
4 Κωνσταντίνου[u] τῇ ἐκκλησίᾳ προσεφέρετο. Τῷ δὲ
κοινῷ τῶν πόλεων πολλάκις ἔγραφεν· εἰ μὲν[x] πρὸς
Ἑλληνισμὸν τετραμμένας ἔγνω, προτρέπων αἰτεῖν ἃς
βούλονται δωρεάς· ταῖς δὲ χριστιανιζούσαις προφα-
νῶς[y] ἀπηχθάνετο, μήτε ἐπιδημεῖν αὐτὸς[z] ἀνεχόμενος,
μήτε πρεσβευόντων περὶ τῶν λυπούντων τὰς πρε-
5 σβείας[a] δεχόμενος. Ἀμέλειτοι προσδοκωμένων τότε
Περσῶν ἐπιστρατεύειν, πρεσβευομένοις περὶ τούτου
Νισιβηνοῖς, ὡς παντελῶς χριστιανίζουσι, καὶ μήτε
τοὺς ναοὺς ἀνοίγουσι, μήτε[b] εἰς τὰ ἱερὰ φοιτῶσιν,
ἠπείλησε μὴ βοηθεῖν, μήτε πρεσβείαν δέχεσθαι, καὶ
ὡς ἐναγοῦς τῆς αὐτῶν πόλεως μὴ ἐπιβήσεσθαι πρό-
τερον, εἰ μὴ πύθοιτο εἰς Ἑλληνισμὸν μεταβαλόντας.
6 Παραπλήσια δὲ καὶ τοῖς ἐν Παλαιστίνῃ Κωνσταντι-
εῦσιν ἐγκαλῶν, προσένειμε Γαζαίοις τὸν αὐτῶν πόλιν.

[t] παλαιὰ om. cod. Fuk.
[u] Κωνσταντίου J. Scal.
[x] μὲν correct. e μὴ B.
[y] περιφανῶς B.
[z] αὐταῖς Niceph.
[a] πρεσβείαις B.
[b] μήτε additum in marg. ab ead. manu, B.

morem majorum ad templum Serapidis deferrentur. Nam ex præcepto imperatoris Constantini, deportabantur ad ecclesiam. Scribebat frequenter civitatibus: eas quidem quas Gentilium superstitioni deditas esse cognoverat, ultro adhortans ut peterent quicquid donari sibi vellent. Illas vero quæ Christianam religionem colerent, palam aversabatur: nec ipse eas adire sustinens, nec legatos earum admittens, si quando de incommodis suis conquererentur. Denique cum Persarum irruptio eo tempore exspectaretur, Nisibenis qui legatos ea de re ad ipsum miserant, eo quod Christiani omnes essent, ac neque templa deorum aperirent, neque ad sacra accederent, minatus est se nec opem laturum, nec legationem admissurum esse, nec in ipsorum urbem, utpote sceleratam, pedem prius illaturum, quam ipsos ad Gentilium religionem se transtulisse didicisset. Constantiensibus quoque in Palæstina idem crimen objiciens, urbem eorum Gazæis contribuit. Hanc

Ταύτην γὰρ τὴν Κωνσταντίαν, ὡς ἐκ τῶν πρόσθεν
ἔγνωμεν, ἐπίνειον Γαζαίων οὖσαν καὶ Μαϊουμᾶν προσ-
αγορευομένην, μαθὼν Κωνσταντῖνος ἐς τὰ μάλιστα
τὴν Χριστιανῶν θρησκείαν πρεσβεύειν, ἀξίᾳ πόλεως
ἐτίμησε, καὶ Κωνσταντίῳ τῷ παιδὶ ἐπωνόμασε, καὶ
καθ' ἑαυτὴν πολιτεύεσθαι διετάξατο· λογισάμενος
ἄδικον εἶναι, τελεῖν ὑπὸ Γαζαίοις ἐς ἄγαν Ἑλληνί-
7 ζουσιν. Ἐπεὶ δὲ εἰς τὴν βασιλείαν παρῆλθεν Ἰουλι-
ανὸς, δίκην ἔλαχον οἱ Γαζαῖοι τοῖς Κωνσταντιεῦσι.
Καὶ δικαστὴς καθίσας αὐτὸς προσένειμε Γάζῃ τὴν
Κωνσταντίαν, ἀμφὶ τοὺς εἴκοσι σταδίους διεστῶσαν·
καὶ τὸ ἐξ ἐκείνου τῆς προτέρας ἀφαιρεθεῖσα προση-
γορίας, παραθαλάττιον μέρος τῆς Γαζαίων πόλεως
8 ὀνομάζεται. Κοινοὶ δὲ αὐτοῖς πολιτικοὶ ἄρχοντες, καὶ
στρατηγοὶ, καὶ τὰ δημόσια πράγματα. Μόνα δὲ τὰ
περὶ τὴν ἐκκλησίαν εἰσέτι καὶ νῦν δύο πόλεις δείκνυ-
σιν· ἑκατέρα γὰρ ἰδίᾳ ἐπίσκοπον καὶ κλῆρον ἔχει, καὶ 184
πανηγύρεις μαρτύρων, καὶ μνείας τῶν παρ' αὐτοῖς
γενομένων ἱερέων, καὶ ὅρους τῶν πέριξ ἀγρῶν, οἷς τὰ
ἀνήκοντα ἑκατέρᾳ ἐπισκοπῇ θυσιαστήρια διορίζεται.

enim urbem Constantiam, uti supra retulimus, cum navale esset Gazæorum, et Maiuma prius diceretur, Constantinus Christianæ religioni impense deditam esse intelligens, civitatis jure donaverat, et filii sui Constantii nomine appellatam, separatim rempublicam habere præceperat: iniquum esse ratus, ut Gazæis Græcorum superstitioni supra modum addictis contributa esset. Verum ubi Julianus ad imperium pervenit, Gazæi adversus Constantienses litem moverunt. Ipse vero in ea causa judex sedens, Gazæis Constantiam adjudicavit, viginti circiter stadiis ab ea dissitam. Atque exinde priore spoliata vocabulo, maritima pars urbis Gazæ appellatur. Ac civiles quidem magistratus, et duumviri, et respublica ambabus communis est. Quod vero ad ecclesiam pertinet, ea solum parte duæ urbes etiamnum videntur. Utraque enim suum seorsum habet episcopum, suum clerum: dies item festos martyrum suorum, et commemorationes episcoporum qui ipsis præfuerunt: vicinorum denique agrorum limites, quibus ecclesiæ ad

9 Τῶν οὖν καθ' ἡμᾶς ἐπισκόπων τις τῆς Γαζαίων πόλεως, τετελευτηκότος τοῦ προεστῶτος τῆς Μαϊουμιτῶν ἐκκλησίας, ἐσπούδασεν ἀμφοτέρους τοὺς κλήρους ὑφ' ἑαυτὸν ποιῆσαι, μὴ θεμιτὸν εἶναι λέγων, μιᾶς πόλεως δύο ἐπισκόπους προεστάναι. Ἀντειπόντων δὲ τῶν Μαϊουμιτῶν[b], διέγνω ἡ τοῦ ἔθνους σύνοδος, καὶ ἕτερον ἐχειροτόνησεν ἐπίσκοπον· πάντως προσήκειν δοκιμάσασα, τοὺς δι' εὐσέβειαν δικαίων πόλεως ἀξιωθέντας, διὰ δὲ κρίσιν Ἑλληνιστοῦ βασιλέως ἄλλως πράξαντας, ἐν ἱερωσύναις καὶ τάξει ἐκκλησιῶν μὴ χρῆναι ἀφαιρεῖσθαι τῶν δοθέντων γερῶν. Ἀλλὰ ταῦτα μὲν ὕστερον ὧδε ἀπέβη.

ΚΕΦ. Δ'.

Οἷα κακὰ Καισαρεῦσιν ὁ Ἰουλιανὸς διεπράξατο· καὶ περὶ τῆς παρρησίας Μάρι τοῦ ἐπισκόπου Χαλκηδόνος.

1 Περὶ δὲ τὸν αὐτὸν χρόνον[c], καὶ τὴν πρὸς τῷ Ἀργαίῳ[d] Καισάρειαν, μεγάλην καὶ εὐδαίμονα, καὶ μητρόπολιν οὖσαν τοῦ Καππαδοκῶν κλίματος, ἐκ τοῦ

b [Μαϊουμητῶν codd. et editt.]
c ἐπὶ δὲ τῶν αὐτῶν χρόνων C. d Ἀργάῳ B.

utrumque episcopatum pertinentes distinguuntur. Nostra igitur ætate quidam episcopus urbis Gazæ, mortuo episcopo Maiumitanorum, utrumque clerum adunare ac sibi subjicere conatus est, nefas esse dicens ut unius urbis duo essent episcopi. Sed cum Maiumitani contradicerent, synodus provinciæ, causa cognita, alterum episcopum ordinavit: prorsus æquum esse judicans, ut qui pietatis causa jus civitatis adepti fuissent, sed pagani principis sententia eo jure excidissent, in iis saltem quæ ad sacerdotium et ecclesiasticum ordinem spectant, concessis sibi præmiis nequaquam spoliarentur. Verum hæc postea, ad hunc quem dixi modum, contigerunt.

CAPUT IV.

Quantis malis Cæsarienses affecerit Julianus: et de fiducia Maris Chalcedonensis episcopi.

Per idem tempus Julianus imperator, Cæsaream ad montem Argæum sitam, urbem amplam atque opibus abundantem, et to-

καταλόγου τῶν πόλεων ἐξήλειψεν ὁ βασιλεύς· καὶ
τῆς ἐπωνυμίας τοῦ Καίσαρος ἀφείλετο, ἧς πάλαι ἔτυ-
χεν ἐπὶ Κλαυδίου Καίσαρος, Μάζακα τὸ[e] πρῶτον
2 ὀνομαζομένη. Ἐμίσει γὰρ καὶ πρότερον ἐξαίσιον μῖ-
σος τοὺς αὐτῆς οἰκήτορας, ὡς πανδημεὶ χριστιανίζον-
τας, καὶ πάλαι καθελόντας τοὺς παρ' αὐτοῖς νεὼς,
πολιούχου Διὸς, καὶ πατρῴου Ἀπόλλωνος· ἐπεὶ δὲ
καὶ τὸ τῆς Τύχης, ὃ[f] μόνον περιελείφθη, αὐτοῦ[g] βα-
σιλεύοντος πρὸς τῶν Χριστιανῶν ἀνετράπη, δεινῶς
3 ἀπηχθάνετο πάσῃ τῇ πόλει, καὶ ἐδυσφόρει. Καὶ Ἕλ-
ληνας μὲν, τοὺς ὄντας εὐαριθμήτους μάλα, ἐμέμφετο,
ὡς μὴ ἐπαμύνοντας, καὶ, εἰ παθεῖν ἔδει τι, προθύμως
4 ὑπὲρ τῆς Τύχης ὑπομείναντας. Πάντα δὲ τὰ κτήματα
καὶ τὰ χρήματα τῶν ἐν Καισαρείᾳ καὶ ὑπὸ τοὺς αὐ-

[e] Scribendum proculdubio est Μάζακα τὸ πρῶτον ὀνομαζομένη. Nam Cæsarea Cappadociæ, prius Mazaca vocabatur, ut tradunt geographi. Quod vocabulum a Syris inditum mihi videtur, quorum coloni sunt Cappadoces, ut testatur Herodotus. VALES. Μάζα κατὰ τὸ B. Steph. Genev. Μάζα quoque Niceph.

[f] Rectius in codice Fuketiano legitur τὸ τῆς τύχης ὃ μόνον etc. Quam scripturam Christophorsonus etiam ac Savilius in quibusdam codicibus repererant. Subaudiendum autem est ἱερόν. VALESIUS. Ita B. [Vulc.]; τὸν, et ὃς Steph. Genev. scilicet ναός.

[g] Pro αὐτοῦ, τοῦ B.

tius Cappadociæ metropolim, ex albo civitatum expunxit: et cognomentum Cæsaris ei ademit, quod olim regnante Claudio meruerat, cum Mazaca prius diceretur. Nam et antea ejus civitatis incolas gravissimo odio prosequebatur, propterea quod omnes pene Christiani essent, et quod duo apud ipsos templa, Jovis scilicet præsidis urbis, et Apollinis patrii, jampridem destruxissent. Ubi vero templum Genii publici, quod solum supererat, se regnante a Christianis eversum esse didicit, gravissima indignatione commotus est adversus universam civitatem. Ac Gentiles quidem qui illic erant admodum pauci, incusavit quod ad opem ferendam non accurrissent, et si quid periculi subeundum erat pro Genii defensione, alacri animo non pertulissent. Omnes vero opes ac possessiones ecclesiarum, tam quæ in urbe Cæsarea, quam quæ in vicinis locis essent, tormentis exquiri, et in medium proferri jus-

τῆς ὅρους ἐκκλησιῶν, ἐρευνώμενα μετὰ βασάνων, εἰς
μέσον φέρεσθαι προσέταξεν· αὐτίκα δὲ τριακοσίας
λίτρας χρυσοῦ τῷ ταμιείῳ[g] ἐκτίσαι· κληρικοὺς δὲ πάν-
τας ἐγγραφῆναι τῷ καταλόγῳ τῶν ὑπὸ τὸν ἄρχοντα
τοῦ ἔθνους στρατιωτῶν· ὃ δαπανηρὸν εἶναι σφόδρα
καὶ ἐπονείδιστον ἐν ταῖς τῶν Ῥωμαίων στρατιαῖς νο-
5 μίζεται. Τὸ δὲ πλῆθος τῶν Χριστιανῶν σὺν γυναιξὶ
καὶ παισὶν ἀπογράψασθαι, καὶ καθάπερ ἐν ταῖς κώ-
μαις φόρους τελεῖν· ἔνορκον δὲ ἠπείλησεν, ὡς εἰ μὴ
τάχος τὰ ἱερὰ ἀνεγείρωσιν, οὐ παύσεται μηνιῶν, καὶ
κακοποιῶν τὴν πόλιν· καὶ οὐδὲ τὰς κεφαλὰς συγχω-
ρήσει τοὺς Γαλιλαίους ἔχειν· ὧδε γὰρ ἐπιτωθάζων
6 καλεῖν εἴωθε τοὺς Χριστιανούς. Ἐξέβη δ' ἂν ἴσως
εἰς ἔργον ἡ ἀπειλὴ, εἰ μὴ θᾶττον ἐτελεύτησεν. Ἐπεὶ
καὶ παρὰ τὴν ἀρχὴν, οὐκ ἐλεῶν τοὺς Χριστιανοὺς,
φιλανθρωπότερος ἐφάνη τῶν πρόσθεν διωξάντων τὴν
ἐκκλησίαν· ἀλλ' ἐκ τῶν φθασάντων εὑρὼν οὐδὲν
ὄφελος εἶναι τιμωριῶν εἰς σύστασιν Ἑλληνισμοῦ·
ταύτῃ δὲ μάλιστα τὰ Χριστιανῶν ηὐξῆσθαι, καὶ ἐν-
δοξότερα γεγενῆσθαι τῇ ἀνδρείᾳ τῶν διὰ τὸ δόγμα

g [ταμείῳ codd. et editt. Cf. supr. ad i. 11, 7.]

sit. Et confestim quidem trecentas auri libras fisco inferri: universos autem clericos referri in album officii rectoris provinciæ: quod quidem genus militiæ onerosum, et inter Romanos milites vile atque inhonestum existimatur. Vulgus vero Christianorum una cum uxoribus et liberis describi, et perinde ac in pagis, tributa pendere præcepit. Addito quoque jurejurando minatus est, nisi quamprimum templa instaurassent, se urbi succensere eamque opprimere non destiturum: ac ne permissurum quidem ut Galilæi, sic enim Christianos per ludibrium vocabat, capita sua retinerent. Ac fortasse ad opus ipsum pervenissent minæ, nisi morte præreptus fuisset. Nam et initio imperii, clementiorem se præbuit iis qui prius ecclesiam persecuti fuerant, non quod Christianos misereretur: sed quoniam ex præteritis rebus deprehenderat, nihil prodesse supplicia ad confirmandam Gentilium religionem: immo vero res Christianorum ea potissimum ratione

7 ἀποθανεῖν ἑλομένων. Ὅθεν δόξης αὐτοῖς φθονῶν, οὐ φειδόμενος, πυρὶ μὲν χρῆσθαι[h], ἢ σιδήρῳ, ἢ τοῖς τοῦ σώματος αἰκισμοῖς, ἢ τῷ καταποντῶσαι καὶ ζῶντας[i] κατορύττειν, ἃ τὸ πρὶν ἐσπουδάζετο, οὐκ ἀναγκαῖον εἶδεν εἰς μετάστασιν γνώμης· λόγῳ δὲ καὶ παραινέσεσι πείθειν[k] ἡγεῖτο τὰ πλήθη εἰς Ἑλληνισμὸν μεταβαλεῖν· καὶ τοῦ σκοποῦ περιέσεσθαι ῥᾳδίως, εἰ[l] βιάσασθαι μὴ ἀξιώσας, ἐκ παραδόξου φιλάνθρωπός τις
8 εἶναι δόξει περὶ αὐτούς. Λέγεται γοῦν θυομένῳ[m] αὐτῷ ἐν Κωνσταντινουπόλεως Τυχείῳ προσελθόντα Μάριν τὸν Χαλκηδόνος ἐπίσκοπον, ἀσεβῆ τε δημοσίᾳ

h Ita C. ut conjecerat Valesius. χρῆσθαι om. ceteri.

i ζῶνας B.

k παραινέσεσι ἢ πειθοῖ C. πειθοῖ habet Niceph.

l Hunc locum correxi ex cod. Fuk. εἰ βιάσασθαι; quam scripturam nemo, ut opinor, in dubium revocabit. VALESIUS. [Ita, ut ex interpretatione videtur, Christ.] οὐ βιασ. B. Steph. Genev.

m Cod. Fuk. πειθομένῳ. Christophorsonus autem et Savilius θυομένῳ emendarunt, et τυχείῳ pro τειχίῳ. Atque ita legit Epiphanius Scholasticus et Nicephorus. Nam Epiphanius quidem sic vertit, *Cum Constantinopoli apud Fortunam sacrificaret urbis etc.* Nicephorus autem x. 20, sic habet: ἐν τῇ βασιλικῇ τῇ τῆς Κωνσταντινουπόλεως ἐπέθυε τύχῃ. Ex quo conjicere licet, Nicephorum in hoc Sozomeni loco legisse ἐπιθυομένῳ, non ut editum est πυθομένῳ. VALESIUS. θυομένῳ C., ut Christ. et Curt. conjecerant.; πυθομένῳ, et τειχίῳ editt. τῷ Κωνστ. τειχείῳ B. Conf. Socrat. iii. 12, qui dixerat Julianum in peragendis sacris Fortunæ versatum esse, fine cap. 11.

auctas esse, multoque quam prius illustriores exstitisse, ob fortitudinem eorum qui religionis causa mortem oppetere non dubitassent. Quocirca invidens gloriæ Christianorum, non autem iis parcens, nequaquam necessarium esse existimavit ad eos de sententia deducendos, igne ac ferro et corporum cruciatibus uti, nec in mare demergere, aut vivos humi defodere, quod a superioribus fuerat factitatum. Sed populos ratione atque exhortationibus inducendos esse censuit, ut ad Gentilium religionem se conferrent: seque id quod cupiebat facile assecuturum, si omissa vi, præter omnium expectationem clementer se erga eos gerere videretur. Porro quadam die, cum in templo Genii publici Constantinopoli sacrificaret, Maris Chalcedonensis episcopus eum adiisse dicitur,

ὑβρίσαι, καὶ ἄθεον καὶ παραβάτην ἀποκαλέσαι[n]· τὸν δὲ, μόνην αὐτῷ ὀνειδίσαι τὴν τύφλωσιν· ὑπὸ χειραγωγῷ γὰρ ἐληλύθει[o], γέρων ὢν, καὶ τοὺς ὀφθαλμοὺς
9 ὑποκεχυμένος. Ἐπεὶ δὲ καὶ ἐπισκώπτων, οἷά περ εἰώθει, εἰς τὸν Χριστὸν βλασφημῶν, Οὐδὲ ὁ Γαλιλαῖός σου Θεὸς, εἶπε, θεραπεύσει σε· ὑπολαβὼν Μάρις, Ἀλλ' ἐγὼ χάριν ἔχω τῷ Θεῷ μου τῆς τυφλώσεως, ἔφη, ἵνα μή σε θεάσωμαι τῆς εὐσεβείας ἐκπεπτωκότα. Καὶ ὁ βασιλεὺς μηδὲν ἀποκρινόμενος παρέδραμεν. Ὤιετο γὰρ ταύτῃ μᾶλλον Ἑλληνισμὸν κρατύναι, ἀνεξίκακον καὶ πρᾶον ἀδοκήτως τῷ πλήθει τῶν Χριστιανῶν ἑαυτὸν ἐπιδεικνύς.

ΚΕΦ. Ε'. 186

Ὅτι ἀνῆκε τοῖς καθειργμένοις Χριστιανοῖς τὴν ἐλευθερίαν, ἵνα μᾶλλον ἡ ἐκκλησία τάρασσοιτο· καὶ ὅσα κακὰ κατὰ Χριστιανῶν ἐπενόει.

1 Ταῦτα δὲ σπουδάζων, πᾶσι μὲν τοῖς ἐπὶ Κωνσταν-

[n] Cod. Fuk. ἀποστάτην προσειπεῖν, quemadmodum Christophorsonus et Savilius in suis codicibus invenerunt. VALESIUS. Idem Curt. [et Vulc.]

[o] προεληλύθει B. Steph. Genev. corr. Christ. [Vulc.] Vales.

et tanquam impium palam contumelia affecisse, denique hostem et desertorem fidei appellasse. Julianus vero solam ei exprobravit cæcitatem. Etenim senex suffusione oculorum laborans, manu pueri deductus accesserat. Sed cum more solito irridens, et in Christum blasphemans dixisset; nunquam profecto Galilæus Deus tuus te sanabit: respondens Maris, At ego, inquit, gratias ago Deo meo, quod luminibus orbatus sum, ne te videam qui a pietate excidisti. Imperator vero nihil respondens, prætergressus est. Hoc enim pacto se Gentilium superstitionem confirmaturum esse existimabat, si multitudini Christianorum patientem se ac mitem præter exspectationem ostenderet.

CAPUT V.

Qualiter Julianus Christianis vinctis libertatem restituerit, eo consilio ut ecclesiæ turbarentur: et quanta mala in Christianos excogitaverit.

Hæc igitur mente agitans, eos quidem qui regnante Constantio

τίου φυγαδευθεῖσι διὰ θρησκείαν, ἀνῆκε τὴν φυγὴν, καὶ τοῖς δημευθεῖσι νόμῳ τὰ σφέτερα ἀπέδωκε· τοῖς δὲ δήμοις προηγόρευε[p], μηδένα ἀδικεῖν τῶν Χριστιανῶν, μηδὲ ὑβρίζειν, μηδὲ ἄκοντας πρὸς θυσίαν ἕλκειν· τοὺς δὲ ἑκοντὶ τοῖς βωμοῖς προσιόντας, πρότερον ἐξιλεοῦσθαι οὓς Ἕλληνες καλοῦσιν ἀποτροπαίους δαίμονας, καὶ καθαίρεσθαι καθαρσίοις οἷς ἔθος αὐτοῖς.
2 Κληρικοὺς μέντοι πᾶσαν ἀτέλειαν καὶ τιμὴν καὶ τὰ σιτηρέσια ἀφείλετο Κωνσταντίου[q]· καὶ τοὺς ὑπὲρ αὐτῶν κειμένους νόμους ἀνεῖλε, καὶ τοῖς βουλευτηρίοις ἀπέδωκε. Μέχρι τε παρθένων καὶ χηρῶν, τὰς δι' ἔνδειαν ἐν τοῖς κλήροις τεταγμένας εἰσπράττεσθαι προσ-
3 έταξεν ἃ πρὶν παρὰ τοῦ δημοσίου ἐκομίσαντο. Ἡνίκα γὰρ Κωνσταντῖνος τὰ τῶν ἐκκλησιῶν διέταττε πράγματα, ἐκ τῶν ἑκάστης πόλεως φόρων τὰ ἀρκοῦντα πρὸς παρασκευὴν ἐπιτηδείων ἀπένειμε τοῖς πανταχοῦ κλήροις, καὶ νόμῳ τοῦτο ἐκράτυνεν, ὡς καὶ[r] νῦν κρατεῖ, ἐξ οὗ τέθνηκεν Ἰουλιανὸς ἐπιμελῶς φυλαττό-
4 μενος[s]. Ὠμοτάτην δὲ καὶ χαλεπωτάτην τήνδε γενέ-

p προσηγόρευε Scal. [et, ut videtur, Christ.]

q Legendum est Κωνσταντίνου, [quod adnot. Christ.] V. Annot.

r ὃς καὶ J. Christ.

s φυλαττόμενον Christ. Scal.

in exsilium pulsi fuerant, exsilio liberavit; proscriptis vero, lege lata, facultates suas restituit. Populis autem civitatum palam interdixit, ne quem Christianorum aut injuria afficerent, aut contumelia, neve invitos ad sacrificandum traherent. Sed ut qui sua sponte ad aras accederent, prius placarent eos dæmonas quos pagani Averruncatores vocant; et expiationibus quæ ipsis usitatæ sunt, purgarentur. Et clericis quidem immunitatem omnem atque honorem, et annonas a Constantio præbitas ademit: legesque in eorum gratiam latas abrogavit: ipsos denique curiis restituit. A mulieribus etiam ob egestatem clero ascriptis, ab ipsis quoque virginibus ac viduis ea quæ ex publico acceperant, exigi jussit. Nam cum Constantinus ecclesiarum statum ordinaret, ex tributis singularum civitatum, partem quæ ad alimenta paranda sufficeret, clero cujusque urbis distribuit, idque lege lata confirmavit: quæ quidem lex etiamnum manet, ex eo tempore quo Julianus est mortuus, diligenter custodita. Hanc porro exactionem crudelis-

σθαι φασὶ τὴν εἴσπραξιν. Μαρτυρεῖ δὲ καὶ τὰ τότε παρὰ τῶν πρακτόρων[r] γενόμενα γραμματεῖα τοῖς εἰσπραχθεῖσιν, εἰς ἀπόδειξιν τῆς ἀναδόσεως ὧν εἰλή-
5 φεσαν κατὰ τὸν Κωνσταντίνου νόμον. Οὐκ ἐν τούτοις δὲ μόνον ἵστατο ἡ τοῦ κρατοῦντος περὶ[s] τὴν θρησκείαν ἀπέχθεια· σπουδῇ δὲ τοῦ πρὸς τὸ δόγμα μίσους, οὐδὲν εἶδος παρέλιπεν εἰς καθαίρεσιν τῆς ἐκκλησίας· χρήματά τε καὶ τὰ ἀναθήματα[t], καὶ τὰ ἱερὰ σκεύη ἀφαιρούμενος· τούς τε καταβληθέντας νεὼς ἐπὶ τῆς Κωνσταντίνου καὶ Κωνσταντίου ἡγεμονίας βιαζόμενος τοὺς καθελόντας ἀνοικοδομεῖν, ἢ τὰς ὑπὲρ αὐτῶν ἀποτιμήσεις ἐκτιννύειν. Ἐκ δὲ τούτων, μηδέτερον ἐπιτελεῖν δυνάμενοι, προσέτι δὲ καὶ τὴν ἀναζήτησιν[u] τῶν ἱερῶν χρημάτων, ἱερεῖς τε καὶ κλη- 187
ρικοὶ καὶ τῶν ἄλλων Χριστιανῶν πολλοὶ χαλεπῶς
6 ἐβασανίζοντο, καὶ δεσμωτηρίοις ἐνεβάλλοντο. Ὥστε πανταχόθεν συμβάλλειν[x] ἐστὶν, φόνων μὲν ἕνεκα καὶ περινοίας τῶν εἰς τὸ σῶμα τιμωριῶν, μετριώτερον

[r] Emendavi ex cod. Fuk. et Leon. Allat. παρὰ τῶν πρακτόρων. VALESIUS. Ita B. Niceph. τῶν πατέρων Steph. Genev.

[s] πρὸς τὴν C.

[t] καὶ ἀναθήματα B.

[u] ἀνὰ τὴν ζήτησιν Christ. κατὰ τὴν ἀναζήτησιν voluit Vales. Vid. Annott.

[x] συμβαλεῖν B.

simam ac molestissimam fuisse ferunt. Testantur id tabulæ, ab exactoribus tunc traditæ iis qui solvere compulsi fuerant, quibus ostenderetur reddidisse illos ea quæ ex Constantini lege acceperant. Nec tamen hic stetit odium principis adversus religionem Christianam. Verum ut erat infenso in hanc doctrinam animo, nullum noscendi [nocendi] genus prætermisit, quo ecclesiam subverteret. Nam et opes earum, et donaria ac sacra vasa ademit: et deorum templa quæ principatu Constantini et Constantii destructa fuerant, ab iis ipsis qui ea destruxerant, instaurari coegit, aut pretia eorum persolvi. Has ob causas, cum neutrum istorum præstare possent, ac præterea sacræ opes studiose perquirerentur, episcopi simul et clerici, et ex plebe Christianorum non pauci, gravissimis tormentis subditi, et in carcerem conjecti sunt. Undecumque igitur conjicere licet, quod quidem ad cædes et ad novos corporum cruciatus attinet, cum leniorem fuisse illis qui ecclesias

αὐτὸν γενέσθαι τῶν πρὸ τοῦ διωξάντων τὴν ἐκκλη-
σίαν· ἐν δὲ τοῖς ἄλλοις χαλεπώτερον. Φαίνεται γὰρ
ἐν πᾶσιν αὐτὴν κακῶς[y] ποιήσας· πλὴν ὅτι τοὺς ἀλ-
λοτρίαν οἰκεῖν καταδικασθέντας ἱερέας ἐπὶ τῆς Κων-
7 σταντίου βασιλείας μετεκαλέσατο. Λέγεται δὲ μὴ
φειδοῖ τῇ περὶ αὐτοὺς ταῦτα προστάξαι· ἀλλ' ὥστε,
ἢ ὑπὸ τῆς πρὸς ἀλλήλους ἔριδος ἐμφυλίῳ μάχῃ πο-
λεμεῖσθαι τὴν ἐκκλησίαν, καὶ τῶν οἰκείων διαμαρτεῖν
θεσμῶν· ἢ Κωνστάντιον διαβάλλων. Ὤιετο γὰρ
σχεδὸν πρὸς πᾶν τὸ ὑπήκοον καὶ τελευτήσαντι τού-
τῳ μῖσος κατασκευάζειν, τοὺς μὲν Ἑλληνιστὰς ὡς
ὁμόφρονας θεραπεύων· τοὺς δὲ διὰ Χριστὸν ἐπ' ἐκεί-
8 νου κακῶς παθόντας, ὡς ἠδικημένους, ἐλεῶν. Ἀμέ-
λειτοι καὶ τοὺς εὐνούχους, ὡς αὐτῷ καταθυμίους, τῶν
βασιλειῶν ἐξέβαλεν. Εὐσέβιον δὲ τὸν μείζονα τῆς
βασιλικῆς αὐλῆς θανάτῳ ἐζημίωσε. Καὶ ἰδίᾳ γὰρ
αὐτῷ λύπη τις ἦν πρὸς τοῦτον, καθότι Γάλλον τὸν
ἀδελφὸν τῇ αὐτοῦ ἐπιβουλῇ ἀνῃρῆσθαι ὑπώπτευεν.
9 Ἀέτιον δὲ τὸν ἀρχηγὸν τῆς Εὐνομίου αἱρέσεως, ὑπὸ
Κωνσταντίου ὑπερορίαν φυγὴν καταδικασθέντα, καὶ

[y] καλῶς Scal.

antea fuerant persecuti; in reliquis vero acerbiorem. Etenim omni ex parte ecclesiam vexasse deprehenditur: nisi quod episcopos qui regnante Constantio relegati fuerant, ab exsilio revocavit. Istud tamen non miseratione impulsus jussisse dicitur; sed ut ex mutuis inter illos contentionibus, ecclesia civili bello conflictaretur, et a suis institutis descisceret; vel certe ut Constantium probro afficeret. Odium enim omnium fere Romanorum in illum, licet mortuum, se concitaturum esse sperabat, si paganos quidem, utpote idem cum ipso sentientes, foveret: eos vero qui illo regnante, propter Christum male mulctati fuissent, miseratione prosequeretur. Quin et eunuchos, eo quod illi cari fuissent, palatio ejecit. Eusebium vero præpositum palatii, morte mulctavit. Nam et privatim illi erat infensus, eo quod Gallum fratrem ejus consilio interfectum esse suspicabatur. Sed et Aëtium auctorem sectæ Eunomianorum, qui a Constantio ob id relegatus fuerat, et alio-

ἄλλως ὕποπτον διὰ τὴν πρὸς Γάλλον ὁμιλίαν, εὐμενῶς εὖ μάλα[y] γράψας προσεκαλέσατο πρὸς αὐτὸν, δημόσια ὑποζύγια δεδωκώς. Ἐκ τοιαύτης δὲ αἰτίας καὶ Ἐλεύσιον τὸν Κυζίκου ἐπίσκοπον ὑπὸ βαρυτάτῳ ἐπιτιμίῳ προσέταξε τότε, ταῖς αὐτοῦ δαπάναις ἐν δύο μόνοις μησὶν ἀνοικοδομῆσαι τὴν Ναυατιανῶν ἐκκλησίαν ἣν ἐπὶ Κωνσταντίου καθεῖλεν. Καὶ ἄλλα δὲ πολλὰ ἂν εὕροι τὶς, ἃ διὰ μῖσος τοῦ πρὸ αὐτοῦ ἡγεμονεύσαντος, τὰ μὲν αὐτὸς ἐποίησε, τὰ δὲ ἄλλων ποιούντων ἠνέσχετο.

ΚΕΦ. ς'.

Ὅτι καὶ Ἀθανάσιος τότε ἐπὶ χρόνοις ἑπτὰ παρὰ παρθένῳ σώφρονι καὶ ὡραίᾳ κρυπτόμενος, ἀνεφάνη, καὶ τῆς Ἀλεξάνδρου ἐπέβη.

1 Ἐν δὲ τῷ τότε καὶ Ἀθανάσιος τὸν πρὸ τούτου χρόνον λανθάνων ὅπῃ διέτριβεν, ἀγγελθείσης τῆς Κωνσταντίου τελευτῆς, ἀνεφάνη νύκτωρ ἐν τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ. Ἦν δὲ τοῦτο εἰκότως παράδοξον, ἐξαπίνης ὧδε παρὰ τὴν προσδοκίαν συμβάν.

y In cod. Fuk. desunt εὖ μάλα, quæ prorsus superflua sunt, aut certe alterum illorum, prius videlicet. VALESIUS.

qui ob amicitiam cum Gallo suspectus eidem exstiterat, scriptis ad eum literis plenis humanitatis, dataque copia publici cursus, ad se evocavit. Simili ex causa, Eleusio Cyzicenorum episcopo sub gravissima mulcta injunxit, ut intra spatium duorum duntaxat mensium ecclesiam Novatianorum, quam Constantii temporibus destruxerat, suis sumptibus instauraret. Multa quoque alia reperire licet, quæ in odium decessoris sui partim ipse gessit, partim alios gerere permisit.

CAPUT VI.

Quomodo Athanasius, cum per septem annos apud virginem quandam pudicam ac venustam delituisset, tandem apparuit, et Alexandriam reversus est.

Eodem tempore Athanasius, cum antea nescio ubi delituisset, nunciato Constantii interitu, in Alexandrina ecclesia noctu comparuit. Quod quidem merito admirationi fuit, cum repente præter

Ἡνίκα γὰρ ἐξ ἐπιβουλῆς τῶν Γεωργίου ἐπιτηδείων,
προστάξαντος τοῦ βασιλέως, σπουδάσας αὐτὸν συλ- 188
λαβέσθαι ὁ τῶν ἐν Αἰγύπτῳ ταγμάτων ἡγεμὼν ἀπέ-
τυχεν, ὡς ἐν τοῖς πρόσθεν εἴρηται, διαφυγὼν μέχρι
τῆς παρούσης ἡγεμονίας, παρά τινα παρθένον ἱερὰν
2 ἐν Ἀλεξανδρείᾳ ἐκρύπτετο[z]. Ἣν ἐπὶ τοσούτῳ[a] κάλ-
λει τὰς τότε γυναῖκας ὑπερβάλλεσθαι παρειλήφαμεν,
ὡς θαῦμα μὲν αὐτὴν[b] εἶναι τοῖς ὁρῶσι· φευκτέαν δὲ
τοῖς[c] ἐπιείκειαν καὶ σωφροσύνην ἐπαγγελλομένοις, ἵνα
μή τινα ψόγον ἐξ ὑπονοίας αὐτοῖς προστρίψηται.
Ἦν γὰρ καὶ ἐν ἀκμῇ τῆς ὥρας, σεμνή τε καὶ σώφρων
εἰς ἄγαν· ἃ μηδὲ[d] τῆς φύσεως συλλαμβανούσης,
διακοσμεῖν εἴωθε[e] τὸ σῶμα εἰς εὐπρέπειαν κάλλους.
3 Ἦ γὰρ ἀληθὲς εἰπεῖν, οὐχ, ὥς τισι δοκεῖ, ὁποῖα τὰ
σώματα, τοιαύτην εἶναι τὴν ψυχήν· ἀλλ' ἐν τοῖς
τῆς ψυχῆς ἐπιτηδεύμασιν ἀπεικονίζεσθαι τὸ τοῦ σώ-

[z] ἱερὰν μέχρι τῆς παρούσης ἡγεμονίας ἐκρύπτετο ἐν Ἀλεξανδρείᾳ B.

[a] τοσοῦτον C. quod præstat: conf. infra, ἐπὶ τοσοῦτον πιστοτάτη.

[b] αὐτοῖς B. Steph. Genev. αὐτὴν Christ. Scal. Vales.

[c] δὲ τὴν B. Steph. Genev. τοῖς tacite Vales. Utrique, αὐτὴν et τοῖς, favet Nicephorus.

[d] Scribendum puto ἃ μηδὲ τῆς. Confirmat Nicephorus, x. 6. [ἃ δὴ καὶ μόνα κοσμεῖν εἴωθε, μήτι καὶ τῆς φύσεως συναιρομένης τὰ πρὸς εὐπρέπειαν.] VALESIUS.

[e] εἰώθει C.

omnium exspectationem contigisset. Nam cum ex insidiis amicorum Georgii, jubente Constantio dux Ægypti eum comprehendere conatus, frustra fuisset, sicuti supra retulimus: fuga elapsus Athanasius, ad hoc usque tempus Alexandriæ delituit apud quandam virginem consecratam. Quam quidem formæ venustate reliquas mulieres adeo superasse accepimus, ut spectantibus quidem instar esset miraculi: viris autem modestiam et castitatem profitentibus, fugienda esse videretur, ne ex sinistra suspicione aliquod ipsis probrum aspergeret. Erat enim in ipso ætatis flore gravis admodum et modesta: quæ res, etiamsi naturæ adjumentum desit, admirabili venustate corpus exornare solent. Re vera enim, non ut quibusdam videtur, qualia sunt corpora, tales etiam sunt animi. Sed ex animi institutis forma corporis exprimitur: et unusquisque cujusmodi studiis deditus est, hujusmodi etiam apparet eo tem-

ματος ἦθος· καὶ τὸν αὐτὸν, ὅπως ἂν τύχῃ ἐπιτηδεύων, τοιοῦτον καὶ διαφαίνεσθαι, καθ' ὃν ἂν ἐπιτηδεύει καιρόν· καὶ τούτῳ μὲν τῷ λόγῳ εἴ τις ἀκριβῶς ἐξετά-
4 *σειεν, οὐδεὶς οἶμαι ἀντερεῖ. 'Αθανάσιον δὲ λόγος, κατὰ θείαν ὄψιν ὡδὶ ὑποθεμένην αὐτῷ σωθήσεσθαι, πρὸς ταύτην τὴν παρθένον καταφυγεῖν.* Καί *μοι δοκεῖ πρὸς τὴν ἀπόβασιν ὁρῶντι, οὐκ ἀθεεὶ ταῦτα οἰκονομηθῆναι· ἀλλ' ὥστε καὶ τοὺς 'Αθανασίου ἐπιτηδείους μὴ ἔχειν πράγματα, εἴ τις αὐτοὺς πολυπραγμονεῖν περὶ αὐτοῦ ἐπεχείρησεν*[f], *ἢ ὀμνύναι ἐβιάσατο· καὶ αὐτὸν διαλαθεῖν παρὰ ταύτῃ κρυπτόμενον, ἣ τῷ μὲν κάλλει οὐ συνεχώρει ὑπονοεῖσθαι ἐνθάδε διάγειν*
5 *τὸν ἱερέα. Δι' ἀνδρείαν δὲ αὐτὸν ὑπεδέξατο, καὶ διὰ φρόνησιν ἀπέσωσεν· ἐπὶ τοσοῦτον πιστοτάτη φύλαξ καὶ διάκονος σπουδαία γενομένη, ὡς πόδας αὐτοῦ νίπτειν, καὶ τὰ περὶ τροφὴν καὶ τ' ἄλλα πάντα, καὶ*[g] *ὅσα φύσις ὑπομένειν βιάζεται ἐν ταῖς κατεπειγούσαις χρείαις, μόνην αὐτὴν διακονεῖσθαι· προσέτι δὲ καὶ βίβλους ὧν ἐδεῖτο, παρ' ἄλλων κομίζειν.* Καὶ *ἐπὶ*

[f] Ita B. Steph. Genev. *ἐπιχειρήσειεν* tacite Valesius, incassum tamen, dum sequatur *ἐβιάσατο.* [g] *καὶ* suprascript. B.

pore, quo in studiis illis versatur. Et huic quidem sententiæ, si quis exacte rem expenderit, nemo, ut opinor, contradicet. Cæterum aiunt Athanasium impulsum divina visione, quæ ipsum hac ratione servatum iri monuerat, ad eam virginem confugisse. Ac mihi quidem in rei totius exitum intuenti, hæc non absque Dei nutu videntur esse disposita: sed ut propinqui Athanasii nullam sustinerent molestiam, si quis eos scrutari, et curiose de illo inquirere voluisset, aut jurare etiam compulisset: et ut ipse occultus latitaret apud eam virginem, quæ ob formæ quidem venustatem non sinebat ut quis sacerdotem illic degere suspicaretur; præ animi autem fortitudine eum excepit, et prudentia sua servavit. Usque adeo fida custos, et sedula ejus ministra, ut et pedes ei lavaret, et res ad victum necessarias, ac reliqua omnia quæcumque naturæ necessitas exigit, ubi opus esset, sola per se ministraret: libros præterea quibus ille indigebat, ab aliis commodatos afferret:

πολλῷ χρόνῳ τούτων γενομένων, μηδένα τῶν κατοικούντων τὴν Ἀλεξανδρέων πόλιν μαθεῖν.

ΚΕΦ. Ζʹ. 189

Περὶ τῆς ἀναιρέσεως καὶ τοῦ θριάμβου Γεωργίου τοῦ Ἀλεξανδρείας, διὰ τὰ ἐν τῷ Μιθρίῳ συμβάντα· καὶ οἷα ἔγραψεν Ἰουλιανὸς περὶ τῆς τοιαύτης ὑποθέσεως.

1 *Ὁ μὲν οὖν Ἀθανάσιος ὧδε διασωθεὶς, καὶ ἀπροσδοκήτως ἐν τῇ ἐκκλησίᾳ φανεὶς, οὐδ' ὅθεν προῆλθεν ἐγινώσκετο· περιχαρὴς δὲ γενόμενος ὁ τῶν Ἀλεξανδρέων λαὸς, τὰς ἐκκλησίας αὐτῷ παρέδωκεν. Ἐκβληθέντες δὲ οἱ τὰ Ἀρείου φρονοῦντες, ἐν ἰδιωτῶν οἰκίαις καθ' ἑαυτοὺς ἐκκλησίαζον, Λούκιον ἀντὶ Γεωργίου τῆς*
2 *αὐτῶν αἱρέσεως ἐπίσκοπον προβαλλόμενοι. Γεώργιος δὲ ἔτυχεν ἤδη ἀναιρεθείς· ἅμα γὰρ δημοσίᾳ δῆλον ἐποίησαν οἱ ἄρχοντες τετελευτηκέναι Κωνστάντιον, αὐτοκράτορα δὲ Ἰουλιανὸν εἶναι, ἐστασίασε τὸ Ἑλληνικὸν πλῆθος τῶν Ἀλεξανδρέων· κεκραγότες τε καὶ λοιδορούμενοι ὥρμησαν ἐπ' αὐτὸν, ὡς παραχρῆμα ἀναιρήσοντες· ἀνακοπέντες δὲ τῆς παραυτίκα ὁρμῆς,*

et longissimi temporis spatio quo hæc gerebantur, nemo tamen ex Alexandrinis civibus rem cognosceret.

CAPUT VII.

De cæde et tractione Georgii Alexandrini episcopi, ob ea quæ in templo Mithræ acciderant: et quid ea de re scripserit Julianus.

Et Athanasius quidem hoc modo servatus, ac præter omnium exspectationem in ecclesia conspectus, undenam prodiisset ignorabatur. Populus autem Alexandrinus ingenti gaudio exultans, ecclesias ei tradidit. Ariani igitur ecclesiis pulsi, in privatis ædibus conventus suos separatim egerunt, cum Lucium quemdam, Georgii loco, episcopum sectæ suæ constituissent. Jam enim Georgius interemptus fuerat. Nam simul atque magistratus palam fecissent, Constantium quidem mortuum, Julianum vero ad imperium evectum esse, Alexandrinorum Gentilium vulgus seditionem commovit. Clamantesque universi, et conviciis eum incessentes, impetum in eum fecerunt, velut jamjam interfecturi.

3 *τότε μὲν αὐτὸν ἐν δεσμοῖς εἶχον. Οὐκ εἰς μακρὰν δὲ
καταδραμόντες ἕωθεν εἰς τὸ δεσμωτήριον, ἀναιροῦσιν
αὐτόν· καὶ καμήλῳ ἐπιθέντες, διημερεύσαντές τε ἐν
ταῖς κατ' αὐτοῦ ὕβρεσι, περὶ δείλην ὀψίαν πυρὶ παρ-*
4 *έδωκαν. Οὐκ ἀγνοῶ δὲ, ὡς οἱ ἀπὸ τῆς Ἀρείου αἱρέ-
σεως, τάδε λέγουσι παθεῖν τὸν Γεώργιον πρὸς τῶν
τοῦ Ἀθανασίου σπουδαστῶν. Ἐγὼ δὲ τῶν Ἑλλη-
νιστῶν ἡγοῦμαι μᾶλλον εἶναι τὸ δρᾶμα· λογιζόμενος
ὡς μείζους οὗτοι καὶ πλείους ἀφορμὰς μίσους πρὸς
αὐτὸν εἶχον, καὶ μάλιστα τὴν περὶ τὰ ξόανα καὶ τοὺς
ναοὺς ὕβριν, καὶ τὴν τῶν θυσιῶν*[h] *καὶ πατρίων*[i] *κώ-
λυσιν. Ἐπέτεινε δὲ τὴν πρὸς αὐτὸν ἀπέχθειαν καὶ ἡ
ἐν τοῖς βασιλείοις δύναμις· καὶ οἷα φιλεῖ δῆμος πρὸς*
5 *τοὺς ἐν δυνάμει πάσχειν, οὐκ ἀνεκτὸν ἡγοῦντο. Πρὸς
δὲ τούτοις καὶ τοιόνδε τότε συνέβη περὶ τὸ καλού-*

[h] Assentior Christophorsono et Savilio, qui θυσιῶν emendarunt, licet reclamantibus libris. Certe orationis series aliter scribi non patitur. Nicephorus tamen οὐσιῶν legit, et bonorum publicationem a Sozomeno intelligi existimavit. Sic enim hunc Sozomeni locum expressit, *κωλύοντι ἐκείνων τὰ πάτρια, κατασπῶντί τε τοὺς ἐκείνων νεὼς, καὶ τὰς οὐσίας δημεύοντι*. Verum hæc Nicephori conjectura prorsus absurda esse mihi videtur. VALESIUS. οὐσίων B. Steph. Genev. *propter idola, et templorum injurias, prohibitionemque solemnitatum* Epiphanius, nec videtur οὐσιῶν legisse.

[i] πατρῴων C.

Verum impetu statim represso, tum quidem eum in vincula conjecerunt. Paulo post vero, prima luce ad carcerem decurrentes, eum trucidant: et camelo impositum, cum per totum diem contumeliis affecissent, tandem sub vesperum incendio consumpserunt. Nec ignoro Arianos quidem affirmare, Georgium ista passum esse ab Athanasii fautoribus. Ego vero hoc facinus Gentilium fuisse potius existimo: considerans videlicet, eos plures et graviores odii causas in illum habuisse, præcipue ob contumelias templis ac simulacris illatas, et ob sacrificia ac patrios ritus prohibitos. Sed et auctoritas qua pollebat in imperatoris palatio, odium civium in illum auxerat: atque ut solet vulgus animo affectum esse erga potentiores, cum intolerabilem sibi existimabant. Acciderat præterea quidpiam in loco quem Alexandrini Mithrium vocant. Hunc

μενον παρ' αὐτοῖς Μίθριον[k]· τοῦτον γαρ τὸν τόπον
ἔρημον πάλαι γενόμενον, ἐδωρήσατο Κωνστάντιος
6 τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ. Γεωργίου δὲ εἰς ἐπι-
σκευὴν[l] εὐκτηρίου οἴκου ἀνακαθαίροντος, ἄδυτον ἀνε-
φάνη· ἐν ᾧ ξόανα μὲν ἴσως καὶ ὄργανα τινὰ εὑρέθη
τῶν ἐνθάδε τότε[m] μυούντων ἢ τελουμένων, ἃ τοῖς ὁρῶσι
γέλοιά τε καὶ ξένα ἐδόκει. Δημοσίᾳ δὲ ταῦτα προ-
θέντες οἱ Χριστιανοὶ, ἐπόμπευον ἐπιτωθάζοντες τοῖς
7 Ἑλληνισταῖς. Οἱ δὲ, πλῆθος εἰς ταυτὸ συλλεγέντες,
ἐπῆλθον τοῖς Χριστιανοῖς· οἱ μὲν ξίφεσιν ἢ λίθοις·
οἱ δὲ ἑτέρῳ τῳ ὡς ἔτυχεν ὁπλισάμενοι· καὶ πολλοὺς
ἀνελόντες, τοὺς δὲ καὶ σταυρώσαντες ἐφ' ὕβρει τῆς
θρησκείας, τραυματίας τοὺς πλείστους κατέστησαν.
Ἐκ δὲ τούτου, Χριστιανοὶ μὲν τὸ ἀρχθὲν ἔργον ἀτε-
λὲς ἐγκατέλιπον· οἱ δὲ Ἑλληνισταὶ, ἐπιλαβούσης τῆς
8 Ἰουλιανοῦ βασιλείας, τὸν Γεώργιον ἀνεῖλον. Μαρ-
τυρεῖ δὲ καὶ βασιλεὺς αὐτὸς τοῦθ' οὕτως ἔχειν. Ὅπερ
οὐκ ἂν ὡμολόγησεν, εἰ μὴ ὑπὸ τῆς ἀληθείας ἐβιάσθη·

[k] Μιθρεῖον Socrat.

[l] Ita B. ut Valesius conjecerat post Christophorsonum et Savilium. ἐπισκοπὴν ceteri.

[m] ποτε Christ.

enim locum, cum jam pridem desertus esset, Alexandrinorum ecclesiæ Constantius donaverat. Sed cum Georgius ad exstruendam illic ecclesiam eum repurgaret, adytum quoddam apparuit: in quo simulacra nescio quæ, et instrumenta reperta sunt, eorum qui tunc temporis sacra tradebant et accipiebant. Ea vero ridicula admodum ac peregrina spectantibus sunt visa. Quæ Christiani publice proponentes, traducere cœperunt, irridendo paganos. At illi numero quamplurimi, in unum congregati, in Christianos irruunt; pars gladiis et lapidibus; pars obvio quoque telo armati. Multisque interfectis; quibusdam etiam ad religionis nostræ contumeliam cruci suffixis, plurimos vulneratos reliquerunt. Hanc ob causam Christiani quidem opus quod inchoaverant, imperfectum dimisere: Gentiles vero, Juliano imperium ineunte, Georgium trucidarunt. Idque ita se habere ipse imperator testatur. Qui profecto nunquam id confessus esset, nisi veritas ipsa eum adegisset. Maluisset enim, ut opinor, Christianos aut quoscumque alios,

ἤθελε γὰρ, οἶμαι, Χριστιανοὺς οἱουσδήποτε[m], ἢ Ἕλληνας εἶναι τοὺς Γεωργίου φονέας. Ἀλλ' ὅμως οὐκ ἀπεκρύψατο· φαίνεται γοῦν ἐν τῇ περὶ τούτου πρὸς
9 Ἀλεξανδρέας ἐπιστολῇ δόξας χαλεπαίνειν. Μέχρι δὲ γραμμάτων μόνον[n] ἐμέμψατο, καὶ τὴν τιμωρίαν συνεχώρησεν· αἰδοῖ, φησὶ, τῇ πρὸς Σάραπιν τὸν αὐτῶν πολιοῦχον, καὶ Ἀλέξανδρον τὸν οἰκιστὴν, καὶ Ἰουλιανὸν τὸν αὐτοῦ θεῖον, ὃς πρὸ τούτου Αἰγύπτου καὶ τῆς Ἀλεξανδρείας αὐτῆς ἦρξεν· ἀνὴρ ἐς τὰ μάλιστα Ἑλληνισμῷ χαίρων, καὶ τοὺς Χριστιανοὺς ὑπερφυῶς μισῶν, ὡς τό γε κατ' αὐτὸν, ὑπεναντίον τῆς τοῦ κρατοῦντος γνώμης, καὶ μέχρις αἵματος κακῶς παθεῖν τοὺς Χριστιανούς.

ΚΕΦ. Η'.

Περὶ Θεοδώρου τοῦ σκευοφύλακος Ἀντιοχείας· καὶ ὡς τῶν σκευῶν χάριν Ἰουλιανὸς ὁ θεῖος τοῦ παραβάτου σκωληκόβρωτος ἐγένετο.

1 Λέγεται γοῦν σπουδάζοντος αὐτοῦ τότε ἀφελέσθαι,

[m] Hunc locum aliter scribendum putavit Nicephorus. Sic enim habet in lib. x. cap. 6, καὶ γὰρ ᾑρεῖτο Χριστιανοὺς εἶναι τοὺς Γεωργίου φονέας, ἤπερ οἵους δήποτε. Langus tamen interpres Nicephori, scripturam codicum nostrorum sequi maluit. Sic enim vertit: *Christianos certe, qualescumque illos tandem, Georgianæ cædis, quam Græcos, authores fuisse maluisset.* Ubi vox illa, *qualescumque,* designat tam hæreticos, quam orthodoxos. Posset etiam hic locus aliter emendari, inserta particula hoc modo, Χριστιανοὺς ἢ οἵους δή ποτε etc., id est, *Christianos aut qualescumque alios,* Judæos scilicet aut Manichæos. VALESIUS.

[n] μόνων^{ον} B.

Georgii interfectores esse, quam paganos. Sed tamen veritatem rei non celavit. Et in epistola quidem quam ad Alexandrinos ea de re scripsit, visus est graviter succensere. Verum literis duntaxat eos objurgavit. Pœnam vero remisit, in gratiam, ut ipse ait, Serapidis præsidis eorum urbis, et Alexandri conditoris, et Juliani avunculi sui, qui antea præfectus fuerat Ægypti atque Alexandriæ. Vir Gentilium superstitioni supra modum addictus, et qui Christianos gravissimo odio prosequebatur: adeo ut quantum quidem in ipso erat, contra imperatoris sententiam persecutio Christianorum ad cædem usque processerit.

καὶ εἰς τοὺς βασιλέως καταθέσθαι[o] *θησαυροὺς, πλεῖστα ὄντα καὶ τιμιώτατα τὰ ἀναθήματα τῆς Ἀντιοχέων*[p] *ἐκκλησίας, καὶ τοὺς εὐκτηρίους τόπους*[q] *ἀποκλεῖσαι, φυγεῖν μὲν πάντας τοὺς κληρικούς· μόνον δὲ Θεοδώριτον*[r] *τὸν πρεσβύτερον μὴ ὑποχωρῆσαι τῆς πόλεως· ὃν ὡς*[s] *φύλακα τῶν κειμηλίων, τὴν τούτων γνῶσιν καταμηνύσαι δυνάμενον, συλλαβὼν, δεινῶς ᾐκίσατο· καὶ τὸ τελευταῖον ἀναιρεθῆναι ξίφει προσέταξε, παρὰ*[t] *πᾶσαν βάσανον ἀνδρείως ἀποκρινάμενον, καὶ ἐν ταῖς ὑπὲρ τοῦ δόγματος*[u] *ὁμολογίαις ηὐδοκιμη-*
2 *κότα.* Ἐπεὶ δὲ τὰ ἱερὰ σκεύη ἐλῄσατο, *περιστρέψας αὐτὰ κατὰ τοῦ ἐδάφους, ἐπετώθασε· καὶ βλασφη-*

[o] Ita J. Christ. Scal. *reconderet* Epiphan. *μεταθέσθαι* ceteri.

[p] Ἀντιοχέων Σύρων B. Steph. Genev. Σύρων non agnoscit Niceph. Epiphan. tacite om. Vales. et potest quidem esse glossa.

[q] Pro *τόπους* habent *τότε* B. Steph. Genev. emendav. Christ. Scal. Curt. Vales. *τοὺς εὐκτηρίους δὲ τῶν οἴκων* Niceph.: præterea Nicephorus pro sequenti *φυγεῖν*, habet in textu vulgato *ἀπιδεῖν*, sine sensu. Corrigendum est *ἀποδράναι*.

[r] Θεοδώριτον πρεσβ. e correct. B. Θεοδώριον τὸν Steph. Genev. Θεοδώριτον C. Christ. Niceph. Epiph. Θεόδωρον cod. Fuk. Vales. Confusum hoc fuisse videtur cum nomine illius Theodori juvenis qui verberatus fuit Antiochiæ, quem postea se vidisse narrat Rufinus, x. 36.

[s] *ὂν καὶ φ.* J. Scal.

[t] *περὶ* J. Scal.

[u] *ἀνδρείως* post *δόγματος* repetit B., inducta tamen linea, ut notet delendum esse.

CAPUT VIII.

De Theodoro sacrorum vasorum custode Antiochensis ecclesiæ: et quomodo Julianus avunculus Juliani apostatæ, ob sacra vasa violata, a vermibus corrosus est.

Qui cum tunc temporis Antiochensis ecclesiæ donaria, quæ plurima erant ac pretiosissima, ademisset, et in imperatoris ærarium transferri curasset, sacrasque ædes occludi jussisset, omnes statim clerici aufugisse dicuntur. Solus Theodorus presbyter remansit in civitate. Quem ille, utpote sacrorum vasorum custodem, qui eorum notitiam tradere valeret, comprehensum gravissime cruciavit. Quumque inter tormenta forti animo respondisset, et in Christianæ fidei confessione enituisset, ad extremum gladio eum obtruncari jussit. Postquam vero sacra vasa diripuisset, projectis illis in solum, cœpit illudere: et impia adversus Christum pro

μήσας ὅσα γε ἠβούλετο τὸν Χριστὸν, ἐκάθισεν ἐπ' αὐτῶν, καὶ τὴν ὕβριν ἐπηύξησεν. Αὐτίκα δὲ τὸ αἰδοῖον καὶ τοὺς ἀμφὶ τοῦτο ἀναγκαίους πόρους διεφθάρη· καρασαπεῖσαί τε αἱ τῇδε σάρκες, εἰς σκώληκας μετέβαλον, καὶ τὸ πάθος ἐκράτει τῆς τῶν ἰατρῶν
3 τέχνης. Καὶ μέντοι τῇ πρὸς βασιλέα αἰδοῖ καὶ δέει, διὰ παντοδαπῶν[x] φαρμάκων πείρας ἐληλύθεισαν· 191
πολυτίμους τε καὶ πλείονας[y] ὄρνεις θύοντες, τὰ τούτων λίπη τὰ διεφθορότα[z] μόρια ἐπέπλαττον, καὶ εἰς τὴν ἐπιφάνειαν ἐξεκαλοῦντο τοὺς σκώληκας. Ἀλλ' οὐδὲν ἤνυον· ἐν βάθει γὰρ κατακρυπτόμενοι, πρὸς τὰς ζώσας σάρκας εἷρπον, καὶ ἕως ὅτου αὐτὸν ἀνεῖλον, οὐ
4 διέλιπον κείροντες. Ἐδόκει δὲ κατὰ θεομηνίαν τοιαύτῃ χρήσασθαι συμφορᾷ, καθότι καὶ ὁ τῶν βασιλικῶν

[x] παντοδαποὺς B.

[y] Non dubito quin scribendum sit καὶ πίονας ὄρνεις, id est, pingues aviculas, quemadmodum in versione mea expressi. Conjecturam meam confirmat Epiphanius Scholasticus, qui hunc Sozomeni locum ita vertit: *Conficiebantur enim omnimoda pretiosaque medicamina ex pinguibus volatilibus, ut eorum pinguedine corrupta et putria membra linirentur.* Idem etiam confirmat Chrysostomus in oratione contra Gentiles. VALESIUS. Vide Annot.

[z] Epiphanius Scholasticus legisse videtur τῷ τούτων λίπει τὰ διεφθαρμένα μόρια ἐπέπλαττον, ut ex versione ejus apparet. Posset etiam scribi τὰ τούτων λίπη ἐπὶ τὰ διεφθαρμένα, etc. quemadmodum Savilius ad oram sui codicis adnotavit. In codice Fuketiano pro διεφθαρμένα scriptum est διεφθορότα. VALESIUS.

animi sui libidine locutus, sedit super illa et contumeliam exaggeravit. Quo facto, statim ejus genitalia, et circum posita ad meatus necessarios loca, corrupta sunt: et caro illarum partium computrescens, in vermes ebulliit. Morbus denique omni medicorum arte superior fuit: tametsi præ imperatoris reverentia ac metu, omnia medicamentorum genera experti essent, et pretiosis ac pinguibus avibus immolatis, adipem earum putrefactis corporis partibus imposuissent, et vermes ad superficiem cutis elicuissent. Nihil tamen proficere valuerunt. Nam vermes in profundo abditi, ad integras adhuc carnes proserpebant: nec a depascendo cessarunt, priusquam ipsum necassent. Hanc porro calamitatem invectam ei fuisse divinitus, cuncti existimarunt. Nam et comes

ταμιείων φύλαξ, καὶ ἄλλοι τινὲς τῶν ἐν τοῖς βασιλείοις ἄρχειν ἐπιτετραμμένων, νεανιευσάμενοι κατὰ τῆς ἐκκλησίας, παραδόξως καὶ ἐλεεινῶς τὸν βίον κατέλυσαν, ὡς ὑπὸ θείας ὀργῆς καταδικασθέντες.

ΚΕΦ. Θʹ.

Περὶ τοῦ μαρτυρίου τῶν ἁγίων, Εὐσεβίου, Νεστάβου, καὶ Ζήνωνος, ἐν Γάζῃ τῇ πόλει.

1 Ἐπεὶ δὲ εἰς τοῦτο προήχθην λόγου, καὶ τὴν Γεωργίου καὶ Θεοδωρίτου[a] ἀναίρεσιν διεξῆλθον, καιρὸν ἔχειν δοκῶ ποιήσασθαι μνήμην Εὐσεβίου καὶ Νεστάβου[b] καὶ Ζήνωνος τῶν ἀδελφῶν· οὓς κατὰ τοῦτο μισῶν ὁ τῶν Γαζαίων δῆμος, οἴκοι κρυπτομένους συνελάβοντο, καὶ δεσμωτηρίῳ τὰ πρῶτα παρέδοσαν,
2 καὶ ἐμαστίγωσαν. Ἔπειτα συνελθόντες εἰς θέατρον, πλεῖστα αὐτῶν κατεβόησαν, ὡς κακουργησάντων τὰ ἱερὰ, καὶ ἐπὶ καθαιρέσει καὶ ὕβρει τοῦ Ἑλληνισμοῦ τῷ παρελθόντι χρόνῳ ἀποχρησαμένων. Ἐν δὲ τῷ

[a] Ita B. Steph. Genev. Niceph. Θεοδώρου cod. Fuk. Scal. Vales.

[b] Νεστάρου J. Christ. Scal. *Nectarii* Epiphan.

largitionum sacrarum, et alii quidam summis in palatio dignitatibus præditi, cum petulanter illusissent ecclesiæ, insperato ac miserabili exitu perierunt, tanquam indignantis Dei sententia condemnati.

CAPUT IX.

De martyrio sanctorum Eusebii, Nestabi, et Zenonis in civitate Gaza.

Sed quoniam ad hunc sermonem devenimus, et Georgii ac Theodori cædem jam commemoravimus, opportunum nunc videtur, ut Eusebii, Nestabi, et Zenonis fratrum mentionem faciamus. Quos populus Gazæorum odio prosequens, tunc temporis domi abditos comprehendit. Ac primum quidem in carcerem eos conjecit, et flagris verberavit. Deinde omnes in theatrum convenientes, adversus eos vociferati sunt, quod templa ipsorum violassent, et superiorum temporum opportunitate ad eversionem et contumeliam Græcanicæ religionis abusi essent. Dumque ita vocife-

κεκραγέναι καὶ παροτρύνειν ἀλλήλους εἰς τὸν κατ'
3 αὐτῶν φόνον, ἐνεπλήσθησαν θυμοῦ. Καὶ παρακελευσάμενοι ἑαυτοῖς, οἷά γε δῆμος στασιάζων εἴωθε, κατέδραμον εἰς τὸ δεσμωτήριον· καὶ ἐξαγαγόντες αὐτοὺς, ὠμότατα διεχρήσαντο· πῇ μὲν πρηνεῖς, πῇ δὲ ὑπτίους ἕλκοντες, καὶ τῷ ἐδάφει προσρηγνύντες· καὶ εἰ ἔτυχον παίοντες, οἱ μὲν λίθοις, οἱ δὲ ξύλοις, ἄλλοι δὲ ἄλλοις
4 τισὶ τοῖς ἐπιτυχοῦσιν. Ἐπυθόμην δ' αὖ[c] ὡς καὶ γυναῖκες ἐκ τῶν ἱστῶν ἐξιοῦσαι[d], ταῖς κερκίσιν αὐτοὺς κατεκέντουν· καὶ τῶν ἐπ' ἀγορᾶς μαγείρων, οἱ μὲν, ὕδατι θερμῷ καχλάζοντας τοὺς λέβητας ἐξαρπάζοντες[e] τῶν χυτροπόδων, κατέχεον· οἱ δὲ τοῖς ὀβε-
5 λίσκοις διέπειρον. Ἐπεὶ δὲ αὐτοὺς διεσπάραξαν, καὶ 192
τὰς κεφαλὰς ἔθλασαν, ὡς καὶ τὸν ἐγκέφαλον χαμαὶ ῥεῖν, ἤγαγον πρὸ τοῦ ἄστεος, ᾗ[f] τὰ ἀποθνήσκοντα τῶν ἀλόγων ζώων ῥίπτειν εἰώθεσαν· καὶ πῦρ ἀνάψαντες, ἔκαυσαν αὐτῶν τὰ σώματα· καὶ τὰ περιλειφθέντα τῶν ὀστέων, ὅσα μὴ τὸ πῦρ ἐδαπάνησε, τοῖς ἐρριμμένοις αὐτόθι καμήλων τε καὶ ὄνων ὀστέοις ἀνέ-

[c] δ' οὖν ὡς C.
[d] Ita B.C. Niceph. ἐξελθοῦσαι editt.
[e] τοὺς λ. ἐξ. bis B.
[f] οἷ C.

rantur, et in cædem illorum sese mutuo incitant, furorem animis conceperunt. Atque ut vulgus seditiosum solet, semetipsos cohortati, ad carcerem properarunt: eosque inde eductos, crudelissimo mortis genere interfecerunt; nunc pronos, nunc supinos trahentes, et pavimento allidentes: et pro arbitrio, alii lapidibus, alii fustibus, et cujusque modi telis quæ ad manum essent, eos cædentes. Audivi etiam, mulieres relicta tela ex domo progressas radiis illos pupugisse: et cocos qui in foro erant, partim ollas aqua ferventi bullientes, focis abreptas, eis superfudisse; partim verubus eos transfixisse. Postquam eos dilacerassent, et capita eorum ita confregissent, ut cerebrum humi efflueret, eos extra civitatem traxerunt, ad locum quo jumentorum cadavera projici solebant. Ibi accenso rogo, corpora eorum concremarunt: et quæ supererant ossa, quæ scilicet ignis minime absumpserat, ca-

6 μιξαν, ὥστε μὴ ῥᾳδίαν αὐτῶν εἶναι τὴν εὕρεσιν. Ἔλαθέ
γε μὴν οὐκ ἐπὶ πολύ· γυνὴ γάρ τις Χριστιανὴ οὐκ
ἀπὸ Γάζης οὖσα, ἀλλ' ἐνθάδε τὴν οἴκησιν ἔχουσα,
κατὰ θείαν σύνταξιν ἀνελέξατο ταῦτα νύκτωρ· καὶ
ἐμβαλοῦσα χύτρᾳ, Ζήνωνι τῷ αὐτῶν ἀνεψιῷ φυλάτ-
τειν ἔδωκεν. Ὧδε γὰρ ἐν τοῖς ὀνείροις ἔχρησεν ὁ
Θεὸς, καὶ τὸν ἄνδρα τῇ γυναικὶ κατεμήνυσεν, ᾗ διά-
γοι· καὶ πρὶν ἰδεῖν ἐπέδειξε, καθότι ἄγνωστος ἦν
αὐτῇ, καὶ προσφάτως τοῦ διωγμοῦ κεκινημένου, ἐκρύ-
7 πτετο. Ἐπεὶ καὶ αὐτὸς τότε[g] μικροῦ συλληφθεὶς
παρὰ τῶν Γαζαίων ἀνῃρέθη· ἀσχολουμένου δὲ τοῦ
πλήθους περὶ τὸν φόνον τῶν αὐτοῦ ἀνεψιῶν, καιρὸν
εὑρὼν ἔφυγεν εἰς Ἀνθηδόνα πόλιν ἐπὶ[h] θάλασσαν,
ἀφεστῶσαν Γάζης ὡς εἰς σταδίους εἴκοσι, παραπλη-
σίως δὲ τηνικαῦτα τῷ Ἑλληνισμῷ χαίρουσαν, καὶ
8 περὶ τὴν θεραπείαν τῶν ξοάνων ἐπτοημένην. Κατα-
μηνυθεὶς δὲ ἐνταῦθα ὡς Χριστιανὸς, δεινῶς κατὰ νώτου
ῥάβδοις ἐμαστιγώθη παρὰ τῶν Ἀνθηδονίων, καὶ τῆς

[g] τότε om. B. Steph. addidit Christ. Scal. Vales.

[h] περὶ B. Steph. Genev. ἐπὶ tacite Vales.

melorum asinorumque ossibus illic temere disjectis permiscuerunt, ne facile reperiri possent. Sed tamen non latuerunt diu. Etenim mulier quædam Christiana, non illa quidem oriunda ex urbe Gaza, sed quæ illic domicilium fixerat, Deo jubente, noctu ea collegit: et in ollam conjecta, Zenoni eorum consobrino custodienda tradidit. Sic enim Deus in somnis præceperat, et locum ubi vir iste degeret, mulieri indicaverat. Ac priusquam illum vidisset, ei ostenderat. Erat enim ignotus mulieri, et ob recens excitatam persecutionem occultus latebat. Parum siquidem abfuerat, quin et ipse comprehensus a Gazæis occideretur. Sed dum populus consobrinorum ejus cædibus intentus esset, ipse opportunitatem nactus, Anthedonem aufugit, urbem maritimam, viginti circiter stadiis Gaza distantem: quæ quidem eo tempore superstitioni Gentilium perinde addicta, et simulacrorum cultui supra modum dedita erat. Ibi cum indicio quorumdam Christianus esse proditus fuisset, tergo virgis graviter cæsus est ab Anthedoniis, et urbe ejectus. Cum-

πόλεως ἐξηλάθη· καὶ εἰς τὸ τῶν Γαζαίων ἐπίνειον
9 ἐλθὼν, ἔλαθεν ἐκεῖσε κρυπτόμενος. Ἔνθα δὴ περι-
τυχὸν αὐτῷ τὸ γύναιον, τὰ λείψανα δέδωκεν· ὁ δὲ,
τέως μὲν οἴκοι ταῦτα ἐφύλαττεν· ἐπεὶ δὲ τὴν αὐτόθι
ἐκκλησίαν ἔλαχεν ἐπισκοπεῖν, συνέβη δὲ τοῦτο ἐπὶ
τῆς Θεοδοσίου βασιλείας, εὐκτήριον ἐδείματο οἶκον
πρὸ τοῦ ἄστεος, καὶ θυσιαστήριον ἐν αὐτῷ ἐπήξατο[i],
καὶ τὰ ὀστᾶ τῶν μαρτύρων ἀπέθετο, πλησίον Νέστο-
ρος τοῦ ὁμολογητοῦ· ὃς τῷ βίῳ περιοῦσι τοῖς αὐτοῦ
ἀνεψιοῖς συνῆν· καὶ συλληφθεὶς ἅμα αὐτοῖς παρὰ
10 τοῦ δήμου, δεσμῶν καὶ μαστίγων ἐκοινώνησεν. Ἐν
δὲ τῷ ἕλκεσθαι, καλὸν ἔχοντα τὸ σῶμα ἰδόντες οἱ
ἕλκοντες, ἠλέησαν· καὶ πρὸ τῶν πυλῶν, ἔτι μὲν ἐμ-
πνέοντα, ἀποθανεῖν δὲ προσδοκώμενον ἔρριψαν· ἀνε-
λόμενοι δέ τινες πρὸς Ζήνωνα διεκόμισαν· παρ' ᾧ
τὰ ἕλκη καὶ τὰς πληγὰς ἔτι θεραπευόμενος, ἐτελεύ-
11 τησε. Γαζαῖοι δὲ τὸ μέγεθος ἀναλογιζόμενοι τοῦ
οἰκείου τολμήματος, περιδεεῖς ἦσαν, μὴ οὐκ ἀνέξεται

[i] In cod. Fuk. ἄνωθεν: id est, altare sublime erexit, constructa scilicet subtus abside, ut martyrum reliquias ibi deponeret. Verba autem illa ἐν αὐτῷ infra locanda sunt ante verbum ἀπέθετο. VALESIUS. ἄνωθεν Scal.

que ad Gazæorum navale se contulisset, illic abditus delitescebat. Ibi mulier ei occurrens, reliquias tradidit. Eas ille domi abditas aliquamdiu servavit. Postea vero episcopatum illius ecclesiæ sortitus: id autem contigit principatu Theodosii: basilicam extra urbem ædificavit; et altare sublime erexit, et martyrum reliquias deposuit, juxta Nestorem confessorem. Qui cum consobrinis suis, dum viverent, familiariter versatus, et una cum illis a populo comprehensus, vincula ac flagella simul cum iis pertulerat. Sed inter trahendum ii qui eum raptabant, conspecta illius pulcritudine, juvenem miserati sunt: et extra urbis portas projecerunt, adhuc quidem spirantem, sed qui brevi moriturus sperabatur. Inde quidam eum tollentes, ad Zenonem deportarunt: apud quem dum ulceribus ejus ac plagis medicina adhiberetur, animam exhalavit. At Gazæi gravitatem facinoris sui animo reputantes, metuere cœ-

ὁ βασιλεὺς ἀτιμωρήτους σφᾶς καταλιπεῖν· ἤδη γὰρ καὶ φημή τις διεφοίτα, ὡς χαλεπῶς φέρει, καὶ ἀπο-
12 δεκατοῦν τὸ πλῆθος σπουδάζει[k]. Ἦν δὲ ταῦτα ψεῦδος, καὶ θρύλλος[l] μόνον, ὡς εἰκὸς, δημώδης, ὑπὸ τῆς 193
δειλίας τοῦ συνειδέναι ἃ πεπράχασιν ἐν τοῖς πολλοῖς περιφερόμενος. Ἐπειδὴ οὐδὲ τοῦτο δὴ τὸ πρὸς Ἀλεξανδρέας γεγονὸς ἐπὶ Γεωργίου, οὐδὲ ἐν γράμμασιν
13 ἐμέμψατο τοῖς Γαζαίοις. Ἀλλὰ καὶ τὸν ἡγούμενον τότε τοῦ ἔθνους τὴν ἀρχὴν ἀφείλετο, καὶ ἐν ὑπονοίᾳ εἶχε· καὶ ἀγώγιμον ποιήσας, τὸ μὴ θανάτου καταψηφίσασθαι, φιλανθρωπίαν ἐλογίσατο· ἐπῃτιᾶτο δὲ αὐτὸν, καθότι τινὰς τῶν Γαζαίων, οἳ τῆς στάσεως καὶ τῶν φόνων ἄρξαι ἐλέγοντο, συλλαβόμενος ἐν δεσμοῖς εἶχεν, ὡς κατὰ νόμους εὐθύνας ὑφέξοντας· Τί γὰρ, φησὶν, ἔδει αὐτοὺς ἀπάγεσθαι, εἰ[m] Γαλιλαίους ὀλίγους, ἀνθ' ὧν πολλὰ εἰς αὐτοὺς καὶ τοὺς θεοὺς ἠδίκησαν, ἠμύναντο; Καὶ τὰ μὲν ὧδε ἐλέγετο[n].

[k] σπουδάζοι B.
[l] Rectius θρῦλος. Vide G. Dindorf. ad Θρύλλος in Stephan. Thesaur. Nov.
[m] εἰς Γ. B. Steph. Genev. οἱ Christ. εἰ Vales.
[n] Ita B. Steph. Genev. λέγεται Vales. ἐθρυλλεῖτο Niceph.

perunt, ne imperator ipsos impune abire non sineret. Jam enim rumor sparsus fuerat, indignari illum, et decimum quemque ex plebe necari statuisse. Sed id falsum erat, ac rumor duntaxat popularis, ex metu, ut credibile est, et ex eorum quæ gesserant conscientia, per vulgus dispersus. Siquidem imperator, ne id quidem quod erga Alexandrinos ob Georgii cædem fecerat, Gazæos per literas reprehendit. Immo consularem, qui tunc provinciam illam regebat, exauctoravit, suspectumque habuit: et in judicium adductum clementiæ suæ tribui voluit quod nequaquam morte mulctaret. Incusabat autem illum, quod quosdam ex Gazæis qui seditionis ac cædis auctores fuisse dicebantur, comprehensos in vincula conjecerat, ut ex legum præscripto judicium subirent. Quid enim, inquit, illos duci necesse erat, qui paucos Galilæos pro multis injuriis quibus ipsos ac deos ipsorum affecerant, ulti essent? Et hæc quidem ita gesta esse perhibentur.

ΚΕΦ. Ι΄.

Περὶ τοῦ ἁγίου Ἱλαρίωνος, καὶ τῶν ἐν Ἡλίου πόλει παρθένων, ὑπὸ συῶν ἀναιρεθεισῶν, καὶ περὶ τοῦ ξένου μαρτυρίου Μάρκου τοῦ Ἀρεθουσίων ἐπισκόπου.

1 Ἐν τούτῳ δὲ καὶ Ἱλαρίων μοναχὸς ἐπιζητούμενος
παρὰ τῶν Γαζαίων, ἔφυγεν εἰς Σικελίαν. Ἔνθα δὴ
ξύλα συλλέγων ἐκ τῶν ἐρήμων ὀρῶν, καὶ ἐπὶ τῶν[n]
ὤμων φέρων, ἐν τῇ πόλει διεπώλει· καὶ ὅσον ἀποζῆν,
τούτῳ τῷ τρόπῳ τὴν καθημέραν τροφὴν ἐπορίζετο.
2 Καταμηνυθεὶς δὲ ὅστις εἴη καὶ οἷος ὑπὸ δαιμονῶντος
ἀνδρὸς τῶν ἐπισήμων, τοῦ δαιμονᾶν αὐτὸν ἀπαλ-
λάξας, ἦλθεν εἰς Δαλματίαν. Μέγιστά τε καὶ παρά-
δοξα σὺν θείᾳ δυνάμει κἀνταῦθα κατορθώσας, ὡς καὶ
τὴν θάλασσαν εὐχῇ στῆσαι ἐξ ὑπονοστήσεως ἐπι-
κλύσαι τὴν ξηρὰν κατατρέχουσαν, πάλιν ἔνθεν ἀνε-
3 χώρησεν. Οὐ γὰρ καταθύμιον ἦν αὐτῷ, διατρίβειν
παρὰ τοῖς ἐπαινοῦσιν· ἀλλ' ἐν τῷ τοὺς τόπους ἀμεί-
βειν, ἐσπούδασεν ἄδηλος εἶναι, καὶ τὴν κρατοῦσαν
περὶ αὐτοῦ δόξαν διαλύειν ταῖς συχναῖς μετοικήσεσι.

[n] τῶν inconsulto om. Vales.

CAPUT X.

De Sancto Hilarione, et de Virginibus Heliopoli a suibus interemptis. Et de atrocissimo martyrio Marci Arethusiorum episcopi.

Per idem tempus Hilario quoque monachus a Gazæis quæsitus, in Siciliam se recepit. Ibi ligna ex desertis montibus colligens, et humeris suis in urbem portans vendebat: eoque pacto quantum ad vitam sufficit, quotidianum sibi parabat alimentum. Tandem vero quisnam et qualis esset, indicatus a viro nobili qui a dæmonio vexabatur; postquam eum immundo spiritu liberasset, trajecit in Dalmatiam. Et cum illic quoque divina virtute maxima miracula perpetrasset, adeo ut mare ipsum, quod æstu quodam terris superfundebatur, oratione sua constrinxerit, inde rursus abscessit. Neque enim jucundum illi erat, apud eos morari qui ipsum laudarent: sed loca commutando, obscurus esse, et famam quæ de ipso vulgabatur, crebris migrationibus studebat abolere.

4 Τὸ δὴ τελευταῖον παραπλέων τὸν Κύπρον, κατῆρεν εἰς Πάφον. Προτραπείς τε παρὰ τοῦ τότε Κυπρίων ἐπισκόπου, ἠγάπησε τὴν ἐνθάδε διατριβὴν, καὶ περὶ 194 Χάρβυριν[o], χωρίον οὕτως ἐπονομαζόμενον, ἐφιλοσόφει. Τοῦ μὲν οὖν μὴ μαρτυρῆσαι τὸν ἄνδρα τοῦτον, αἴτιον ἡ φυγή· ἔφυγε δὲ, καθότι πρόσταγμά ἐστιν ἱερὸν, μὴ περιμένειν τοὺς διώκοντας· εἰ δὲ ληφθεῖεν διωκόμενοι, ἀνδρείους[p] γενέσθαι, καὶ κρείττους τῆς
5 τῶν διωκόντων ἀνάγκης. Οὐ παρὰ μόνοις δὲ Γαζαίοις καὶ Ἀλεξανδρεῦσι τὰ εἰρημένα κατὰ τῶν Χριστιανῶν ἐτολμήθη· φαίνονται δὲ τούτους ὠμότητος ὑπερβολῇ νενικηκότες, οἱ τὴν πρὸς τῷ Λιβάνῳ Ἡλιούπολιν, καὶ τὴν Ἀρέθουσαν τῆς Συρίας οἰκοῦντες.

6 Οἱ μὲν γὰρ, ἄπιστον δὲ καὶ λέγειν, εἰ μή τινες τῶν κατ' ἐκεῖνο καιροῦ γεγονότων ἀνήγγειλαν, παρθένους ἱερὰς ἀήθεις ὁρᾶσθαι παρὰ πλήθους, δημοσίᾳ γυμνὰς ἐσθῆτος ἵστασθαι κατηνάγκασαν, εἰς κοινὸν τῶν βουλομένων θέατρόν τε καὶ ὕβριν· ἐμπαροινήσαντες δὲ

o In cod. Fuk. χάρκυριν. Apud Niceph. χαρύβριν. Epiphanius Carybdim habet, corrupte, ut apparet. VALESIUS.

p ἀνδρεῖοι B. Steph. Genev.

Ad extremum, cum Cyprum prætemavigaret, appulit Paphum. Invitatusque ab eo qui tunc temporis Cypriorum erat episcopus, ibi degere constituit, et juxta locum qui Charburis dicitur, philosophatus est. Et fuga quidem obstitit, quominus hic vir martyrio perfungeretur. Idcirco autem fugit, quia Dei præceptum est, ne persecutores exspectemus: sed ut si comprehensi fuerimus, forti animo simus, et persecutorum violentiam superemus. Porro hæc quæ supra commemoravi adversus Christianos facinora, non apud solos Gazæos et Alexandrinos tentata sunt. Sed qui Heliopolim ad montem Libanum sitam, et qui Arethusam Syriæ incolunt, istos crudelitate longe supergressi fuisse videntur. Nam illi quidem, quod profecto incredibile esset, nisi quidam eorum qui tunc temporis vixere, id commemorassent; sacratas Deo virgines, quibus insolens erat a populo conspici, vestibus nudatas, in publico stare coegerunt, ad commune omnium spectaculum ac ludibrium.

πρότερον ἢ ἐδόκει, τὸ τελευταῖον ἀνέκειρον αὐτάς· καὶ
διχῇ ἀνατεμόντες, ἐπὶ τὴν βρῶσιν τῶν ἐγκάτων προσ-
εκαλοῦντο τοὺς χοίρους, συνήθει τούτοις τροφῇ ἐπι-
πολῆς τὰ σπλάγχνα καλύψαντες, ὥστε μὴ ῥᾳδίως
τοὺς ὗς διακρίνειν, ἀλλ' ἐξ ἀνάγκης τῆς συνήθους
τροφῆς ὀρεγομένους, καὶ τὰ ἀνδρόμεα κρέα σπαράτ-
7 τειν. Ὡς δὲ συμβάλλω, εἰς τοσαύτην ὠμότητα κατὰ
τῶν ἱερῶν παρθένων προήγαγε τοὺς Ἡλιουπολίτας,
τὸ κωλυθῆναι[q], καθὸ πάτριον ἦν αὐτοῖς πρότερον, ἐκ-
πορνεύεσθαι παρὰ τοῦ προστυχόντος τὰς ἐνθάδε παρ-
θένους, πρὶν τοῖς μνηστῆρσι συνελθεῖν εἰς γάμον. Ὁ
γὰρ Κωνσταντῖνος καθελὼν τὸν ἐν Ἡλιουπόλει τῆς
Ἀφροδίτης νεὼν, τότε πρῶτον παρ' αὐτοῖς ἐκκλησίαν
ἐδείματο, καὶ νόμῳ διεκώλυσε τὰς συνήθεις ἐπιτελεῖν[r]
8 πορνείας. Ἀρεθούσιοι δὲ Μάρκον τὸν γενόμενον αὐ-
τῶν ἐπίσκοπον, γηραλέον ὄντα, πολιᾷ τε καὶ βίῳ αἰ-
δέσιμον, ἐλεεινῶς διεχρήσαντο. Τοῦτον δὲ καὶ πρότε-
ρον ἐν ὀργῇ εἶχον· προθυμότερον γὰρ ἢ κατὰ πειθὼ,
Κωνσταντίου βασιλεύοντος, τοὺς Ἑλληνιστὰς εἰς

[q] Ita B. Steph. Genev. λυθῆναι Vales.

[r] Ita B. Steph. Genev. ποιεῖν Christ. Scal. Vales.

Cumque omni contumeliæ genere eas prius affecissent, tandem decalvarunt: et medias dissecantes, ad viscera earum devoranda porcos provocarunt; cibo illis consueto superficiem viscerum ita operientes, ut porci non facile internoscerent, sed consuetum cibum appetentes, necessario humanas etiam carnes discerperent. Porro Heliopolitæ ad hanc adversus sacras virgines crudelitatem proruperunt hanc ob causam, ut equidem conjicio, quod interdictum ipsis fuerat, ne juxta morem patrium virgines suas obvio cuique stuprandas exponerent, priusquam sponsis legitimis jungerentur. Etenim Constantinus, destructo apud Heliopolitas Veneris templo, primum illic ecclesiam ædificaverat; et lege lata prohibuerat ne consueta stupra in posterum perpetrarent. Arethusii vero Marcum, qui ipsorum episcopus fuerat, senem admodum, nec vita minus quam canitie venerandum, miserabili mortis genere interemerunt. Cui quidem jam pridem infensi erant. Nam

Χριστιανισμὸν ἐπανῆγε, καὶ τὸν παρ' αὐτοῖς σεμνό-
9 τατον καὶ πολυτελέστατον ναὸν[s] καθεῖλεν. Ἐπεὶ δὲ μετέπεσεν εἰς Ἰουλιανὸν ἡ ἀρχὴ, κεκινημένον ἐπ' αὐτὸν τὸν δῆμον ὁρῶν, ἅμα δὲ καὶ κατὰ πρόσταγμα βασιλέως καταδικασθεὶς, ἢ τὴν ἀποτίμησιν τοῦ ναοῦ ἐκτίσαι, ἢ τοῦτον ἀνοικοδομῆσαι· λογισάμενος ὡς ἀδύνατον ἑκάτερον, Χριστιανῷ δὲ ἄλλως ἀθέμιτον τὸ
10 δεύτερον, μήτι[t] γὲ δὴ ἱερεῖ, ἔφυγε τὰ πρῶτα. Μαθὼν 195
δὲ δι' αὐτὸν κινδυνεύειν πολλοὺς, ἑλκυσμάτων τε καὶ δικαστηρίων καὶ τῶν ἐν τούτοις πειρᾶσθαι δεινῶν, ἐπανῆλθεν ἀπὸ τῆς φυγῆς, καὶ ἐθελοντὴς ὅ τι βού-
11 λοιντο αὐτὸν δρᾷν τῷ πλήθει προσήγαγεν. Οἱ δὲ, ἐξ ὧν ἔδει πλέον ἐπαινεῖν αὐτὸν ὡς φιλοσόφῳ πρέπουσαν πρᾶξιν ἐπιδειξάμενον, ὑπερπεφρονῆσθαι νομίσαντες, πᾶς ὁ δῆμος ἐπ' αὐτὸν ἐχώρησε· καὶ διὰ τῶν ἀγυιῶν[u] εἷλκον, ὠθοῦντες καὶ τίλλοντες, καὶ ᾗ ἔτυχε τῶν μελῶν, ἕκαστος παίοντες· ἐσπουδάζετο δὲ τὸ δρᾶμα ἀνδράσι καὶ γυναιξὶ, καὶ πάσῃ ἡλικίᾳ, μετὰ

[s] σεμνὸν B. Steph. Genev. ναὸν Christ. Scal. Curt. Vales.

[t] μήτοι B. Niceph.

[u] ἀγνῶν B.

regnante Constantio, in traducendis ad Christianam religionem Gentilibus acriorem se ostenderat, quam esse solent ii qui verbis suadent: et sanctissimum apud ipsos ac magnificentissimum templum destruxerat. Postea vero imperio ad Julianum translato, cernens populum in se concitatum; simulque imperatoris edicto condemnatus, ut aut pretium quanti templum æstimatum fuisset persolveret, aut illud restauraret: cum neutrum horum a se fieri posse animadverteret, posterius autem illud nefas esse homini Christiano, nedum sacerdoti; primum quidem fugam arripuit. Sed ubi multos sua causa periclitari raptarique, et judicia ac tormenta subire comperit, rediit ex fuga, seque sua sponte obtulit multitudini, ut quocumque placuisset modo in ipsum sævirent. Illi vero qui hominem laudare debuerant, utpote qui dignum philosopho facinus edidisset, spretos se potius hoc facto existimantes, universi facto impetu in eum irruerunt: et per compita eum trahentes, pulsare ac vellicare cœperunt, quæ quisque vellet membra ferientes. Nec viri solum, sed et feminæ, et omnis promiscue

προθυμίας καὶ ὀργῆς· ὡς καὶ σπαρτίοις λεπτοῖς τὰ
ὦτα αὐτοῦ διατεμεῖν· παῖδες δὲ εἰς διδασκάλους φοι-
τῶντες, παίγνιον ἐποιοῦντο τὸ πρᾶγμα· καὶ μετεωρί-
ζοντες αὐτὸν, καὶ πρὸς ἑαυτὸν[v] κυλίοντες, ἀντέπεμπόν
τε καὶ ἀνεδέχοντο[x] ταῖς γραφίσι, καὶ ἀφειδῶς κατε-
12 κέντουν. Ἐπεὶ δὲ ἅπαν τὸ σῶμα τραυματίας ἐγένετο,
ἔτι δὲ ὅμως ἐνέπνεε, μέλιτι καὶ γάρῳ ἀλείψαντες αὐ-
τὸν, καὶ σαργάνῃ ἐμβαλόντες, πλέγμα δὲ τοῦτο ὁλό-
σχοινον, εἰς ὕψος ἦραν. Ἡνίκα δὴ[y] λέγεται, σφηκῶν
καὶ μελισσῶν ἐφιπταμένων αὐτῷ καὶ τὰς σάρκας
κατεσθιουσῶν, πρὸς τοὺς Ἀρεθουσίους εἰπεῖν, ὡς αὐ-
τὸς ὑψηλὸς εἴη· τοὺς δὲ ταπεινοὺς ὁρᾷ καὶ χαμαὶ
ἐρχομένους, καὶ κατὰ τοῦτο ἑαυτῷ τε κἀκείνοις συμ-
13 βάλλειν ἔσεσθαι τὰ μετὰ ταῦτα. Λόγος δὲ τὸν τότε
ὕπαρχον, Ἑλληνιστὴν μὲν ἐς τὰ μάλιστα ὄντα, γεν-
ναῖον δὲ τὸ ἦθος, ὡς καὶ εἰσέτι νῦν τὴν περὶ αὐτοῦ
δόξαν κρατεῖν, θαυμάσαντα Μάρκον τῆς ἐγκρατείας,
παρρησιάσασθαι πρὸς τὸν[z] βασιλέα, καὶ μέμψασθαι,

[v] ἑαυτοὺς Christ.
[x] ἀντεδέχοντο C.
[y] Ita B. ut conjecerat Valesius. δὲ ceteri.
[z] τὸν om. B.

ætas, alacri animo et ira succensi, certatim huic operi incumbebant: adeo ut tenuibus funiculis aures ejus absciderint. Sed et pueri qui scholas frequentabant, ludicrum ex eo fecerunt: cumque in sublime tollentes, et in se ipsum volventes, jactabant ad se invicem atque excipiebant, stilis eum atrociter configentes. Cumque jam toto corpore vulneratus, adhuc tamen spiraret, melle et liquamine perunctum, et in sportulam ex juncis textam conjectum, sublimem expulerunt [extulerunt]. Quo quidem tempore, cum apes et vespæ ad eum advolarent, carnesque ejus exederent, Arethusiis dixisse fertur, se quidem sublimem esse: ipsos vero abjectos humique repentes ab se conspici: atque ex eo conjicere se, quænam sibi et ipsis sors brevi eventura esset. Aiunt etiam eum qui tunc temporis præfectus erat prætorii, Gentilium quidem superstitioni admodum deditum, moribus tamen adeo eximium, ut ad hoc usque tempus fama illius perseveret, Marci admiratum constantiam, libere reprehendisse imperatorem: cum diceret ipsos

ὡς εἰκότως αἰσχύνην ὀφλισκάνουσι, κεκρατημένοι παρ' ἑνὸς γέροντος, πρὸς τοσαύτας βασάνους ἀνδρείως ἀντιταξαμένου· καὶ κινδυνεύειν αὐτοὺς γελοίους εἶ-
14 ναι· ἐνδοξοτέρους δὲ οὓς ταῦτα δρῶσιν. Ὁ μὲν οὖν μακάριος, ἐπὶ τοσοῦτον γενναίως πρὸς τὸν Ἀρεθουσίων θυμὸν καὶ τὰς πολλὰς βασάνους ἀντέσχεν, ὡς καὶ πρὸς αὐτῶν ἐπαινεθῆναι τῶν Ἑλληνιστῶν.

ΚΕΦ. ΙΑ'. 196

Περὶ Μακεδονίου, Θεοδούλου, Γρατιανοῦ[a], Βουσίριδος, Βασιλείου καὶ Εὐψυχίου, τῶν ἐν ἐκείνοις τοῖς χρόνοις μαρτυρησάντων.

1 Ἐν δὲ τῷ τότε, καὶ Μακεδόνιος, Θεόδουλός τε καὶ Τατιανὸς οἱ Φρύγες, ἀνδρείως ἐμαρτύρησαν. Ἐπεὶ γὰρ ἐν Μίσῳ[b], πόλις δὲ ἥδε Φρυγῶν, τὸν ἐνθάδε νεὼν ἠνέῳξε, καὶ ὑπὸ χρόνων ῥυποῦντα ἐξεκάθηρεν ὁ τοῦ ἔθνους ἡγούμενος, νύκτωρ ἐπεισελθόντες, τὰ ἀγάλ-
2 ματα συνέτριψαν. Ὡς αἰτίων δὲ τούτων συλληφθέν-

[a] Lege Τατιανοῦ.

[b] In cod. Fuk. Μύρῳ. Sed non dubito quin scribendum sit Μήρῳ, quemadmodum legit Epiphanius Scholasticus. VALESIUS. Μύρῳ Christoph. Curt. Scal. Μηρῷ Socrat. Μίσῳ Niceph.

probro et ignominia merito affici, qui, a sene tot tantosque cruciatus fortiter perpesso, victi essent. Periculumque esse, ne ipsi quidem ridiculi evaderent; ii vero quos ita tractarent, illustriores redderentur. Marcus igitur Arethusiorum furori ac multiplicibus tormentis tanta animi fortitudine restitit, ut ab ipsis etiam Gentilibus eo nomine sit laudatus.

CAPUT XI.

De Macedonio, Theodulo, Gratiano, Busiride, Basilio et Eupsychio, qui tunc martyrio perfuncti sunt.

Eodem tempore Macedonius, Theodulus et Tatianus, Phryges, forti animo martyrium pertulerunt. Nam cum Mero, quæ urbs est Phrygiæ, rector provinciæ templum aperuisset, et diuturno situ ac sordibus oppletum repurgasset, illi noctu ingressi, simulacra contriverunt. Cumque alii tanquam hujus facinoris auctores comprehensi, et pœnas jam daturi essent, sese ipsi indicarunt.

των ἄλλων καὶ τιμωρεῖσθαι μελλόντων, σφᾶς αὐτοὺς
3 κατεμήνυσαν. Ἐξὸν δὲ εἴ γε θύειν ἠνέσχοντο, μηδὲν
παθεῖν, ὡς ἐν τούτῳ μόνῳ ἀπολογεῖσθαι ὑπὲρ τῶν
ἡμαρτημένων ὁ ἄρχων οὐκ ἔπειθε, πολλοῖς αὐτοὺς
ᾐκίσατο τρόποις· τελευταῖον δὲ ἐσχάραις ἐπιθεὶς, πῦρ
ὑφῆψεν· οἱ δὲ, καιόμενοι, Εἰ κρεῶν ὀπτῶν, ἔφασαν,
ἐπιθυμεῖς, ὦ Ἀμάχιε[c], τοῦτο γὰρ ὄνομα ἦν τῷ ἄρχον-
τι, καὶ ἐπὶ τὰς ἑτέρας πλευρὰς πρὸς τὸ πῦρ ἡμᾶς
στρέψον, ἵνα μή σοι γευομένῳ ἡμίοπτοι γενόμενοι[d]
ἀηδεῖς φαινώμεθα. Καὶ οἱ μὲν ὧδε γενναίως διαγενό-
4 μενοι, ἐν ταῖς τιμωρίαις τὸν βίον ἀπέθεντο. Φασὶ δὲ
καὶ Βούσιριν ἐν Ἀγκύρᾳ τῆς Γαλατίας λαμπρὰν καὶ
ἀνδρειοτάτην ὁμολογίαν ὑπομεῖναι διὰ τὴν θρησκείαν.
Ὃν τῆς αἱρέσεως ὄντα τότε τῶν καλουμένων Ἐγκρα-
τιτῶν, συλλαβὼν ὁ τοῦ ἔθνους ἄρχων, ὡς νεανιευσά-
μενον κατὰ τῶν Ἑλληνιστῶν αἰκίζεσθαι ἠβούλετο.
Καὶ δημοσίᾳ προαγαγὼν πρὸς τὸ βασανιστήριον ξύ-
5 λον, αἰωρεῖσθαι προσέταττεν. Ὁ δὲ Βούσιρις ἀνα-

c In cod. Fuk. ὦ Ἀμάχιμε, corrupte pro Ἀμάχιε. Sic enim impius ille præses vocatur in Menologio Græcorum, die duodecimo Septembris. VALESIUS. Ἀμάχιμε Christ. Curt. Scal. Ἀμάχιε Socrat. iii. 15, 8.

d γενώμεθα J.

Cum autem ipsis liceret illæsis abire, si modo diis sacrificare voluissent; postquam præses ipsis persuadere non potuit, ut vel hoc uno satisfactionis genere scelus suum diluerent, multis eos modis excruciavit. Ad extremum vero craticulis imposuit, ignemque subjecit. Illi dum cremarentur: si carnes assas, aiebant, concupiscis, O Amachi, id enim nomen erat præsidis, alterum nobis latus ad ignem obverte, ne gustanti tibi insuaves videamur, si semiassi simus. Et hi quidem cum ad hunc modum fortiter perstitissent, in tormentis animam exhalarunt. Aiunt præterea, Ancyræ in Galatia Busirim forti ac generosa confessione fidei nostræ inclaruisse. Qui cum esset, eo quidem tempore, ex secta eorum qui Encratitæ dicuntur, comprehensus est ut cæderetur a præside illius provinciæ, eo quod Gentilibus insultasset. Admotum igitur eculeo, præses sublimem tolli præcepit. At Busiris manibus ad caput sublatis, latera nudavit. Dixitque præsidi, non esse opus

σχὼν[e] τὼ χεῖρε πρὸς τὴν κεφαλὴν, ἐγύμνωσε τὰς
πλευράς· καὶ μὴ μάτην χρῆναι πονεῖν τοὺς δημίους
πρὸς τὸν ἄρχοντα ἔφη, ἀνάγοντας αὐτὸν ἐπὶ τὸ ξύ-
λον, καὶ πάλιν κατάγοντας· ἑτοίμως γὰρ καὶ δίχα
τούτου ἐφ' ὅσον βούλεται, παρέξειν τὰς πλευρὰς τοῖς
6 βασανισταῖς. Θαυμάσας δὲ τὴν ὑπόσχεσιν ὁ ἄρχων,
μᾶλλον τῇ πείρᾳ κατεπλάγη. Αἰκιζόμενος γὰρ ταῖς
ὄνυξι τὰς πλευρὰς μέχρις ὅτε τῷ ἄρχοντι ἐδόκει, διε-
καρτέρησε[f] τὼ χεῖρε ἀνέχων, καὶ τὰς πληγὰς προθύ-
μως δεχόμενος. Ἐν δεσμοῖς δὲ μετὰ ταῦτα γενό-
μενος, ἀνείθη οὐκ εἰς μακρὰν ἀγγελθέντος ἀνῃρῆσθαι
Ἰουλιανόν· καὶ μέχρι τῆς Θεοδοσίου βασιλείας ἐπε-
βίω· καὶ πρὸς τὴν καθόλου ἐκκλησίαν μετέθετο, κα-
7 ταγνοὺς τῆς προτέρας αἱρέσεως. Λόγος δὲ κατὰ τοῦ-
τον τὸν χρόνον μαρτυρίᾳ τὸν βίον μετελθεῖν Βασίλειον
πρεσβύτερον τῆς ἐν Ἀγκύρᾳ ἐκκλησίας, καὶ Εὐψύχιον
Καισαρέα Καππαδόκην τῶν εὐπατριδῶν, ἔναγχος γα- 197
8 μετὴν ἀγόμενον, καὶ οἷον ἔτι νυμφίον ὄντα. Συμ-
βάλλω δὲ, τὸν μὲν Εὐψύχιον ἀναιρεθῆναι διὰ τὸν
ναὸν τῆς Τύχης, ἐφ' ᾧ τότε καθαιρεθέντι, ὡς ἐν τοῖς

[e] ἀγαγὼν B. Steph. Genev. corr. Scal. Vales.

[f] διεμαρτύρισε J. διεμαρτύρησε Scal.

ut lictores ipsum in eculeum levando ac postea deponendo, frustra fatigarentur. Se enim absque hoc ministerio, latera sua quandiu vellet tortoribus ultro præbiturum. Admiratus pollicitationem præses, ipsius rei experimento magis stupefactus est. Nam cum latera ejus quandiu placuit præsidi, unguibus ferreis lacerarentur, manibus supra caput elatis, plagas alacri animo sustinens perseveravit. Post hæc conjectus in vincula, haud multo post liberatus est, cum mors Juliani nuntiata esset; et ad principatum usque Theodosii superstes fuit: damnataque priore hæresi, ad catholicam ecclesiam se contulit. Eodem tempore martyrio vitam finiisse dicuntur Basilius, Ancyranæ ecclesiæ presbyter, et Eupsychius, Cæsariensis Cappadox, nobili genere ortus: qui recens uxorem duxerat, et adhuc quasi sponsus erat. Et Eupsychius quidem, quantum conjectura assequor, propter templum genii

πρόσθεν εἴρηται, κοινῇ πάντες Καισαρεῖς τῆς τοῦ
βασιλέως ὀργῆς ἐπειράθησαν· οἱ δὲ τῆς καθαιρέ-
σεως αὐτουργοὶ, δίκην ἔδοσαν· οἱ μὲν θάνατον, οἱ δὲ
9 *τὴν πατρίδα φεύγειν καταδικασθέντες. Ὁ δὲ Βασίλειος*
περὶ τὸ δόγμα σπουδαῖος γεγονὼς, ἐφ' ὅσον μὲν ἦρχε
Κωνστάντιος, τοῖς τὰ Ἀρείου φρονοῦσιν ἀντέπραττε·
καὶ διὰ τοῦτο ψήφῳ τῶν ἀμφὶ τὸν Εὐδόξιον ἐκωλύθη
10 *ἐκκλησιάζειν. Ἐπεὶ δὲ Ἰουλιανὸς μόνος τὴν ἀρχὴν*
διεῖπεν, ὁ Βασίλειος περιϊὼν τοὺς Χριστιανοὺς δημο-
σίᾳ καὶ περιφανῶς προὐτρέπετο, τῶν οἰκείων ἔχεσθαι
δογμάτων, καὶ μὴ τοῖς Ἑλλήνων θύμασι καὶ σπον-
δαῖς μιαίνεσθαι· ἀντ' οὐδενὸς δὲ ἡγεῖσθαι τὰς γινο-
μένας εἰς αὐτοὺς παρὰ τοῦ βασιλέως τιμὰς, προσ-
καίρους ταύτας ἀποφαίνων[g] *ἐπὶ μισθῷ διηνεκοῦς*
11 *ἀπωλείας. Ταῦτα σπουδάζων, ἐν ὑπονοίᾳ τε καὶ μίσει*
παρὰ τοῖς Ἑλληνισταῖς ὢν, δημοσίᾳ θύοντας ἰδὼν
ἔστη· καὶ μέγα ἀνοιμώξας, ηὔξατο[h] *μηδένα Χριστια-*
νὸν τῆς τοιαύτης πειραθῆναι πλάνης. Ἐκ τούτου δὲ
συλληφθεὶς, παρεδόθη τῷ ἡγουμένῳ τοῦ ἔθνους· καὶ

[g] Ita C. *ἀποφαινόμενος* ceteri. [h] *ηὔχετο* C. Niceph.

publici interfectus est: quo tunc temporis destructo, universi Cæsarienses, sicut antea retulimus, in principis offensionem venerunt. Qui vero templum illud suis manibus subverterant, pœnas dedere: alii morte, alii exsilio multati. Basilius vero Christianæ fidei defensor acerrimus, quamdiu quidem Constantius imperium obtinuit, fortissime restiterat Arianis; atque ob hanc causam Eudoxiani, ne plebem colligeret, ei interdixerunt. Ubi vero Julianus solus imperio potitus est, regionem circumiens Basilius, Christianos palam ac publice hortabatur, ut doctrinæ suæ tenaciter adhærerent, nec Gentilium sacrificiis ac libationibus sese polluerent: neve honores ipsis ab imperatore delatos magni facerent, quos momentaneos esse ostendebat, sed perpetuo exitio compensandos. His rebus intentus, atque idcirco suspectus et invisus Gentilibus, cum aliquando eos publice sacrificantes vidisset, constitit: et graviter ingemiscens, Deum precatus est, ne quis Christianorum ejusmodi errore caperetur. Hanc ob causam comprehensus, præsidi

πολλὰς βασάνους ὑπομείνας, παρὰ πάντα τὸν ἀγῶνα
11 *ἀνδρείως τὴν μαρτυρίαν διήνυσε.* Καὶ τὰ μὲν ὧδε, εἰ καὶ παρὰ γνώμην τῷ βασιλεῖ ἀπέβη, οὐκ ἀγεννεῖς[i], οὐδὲ ὀλίγους μάρτυρας, καὶ ἐπὶ τῆς αὐτοῦ ἡγεμονίας ἀπέδειξε γεγενῆσθαι· σαφηνείας δὲ χάριν συναγαγὼν πάντας ὁμοῦ διεξῆλθον, εἰ καὶ διάφορος ἦν ὁ καιρὸς τῆς ἑκάστου μαρτυρίας.

ΚΕΦ. ΙΒʹ.

Περὶ Λουκίφερος καὶ Εὐσεβίου, τῶν δυτικῶν ἐπισκόπων· καὶ ὡς Εὐσέβιος, σὺν Ἀθανασίῳ τῷ μεγάλῳ καὶ λοιποῖς ἐπισκόποις ἐν Ἀλεξανδρείᾳ σύνοδον συνεκρότησαν, κυρώσαντες τὴν ἐν Νικαίᾳ πίστιν, καὶ ὁμοφυὲς Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον ὁρισάμενοι, καὶ περὶ οὐσίας καὶ ὑποστάσεως ἐθέσπισαν.

1 Μετὰ δὲ τὴν Ἀθανασίου κάθοδον, Λουκίφερ ὁ Καράλλων τῆς Σαρδονίας[k] ἐπίσκοπος, καὶ Εὐσέβιος ὁ Βερκέλλων[l] τῶν ἐν Ἰταλίᾳ Λιγύων[m], ἐκ τῶν ἄνω Θηβῶν ἐπανῆλθον. Ἐνθάδε γὰρ ἐπὶ Κωνσταντίου

[i] *ἀγεννεῖς γὰρ* C.

[k] *Καράλων* et *Σαρδανίας* Socrat. iii. 5. *Σαρδινίας* Christ.

[l] *Βρεκέλλων* Socrat. Niceph.

[m] Ita C. Christ. Curt. *Λιβύων* ceteri, et Niceph.

provinciæ offertur. Multaque in toto certamine perpessus tormenta, forti animo martyrium consummavit. Et hæc quidem licet præter voluntatem principis acciderint, non paucos tamen nec obscuros martyres, ejus quoque temporibus exstitisse coarguunt. Cæterum majoris perspicuitatis causa, omnes simul collectos commemoravi, tametsi diversis temporibus singuli martyrium pertulerint.

CAPUT XII.

De Lucifero et Eusebio, Occidentis partium episcopis: et quomodo Eusebius una cum magno Athanasio et reliquis episcopis synodum Alexandriæ congregavit, in qua fides Nicæna confirmata est, et Spiritum Sanctum ejusdem cum Patre et Filio naturæ esse decretum, et de substantia atque hypostasi definitum est.

Post reditum Athanasii, Lucifer Caralis in Sardinia episcopus, et Eusebius Vercellarum quæ civitas est Liguriæ in Italia, ex superiore Thebaïde reversi sunt. Illic enim perpetuo exulare jussi

διηνεκῶς φεύγειν προσετάχθησαν. Ἐπὶ διορθώσει τε τῶν ἐκκλησιαστικῶν πραγμάτων κοινῇ συνθήκῃ Εὐσέβιος μὲν ἧκεν εἰς Ἀλεξάνδρειαν, ὅπως σὺν Ἀθανασίῳ σύνοδον ἀθροίσῃ ἐπὶ βεβαιώσει τῶν ἐν Νικαίᾳ
2 δοξάντων. Λουκίφερ δὲ διάκονον τῷ Εὐσεβίῳ συν- 198
αποστείλας, ὃς ἀντ' αὐτοῦ παρέστη τῇ συνόδῳ, παραγενόμενος εἰς Ἀντιόχειαν, ἐν ταραχαῖς τὴν ἐνθάδε ἐκκλησίαν κατέλαβεν· ἐσχίζετο μὲν γὰρ τοῖς ἀπὸ τῆς Ἀρείου αἱρέσεως, ὧν ἡγεῖτο Εὐζώϊος· διεφέροντο δὲ, ὡς πρόσθεν εἴρηται, καὶ πρὸς τοὺς σφίσιν ὁμοδόξους οἱ Μελετίου σπουδασταί· μήπω δὲ τούτου ἀπὸ τῆς φυγῆς ἐπανελθόντος, ἐχειροτόνησε Παυλῖνον
3 ἐπίσκοπον. Ἐν τούτῳ δὲ πολλῶν πόλεων ἐπίσκοποι συνελθόντες εἰς Ἀλεξάνδρειαν ἅμα Ἀθανασίῳ καὶ Εὐσεβίῳ, τὰ δεδογμένα ἐν Νικαίᾳ κρατύνουσιν. Ὁμοούσιόν τε τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ ἅγιον Πνεῦμα ὡμολόγησαν, καὶ τριάδα ὠνόμασαν· οὐ μόνῳ τε σώματι[n], ἀλλὰ καὶ ψυχῇ τέλειον χρῆναι δοξάζειν ἄνθρωπον, ὃν ὁ Θεὸς λόγος ἀνέλαβεν, εἰσηγήσαντο, καθὰ καὶ τοῖς πάλαι ἐκκλησιαστικοῖς φιλοσόφοις ἐδό-

[n] στόματι B. Steph. Genev. Niceph. corr. Christ. Vales.

fuerant regnante Constantio. Ac de ecclesiasticis rebus restituendis inito inter se consilio, Eusebius quidem Alexandriam venit, ut illic una cum Athanasio ad confirmandam Nicænæ synodi sententiam concilium congregaret. Lucifer vero, cum diaconum una cum Eusebio misisset, qui synodo vice ipsius interfuit; Antiochiam profectus, ecclesiam ejus loci turbatam reperit. Scissa enim erat per Arianos, quibus præsidebat Euzoïus. Sed et fautores Meletii, ab illis qui eandem cum ipsis fidem profitebantur, nihilominus dissidebant. Cumque Meletius nondum ab exsilio rediisset, Lucifer Paulinum episcopum ordinavit. Inter hæc diversarum civitatum episcopi Alexandriæ congregati simul cum Athanasio et Eusebio, Nicæni concilii decreta confirmant. Et Spiritum Sanctum Patri et Filio consubstantialem professi sunt, Trinitatemque nominarunt: et hominem quem Deus Verbum assumpsit, non solum corpore, sed etiam anima perfectum credi debere statue-

4 κει. Ἐπεὶ δὲ ἡ περὶ τῆς οὐσίας καὶ ὑποστάσεως
ζήτησις τὰς ἐκκλησίας ἐτάραττε, καὶ συχναὶ περὶ
τούτων ἔριδες καὶ διαλέξεις ἦσαν, εὖ μάλα σοφῶς μοι
δοκοῦσιν ὁρίσαι, μὴ ἐξ ἀρχῆς εὐθὺς ἐπὶ Θεοῦ τούτοις
χρῆσθαι τοῖς ὀνόμασι, πλὴν ἡνίκα τις τὴν Σαβελλίου
δόξαν ἐκβάλλειν πειρῷτο· ἵνα μὴ ἀπορίᾳ ὀνομάτων
ταυτὸν δόξῃ τις τρισὶ προσηγορίαις καλεῖν, ἀλλ' ἕκα-
5 στον ἰδίᾳ νοοῖτο τριχῇ. Καὶ τὰ μὲν ὧδε τοῖς τότε ἐν
Ἀλεξανδρείᾳ συνελθοῦσιν ἔδοξεν. Ἀπολογούμενος
δὲ ἐν τούτοις Ἀθανάσιος περὶ τῆς αὐτοῦ φυγῆς διεξ-
ῆλθε τὸν λόγον ὃν περὶ τούτου ἔγραψε.

ΚΕΦ. ΙΓ'.

Περὶ τῶν ἐν Ἀντιοχείᾳ ἀρχιερέων, Παυλίνου καὶ Μελετίου· καὶ ὡς Εὐσέβιος καὶ Λουκίφερ πρὸς ἀλλήλους διηνέχθησαν· καὶ ὡς Εὐσέβιος καὶ Ἱλάριος τὴν ἐν Νικαίᾳ πίστιν ἐκρότουν.

1 Καὶ διαλυθείσης τῆς συνόδου, παραγενόμενος Εὐσέβιος εἰς Ἀντιόχειαν εὗρεν ἐν διχονοίᾳ τὸν λαόν. Οἱ γὰρ Μελετίῳ χαίροντες εἰς ταυτὸν συνιέναι Παυ-

runt, quemadmodum etiam antiquis ecclesiæ philosophis placuerat. Et quoniam quæstio de substantia et hypostasi ecclesias conturbabat, crebræque de his vocibus rixæ ac disputationes movebantur, prudenter admodum mihi videntur decrevisse; ubi de Deo sermo est, non esse statim his nominibus utendum, nisi quis forte sententiam Sabellii velit refellere: ne inopia verborum, unam eandemque rem tribus nominibus appellare videatur; sed ut unumquemque seorsum intelligat trifariam distinguens. Et hæc quidem decreta sunt ab iis qui tunc temporis Alexandriæ in unum convenerunt. Apud quos Athanasius, ut fugæ suæ rationem redderet, orationem recitavit quam de argumento illo conscripserat.

CAPUT XIII.

De Paulino et Meletio, episcopis Antiochiæ: et quomodo inter Eusebium ac Luciferum orta est dissensio: et quod Eusebius atque Hilarius Nicænam fidem asseruerunt.

Finito autem concilio, Eusebius Antiochiam profectus, populum illic dissidentem reperit. Fautores enim Meletii cum Paulino

2 λίνῳ οὐκ ἠνείχοντο, ἀλλ' ἰδίᾳ ἐκκλησίαζον. Χαλε-
πῶς δὲ ἐνεγκὼν, ὅτι μὴ δέον παρὰ τὴν πάντων συν-
αίνεσιν[o] ἡ χειροτονία ἐγεγόνει, οὐδὲν ἐς τὸ φανερὸν
ἐμέμψατο, Λουκίφερα τιμῶν. Οὐδετέρῳ δὲ μέρει κοι-
νωνήσας, ὑπέσχετο τὰ λυποῦντα ἑκατέρους ἐν συνόδῳ
3 διορθώσειν. Ἐν ᾧ δὲ τὸ πλῆθος πρὸς ὁμόνοιαν συν-
άπτειν ἐσπούδαζεν, ἐπανελθὼν Μελέτιος ἐκ τῆς ὑπερ-
ορίας, κεχωρισμένους εὑρὼν τοὺς τὰ αὐτῷ[p] φρονοῦν-
τας, ἰδίᾳ σὺν τούτοις ἔξω τῆς πόλεως ἐκκλησίαζεν·
ὁ δὲ Παυλῖνος, ἔνδον μετὰ τῶν οἰκείων· πρᾷον γὰρ,
ὑπό τε βίου καὶ γήρως αἰδοῖον ὄντα, τιμῶν Εὐζώϊος[q]
ὁ τῆς Ἀρείου αἱρέσεως προεστὼς, οὔτε ἐξέβαλε, καὶ
4 μίαν αὐτῷ ἐκκλησίαν ἀπένειμεν. Εὐσέβιος δὲ ἀπο-
τυχὼν τῆς σπουδῆς ἐξεδήμησεν Ἀντιοχείας. Ὑβρι-
σμένος δὲ παρ' αὐτοῦ Λουκίφερ, ὅτι μὴ τὴν Παυλίνου
χειροτονίαν ἐδέξατο, ἐχαλέπαινέ τε, καὶ κοινωνεῖν αὐ- 199
τῷ διεφέρετο· καὶ ὡς ἐξ ἔριδος, τὰ δόξαντα τῇ συν-

[o] Ita Valesius e cod. Fuk. σύνεσιν B. Steph. Genev.

[p] Procul dubio scribendum est τὰ αὐτοῦ. In cod. Fuk. τὰ αὐτὰ, quod non probo. VALES.

[q] Εὐσέβιος B. Steph. Genev. emendav. Christ. Scal. Vales. faventibus Nicephoro et Socrate.

convenire renuentes, separatim collectas celebrabant. Cumque moleste ferret, quod Paulinus contra quam oportebat, absque totius populi consensu ordinatus fuisset, nihil tamen palam conquestus est, ob reverentiam Luciferi. Sed cum ab utriusque partis communione se abstinuisset, pollicitus est emendaturum se in synodo, ea de quibus utrique querebantur. Dum populum ad pristinam concordiam revocare conaretur Eusebius, ab exsilio reversus Meletius, cum sectatores suarum partium sejunctos ab aliis deprehendisset, una cum illis seorsum extra urbem conventus ecclesiasticos habuit. Paulinus vero intra urbem cum suis collectas celebravit. Nam cum mitis esset, et tum ob sanctitatem vitæ, tum ob senectutem venerabilis, reveritus eum Euzoius Arianorum episcopus, non modo non ejecit ex civitate, sed unam ei ecclesiam attribuit. Eusebius vero cum conatus ipsi non succederet, Antiochia excessit. At Lucifer, contumeliæ loco ducens quod Eusebius ordinationem Paulini non probasset, communicare

ὁδῷ ἐν Ἀλεξανδρείᾳ διαβάλλειν ἐπεχείρει. [4]Ὁ δὴ
πρόφασις ἐγένετο τῆς αἱρέσεως τῶν ἀπ' αὐτοῦ καλου-
μένων Λουκιφεριανῶν. Οἱ γὰρ ἐπὶ τούτοις αὐτῷ
5 συναχθόμενοι, σφᾶς τῆς ἐκκλησίας ἀπέσχισαν[r]. Αὐ-
τὸς δὲ καίπερ ὑπὸ τῆς λύπης κρατούμενος, ἐπειδὴ διὰ
τοῦ διακόνου ὃν Εὐσεβίῳ συναπέστειλεν, ὡμολόγησεν
ἐμμεῖναι τοῖς ἐν Ἀλεξανδρείᾳ παρὰ τῆς συνόδου
πραχθεῖσιν, ὁμοφρονῶν τῇ καθόλου ἐκκλησίᾳ, εἰς
6 Σαρδονίαν[s] ἀφίκετο. Εὐσέβιος δὲ κατὰ τὴν ἕω περι-
ϊὼν, τοὺς ἠμεληκότας τῆς πίστεως ἐπηνωρθοῦτο, καὶ
ᾗ χρὴ φρονεῖν ἐδίδασκεν· ἔπειτα σπουδάζων, καὶ Ἰλ-
7 λυριοὺς διῆλθε, καὶ εἰς Ἰταλίαν ἧκεν. Ἔνθα δὴ ταῦτα
προκατωρθωκότα κατέλαβεν Ἱλάριον, ὃς Πυκτάβων,
πόλις δὲ ἥδε Ἀκοιτανίας[t], ἐπίσκοπος ἦν· ἔτυχε γὰρ
πρότερος ἐκ τῆς ὑπερορίας ἐπανελθὼν, Ἰταλούς τε
καὶ Γάλλους διδάξας, ποῖα μὲν χρὴ τῶν δογμάτων
προσίεσθαι, ποῖα δὲ φεύγειν· καὶ γὰρ δὴ καὶ[u] ἐλλό-
γιμος τῇ Ῥωμαίων γλώττῃ ἐγένετο, καὶ λόγους ἀξιο-

r ἀπέστησαν C. s Σαρδανίαν Socrat. Σαρδινίαν Christ. Scal.
t Ἀκυτανίας Socrat. iii. 10. u καὶ supra script. B.

illi detrectavit: et altercandi studio, ea quæ Alexandriæ in synodo decreta fuerant, reprehendere conatus est. Atque ea res occasionem præbuit sectæ illorum, qui ex ejus nomine Luciferiani sunt appellati. Etenim ii qui una cum illo ob eas res indignati sunt, se ipsos ab ecclesia præciderunt. Ipse vero quamvis exulcerato prorsus animo esset, tamen quoniam per diaconum quem una cum Eusebio miserat, se Alexandrinæ synodi actis consensurum promiserat, cum ecclesia catholica consentiens in Sardiniam rediit. Porro Eusebius Orientis provincias circumiens, eos qui in fide negligentiores fuerant, corrigere, et quæ credenda essent, docere cœpit. Per Illyricum deinde transiit, eidem operi intentus, et ad Italiam pervenit. Illic Hilarium Pictavorum, quæ urbs est Aquitaniæ, episcopum reperit, qui idem munus sedulo ante ipsum expleverat. Prior enim ab exsilio redierat, Italosque et Gallos, quæ admittenda, quæ fugienda essent dogmata docuerat. Nam et Latino sermone disertissimus fuit, et libros lectu dignissimos ad-

χρέους, ὡς εἴρηται, συνέγραψεν, ἀπομαχομένους τοῖς Ἀρείου δόγμασιν. Ὧδε μὲν Ἱλάριος οὗτος καὶ Εὐσέβιος, ἐν τῇ πρὸς δύσιν ἀρχομένῃ τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου συνεκρότουν.

ΚΕΦ. ΙΔ'.

Ὅπως οἱ ἀμφὶ Μακεδόνιον τοῖς περὶ Ἀκάκιον Ἀρειανοῖς διεφέροντο, καὶ τί ἦσαν ἀπολογούμενοι.

1 Ἐν τούτῳ δὲ οἱ ἀμφὶ Μακεδόνιον, ὧν ἦν Ἐλεύσιος, καὶ Εὐστάθιος, καὶ Σωφρόνιος, ἤδη εἰς τὸ προφανὲς Μακεδονιανοὶ καλεῖσθαι ἀρξάμενοι, ὡς εἰς ἴδιον διακριθέντες σύστημα, ἀδείας τετυχηκότες τῇ Κωνσταντίου τελευτῇ, συγκαλέσαντες τοὺς ἐν Σελευκείᾳ ὁμόφρονας αὐτοῖς γενομένους, συνόδους τινὰς ἐποιή-
2 σαντο. Καὶ τοὺς ἀμφὶ Ἀκάκιον, τήν τε[u] βεβαιωθεῖσαν ἐν Ἀριμίνῳ[x] πίστιν ἀπεκήρυξαν· τῇ δὲ ἐν Ἀντιοχείᾳ ἐκτεθείσῃ, ὕστερον δὲ ἐν Σελευκείᾳ πρὸς αὐτῶν κυρωθείσῃ, ἐπεψηφίσαντο. Ἐγκαλούμενοι δὲ τί δήποτε πρὸς τοὺς ἀμφὶ Ἀκάκιον διαφέρονται, πρότερον αὐ-

[u] τε om. B. Steph. inseruit Christ. Scal. Vales. καὶ τὴν Niceph.
[x] Ἀριμήνῳ B.

versus opinionem Arii composuit. Et Hilarius quidem iste ac Eusebius, Nicænæ synodi doctrinam hoc modo in Occidentis partibus asseruerunt.

CAPUT XIV.

Quomodo Macedoniani ab Acacianis dissenserint, et quam pro se excusationem attulerint.

Per idem tempus ii qui a Macedonii partibus stabant, inter quos Eleusius erat et Eustathius ac Sophronius, qui jam Macedoniani palam vocitari cœperant, utpote qui peculiarem sectam constituerent; Constantii obitu licentiam nacti, convocatis iis qui Seleuciæ cum ipsis consenserant, synodos quasdam congregaverunt: et Acacianos ac fidem in Ariminensi concilio firmatam condemnarunt. Eam vero quæ Antiochiæ promulgata, et ab ipsis postea Seleuciæ confirmata fuerat, decretis suis comprobarunt. Cumque his objiceretur, cur ab Acacianis dissiderent, quibus cum antea, utpote sibi consentientibus, communicabant, per Sophronium Pa-

τοῖς ὡς ὁμοδόξοις κοινωνοῦντες, τάδε διὰ Σωφρονίου 3 τοῦ Παφλαγόνος ἀπεκρίναντο[y]· ὡς οἱ κατὰ τὴν δύσιν τὸ ὁμοούσιον ἐδόξαζον· Ἀέτιος δὲ ἐν τῇ ἕῳ τὸ κατ' οὐσίαν ἀνόμοιον· καὶ οἱ μὲν ἀτάκτως τὰς ἰδιαζούσας ὑποστάσεις Πατρὸς καὶ Υἱοῦ συνέπλεκον εἰς ἑνότητα τῷ τοῦ ὁμοουσίου ὀνόματι· ὁ δὲ σφόδρα τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα φύσεως διΐστα τὴν οἰκειότητα· σφᾶς δὲ εὐσεβεῖν, ὅμοιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν καθ' ὑπόστασιν λέγοντας, καὶ μέσην ἀμφοῖν ταύτην τὴν ὁδὸν ἐπιλέξασθαι, ἑκατέρων πρὸς ἄκρον τοῦ ἐναντίου χωρησάντων. Καὶ οἱ μὲν ὧδε ἀπολογεῖσθαι τοῖς μεμφομένοις ἐπειρῶντο.

ΚΕΦ. ΙΕ'. 200

Ὡς ἐξόριστος πάλιν ἐγένετο Ἀθανάσιος· καὶ περὶ Ἐλευσίου τοῦ Κυζίκου, καὶ Τίτου τοῦ Βόστρων ἐπισκόπου· καὶ μνεία τῶν τοῦ συγγραφέως προγόνων.

1 Ὁ δὲ βασιλεύς, πυθόμενος ἐκκλησιάζειν Ἀθανάσιον ἐν τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ, καὶ ἀδεῶς διδάσκειν τὰ πλήθη, καὶ πολλοὺς Ἑλλήνων πείθειν εἰς

[y] ἐπεκρίναντο mendo typographico Reading.

phlagonem hæc responderunt; Occidentales quidem consubstantialem probavisse: Aëtium vero in Orientis partibus dissimilem quoad substantiam asseruisse. Et illos quidem distinctas Patris ac Filii personas consubstantialis vocabulo temere in unum confudisse: hunc vero naturæ Filii cum Patris natura cognationem nimium quantum divisisse. Se vero pie facere, qui Filium Patri similem secundum hypostasim dicant, et hanc mediam inter utrosque viam elegerint, cum utrique illorum ad extremum contrariorum deflexissent. Et isti quidem apud eos a quibus reprehendebantur, hac ratione se purgare conati sunt.

CAPUT XV.

Quomodo Athanasius iterum relegatus sit. Item de Eleusio Cyziceno et Tito Bostrensi episcopis. Et de majoribus Sozomeni.

Imperator vero, cum Athanasium in ecclesia Alexandrina collectas agere, et populum libere docere intellexisset, multosque

Χριστιανισμὸν μετατίθεσθαι, προσέταξεν αὐτὸν ἐξ-
2 ιέναι τῆς Ἀλεξανδρείας. Μένοντι δὲ ἐν ταύτῃ, μεγί-
στας προηγόρευε ζημίας· πρόφασιν ἐγκλημάτων ποι-
ησάμενος, ὡς παρὰ τῶν πρὸ αὐτοῦ βασιλέων φεύγειν
καταδικασθεὶς, μὴ ἐπιτραπεὶς ἀντελάβετο τοῦ θρόνου
τῆς ἐπισκοπῆς· μηδὲ γάρ[z] συγχωρῆσαι αὐτὸν[a] εἰς
τὰς ἐκκλησίας[b] κάθοδον τοῖς παρὰ Κωνσταντίου
3 φυγαδευθεῖσιν, ἀλλ' εἰς πατρίδας μόνον. Διὰ τοῦτο
δὲ τὸ βασιλέως πρόσταγμα μέλλων φεύγειν, δεδακρυ-
μένην ἰδὼν ἀμφ' αὐτὸν τὴν τῶν Χριστιανῶν πληθὺν,
Θαρρεῖτε, ἔφη· νεφύδριον γάρ ἐστι, καὶ θᾶττον παρε-
λεύσεται· καὶ τοῦτο εἰπὼν συνετάξατο· καὶ τοῖς
σπουδαιοτέροις τῶν φίλων τὴν ἐκκλησίαν παραθέμε-
4 νος, ἐξῆλθε τῆς Ἀλεξανδρέων πόλεως. Ἐν τούτῳ δὲ
Κυζικηνῶν πρεσβευσαμένων πρὸς βασιλέα περὶ οἰ-
κείων πραγμάτων, καὶ τῆς ἐπανορθώσεως τῶν Ἑλλη-
νικῶν ναῶν, ἐπαινέσας αὐτοὺς τῆς περὶ τὰ ἱερὰ προ-

[z] γὰρ suprascript. B.
[a] αὐτῷ B. Steph. Genev. αὐτὸν Christ. Vales.
[b] τὴν ἐκκλησίαν B. Steph. Genev. τὰς ἐκκλησίας Niceph. Vales. οὐ κάθοδον εἰς τὰς ἐκκλησίας αὐτοῖς ἀλλ' εἰς τὰς πατρίδας συνεχωρήσαμεν Julian. Epist. xxvi.

Gentilium ad Christianam religionem eo persuadente traduci, jussit ut Alexandria excederet. Pœnasque ei gravissimas interminatus est, si illic remansisset: criminis loco id objiciens, quod cum a superioribus principibus exsilio esset condemnatus, sine ipsius auctoritate episcopalem sedem sibi vindicasset. Neque enim se his qui a Constantio relegati fuerant, reditum ad ecclesias suas, sed in patriam duntaxat concessisse. Ob hoc igitur imperatoris præceptum, cum Alexandria discessurus esset, et Christianorum multitudinem circa se flentem videret: Bono animo estote, inquit: nubecula enim est, quæ cito præteribit. Post hæc verba valedixit: et ecclesia sua optimo cnique ex amicis commendata, urbe Alexandria excessit. Eodem tempore Cyziceni legatos ad imperatorem misere, de rebus suis et de instaurandis Gentilium templis acturos. Quos imperator ob curam sacrorum laudibus prosecutus, cuncta quibus opus habebant eis præbuit. Eleusio quoque ipsorum episcopo urbe interdixit, eo quod templa vastasset ac delubra

5 νοίας, πάντα παρέσχεν ὧνπερ ἐδέησε[c]. Καὶ Ἐλεύσιον δὲ τὸν παρ' αὐτοῖς ἐπίσκοπον τῆς πόλεως εἶρξεν, ὡς λυμηνάμενον τοῖς ναοῖς, καὶ τοῖς τεμένεσιν ἐνυβρίσαντα, καὶ χηροτροφεῖα[d] κατασκευάσαντα, καὶ παρθενῶνας ἱερῶν παρθένων συστησάμενον, καὶ τοὺς
6 Ἑλληνιστὰς πείθοντα τῶν πατρίων ἀμελεῖν. Ἀπηγόρευσε δὲ καὶ τοῖς σὺν αὐτῷ ξένοις Χριστιανοῖς, μὴ ἐπιβαίνειν Κυζίκῳ[e]· αἰτίαν ἐπαγαγὼν, ὡς εἰκὸς, αὐτοὺς τῆς θρησκείας ἕνεκα στασιάσαι[f]· συναιρομένων αὐτοῖς καὶ παραπλησίως περὶ τὸ θεῖον φρονούντων τῶν ἀπὸ τῆς πόλεως Χριστιανῶν, καὶ τῶν δημοσίων
7 ἐριουργῶν καὶ τῶν τεχνιτῶν τοῦ νομίσματος. Οἳ πλῆθος ὄντες, καὶ εἰς δύο τάγματα πολυάνθρωπα διακεκριμένοι, ἐκ προστάγματος τῶν πρὶν βασιλέων, ἅμα

[c] Scribendum videtur ἐδέησαν, ut habet Nicephorus. Interpretes vero ita verterunt hunc locum, quasi legeretur ἐδεήθησαν. Potest tamen defendi vulgata lectio hoc sensu. Julianus, cum Cyziceni legatos ad eum misissent de quibusdam negotiis, et de instauratione templorum, laudavit eorum pietatem erga deos: et cuncta iis concessit quibus ipse opus habebat, id est quæ ad falsorum numinum cultum spectabant. VALESIUS.

[d] Ita B. C. Niceph. χηροτροφία editt.

[e] Correct. e Κυζίκον B. Κυζίκων Steph. Genev. Κυζίκου Niceph.

[f] Scribendum puto στασιάσειν, quemadmodum legit Christophorsonus, ut ex versione ejus apparet. Ita quoque legit Nicephorus, qui hunc locum sic expressit: καὶ νόμον ἔθετο, Κυζίκου μὴ ἐπιβαίνειν ὅσοι δὴ [μὴ] αὐτόχθονες ἦσαν Χριστιανοί· τὸ δὲ αἴτιον, ἵνα μὴ φησὶ διαστασιάζοιεν περὶ τῆς θρησκείας, τῶν ἐποίκων καὶ ὁμοφύλων συναιρομένων. Ex iis apparet, Nicephorum legisse στασιάσειν. Cæterum ex cod. Fuk. correxi [in versione, non in textu] αὐτοὺς ὡς εἰκὸς etc. cum antea legeretur ὡς εἰκὸς αὐτούς. VALESIUS.

contumeliis affecisset: ædes præterea alendis viduis, et monasteria sacris virginibus construxisset: Gentilibus denique persuasisset, ut majorum cæremonias ritusque contemnerent. Quin etiam vetuit, ne peregrini Christiani qui cum illo erant, in urbem ingrederentur: causam hanc adjiciens, quod religionis suæ causa, ut verisimile est, seditionem excitaturi essent; adjunctis ad ipsorum partes Christianis qui in civitate erant, idemque cum illis de Deo sentiebant, et publicis opificibus lanariis, itemque monetariis: qui numero abundantes et in duas numerosas cohortes distributi, ex

γυναιξὶ καὶ οἰκείοις ἀνὰ τὴν Κύζικον διέτριβον, ἔτους 40 ἑκάστου ῥητὴν ἀποφορὰν τῷ δημοσίῳ κατατιθέντες, 201 οἱ μὲν στρατιωτικῶν χλαμύδων· οἱ δὲ, νεουργῶν νο-
8 μισμάτων. Ἐπεὶ γὰρ ἐκ παντὸς τρόπου δέδοκτο αὐτῷ συστῆσαι τὸν Ἑλληνισμὸν, βιάζεσθαι[g] μὲν ἢ τιμωρεῖσθαι τοὺς δήμους μὴ θέλοντας θύειν ἀβουλίας νενόμικεν. Σχολῇ γὰρ ἂν τοσούτων[h] καθ' ἑκάστην πόλιν οἱ ἄρχοντες τὸν ἀριθμὸν μόνον ἀπεγράψαντο[i]· οὐ μὴν οὐδὲ συνιέναι καὶ κατὰ γνώμην εὔχεσθαι διεκώλυεν. Ἤιδει γὰρ ὡς οὐκ[k] ἀνάγκῃ ποτὲ κατορθωθείη τὰ προαιρέσεως ἑκουσίας εἰς σύστασιν δεόμενα.
9 Τοὺς δὲ κληρικοὺς καὶ τοὺς προεστῶτας τῶν ἐκκλησιῶν ἀπελαύνειν τῶν πόλεων ἔσπευδε· τὸ μὲν ἀληθὲς εἰπεῖν, τῇ τούτων ἀπουσίᾳ πραγματευόμενος διαλῦσαι τῶν λαῶν τὰς συνόδους· ὥστε μήτε τοὺς ἐκκλησιάζοντας, μήτε τοὺς διδάσκοντας ἔχειν, μήτε μυστηρίων μεταλαμβάνειν, καὶ τῷ πολλῷ χρόνῳ ἐμπεσεῖν εἰς

[g] A βιάζεσθαι usque ad ἐννοεῖν infra, 11. desunt ap. J. [et Scal. Conf. Præfat.]

[h] Scribendum puto τούτων. Eundem errorem superius notavi. VALESIUS.

[i] ἐπεγράψαντο Reading.

[k] Assentior Christophorsono et Savilio, qui particulam negativam supplent hoc modo, ὡς οὐκ ἀνάγκῃ ποτέ. Atque ita legit Nicephorus et Epiphanius Scholasticus. VALESIUS. Ita B. καὶ editt. [Verba Nicephori sunt, ὡς οὐκ ἂν βίᾳ κατορθωθείη ὅσα δὴ κ.λ. Ideo pro ἀνάγκη quod editt. in textu, et Valesius etiam in Annott. habet, ἀνάγκῃ posui.]

præcepto superiorum principum, Cyzicum cum uxoribus ac domesticis incolebant: certam quotannis pensionem fisco inferentes; illi vestem militarem; hi nummos recens cusos. Nam cum Gentilium superstitionem omnibus modis stabilire instituisset, cogere quidem, ac supplicio afficere homines qui sacrificare nollent, summæ imprudentiæ esse existimavit. Ægre siquidem in singulis civitatibus magistratus ac judices, eorum numerum inire ac describere potuissent. Sed neque eos in unum convenire, et pro arbitrio preces facere prohibuit. Noverat quippe vim ac necessitatem nil valere in iis rebus, quæ libera voluntate opus habent ut consistant. Clericos vero et ecclesiarum antistites civitatibus ejici curavit: re ipsa quidem studens, ut istorum absentia conventus plebis aboleret, dum nemo esset qui eam colligeret, ac doceret, et

λήθην[1] τῆς οἰκείας θρησκείας. Σκεπτόμενος[m] δὲ ὡς
10 οἱ κληρικοὶ εἰς διάστασιν τὰ πλήθη ἄγουσιν. Οὕτως
οὖν οὔτε στάσεως γενομένης, οὔτε γίνεσθαι προσδοκωμένης, ἐξιέναι Κυζίκου τὸν Ἐλεύσιον καὶ τοὺς σὺν
11 αὐτῷ προσέταξε. Βοστρηνοὺς δὲ δημοσίῳ κηρύγματι προὐτρέψατο διῶξαι τῆς αὐτῶν πόλεως Τῖτον τὸν τότε τῆς ἐνθάδε ἐκκλησίας ἐπίσκοπον. Ὡς γὰρ ἠπείλησεν αὐτὸν καὶ τοὺς κληρικοὺς ἐν αἰτίᾳ ποιήσειν εἰ στασιάσαι τὸ πλῆθος, βιβλίον πρὸς βασιλέα διεπέμψατο Τῖτος, καὶ διεμαρτύρατο ἐφάμιλλον μὲν εἶναι τῷ Ἑλληνικῷ πλήθει τὸ Χριστιανικόν· ἠρεμεῖν δὲ τοῦτο, καὶ ταῖς αὐτοῦ παραινέσεσιν ἀγόμενον μηδὲν
12 στασιῶδες ἐννοεῖν. Ἐκ τοιούτων δὲ ῥημάτων εἰς ἔχθραν καταστῆσαι τῷ δημοσίῳ τὸν Τῖτον κατασκευ-

[1] εἰς λήθην ἐμπεσεῖν B.

[m] Scribendum proculdubio est σκηπτόμενος, quemadmodum Savilius in suo codice emendarat. Distinguit enim Sozomenus prætextum quo utebatur Julianus in pellendis ex urbe clericis, a vera causa quæ illum ad id faciendum pellebat. Et veram quidem causam ait fuisse, ut plebs doctoribus ac sacerdotibus destituta, paulatim in oblivionem religionis suæ delaberetur. Prætextum vero hunc fuisse dicit, quod clerici plebem ad seditiones concitare soliti essent. Hæc ideo fusius exposui, quia interpretes in hujus loci versione longe a vero aberrarunt, ac præcipue Christophorsonus. Sed neque Nicephorus veram hujus loci lectionem animadvertit: σκοπῶν enim posuit pro σκεπτόμενος. Interpres tamen Nicephori verum hujus loci sensum odoratus est: et quod Nicephorus non viderat, ipse interpretatione sua supplevit. VALESIUS.

qui sacramenta ministraret: ita ut progressu temporis in oblivionem religionis suæ prolaberentur. Causam vero hanc prætexens, quod clerici dissensiones in populo excitarent. Hac ratione Eleusium sectatoresque ejus urbe Cyzico exegit, cum tamen nec seditio ulla fieret, nec futura esse crederetur. Bostrenos quoque hortatus est, ut Titum ejus loci episcopum sub elogio præconis ejicerent. Nam cum minatus esset culpam se omnem conjecturum in illum et in clericos ejus, si plebs seditionem moveret; Titus libellum ad principem misit: testatusque est Christianos plebem Gentilium numero adæquare: quiescere tamen illos, et cohortationibus suis obtemperantes, nihil seditiosum moliri. Ex quibus verbis Titum

ἄζων, γράφων Βοστρηνοῖς διέβαλλεν[n] αὐτὸν, ὡς κατήγορον τοῦ πλήθους γεγενημένον, οἷα δὴ[o] μὴ ἀπὸ γνώμης οἰκείας, διὰ δὲ τὰς αὐτοῦ παραινέσεις μὴ στασιάζοντας· καὶ ὡς δυσμενῆ ἀπελαύνειν αὐτὸν
13 τῆς πόλεως ἀνεκίνει τὸν δῆμον. Τοιαῦτα δὲ πολλὰ καὶ ἀλλαχόσε συμβῆναι εἰκός· τὰ μὲν, κατὰ πρόσταγμα τοῦ βασιλέως· τὰ δὲ, ἐξ ὀργῆς καὶ προπετείας δήμων· ἐφ' οἷς καὶ οὕτως τῷ κρατοῦντι τὴν αἰτίαν τις ἀναθήσει τῶν γεγενημένων· οὐ γὰρ ὑπῆγε τοῖς νόμοις τοὺς ὧδε παρανομοῦντας· ἀλλὰ μίσει τῷ πρὸς τὴν θρησκείαν, μέμφεσθαι λόγοις δοκῶν, ἔργοις προὐτρέπετο τοὺς τὰ τοιαῦτα δρῶντας· ὅθεν καὶ μὴ διώκοντος αὐτοῦ κατὰ πόλεις καὶ κώμας ἔφευγον οἱ
14 Χριστιανοί. Ταύτης δὲ τῆς φυγῆς μετέσχον πολλοὶ τῶν ἐμῶν προγόνων, καὶ ὁ ἐμὸς πάππος. Καθότι
πατρὸς Ἕλληνος ὢν, αὐτός τε πανοικὶ καὶ οἱ ἀπὸ τοῦ 202
γένους Ἀλαφίωνος, Χριστιανοὶ πρῶτοι ἐγένοντο ἐν Βηθελίᾳ κώμῃ Γαζαίᾳ, πολυανθρώπῳ τε οὔσῃ, καὶ

[n] Ita B. Steph. Genev. διέβαλεν Vales. [o] δὲ B. Steph. Genev.

plebi invisum reddere cupiens imperator, in epistola quam scripsit Bostrenis, eum insimulavit tanquam calumniatorem civitatis, quod dixerat illos non sua sponte, sed ipsius hortatu a seditionibus abstinere. Plebemque incitavit ut illum, tanquam hostem publicum, e civitate sua expellerent. Hujusmodi multa alibi quoque contigisse vero simile est, partim ex imperatoris mandato, partim impetu ac temeritate vulgi. Quorum omnium culpam merito quis imperatori adscripserit. Neque enim ex legum præscripto animadvertit in eos, qui hujusmodi facinora contra leges commisissent: sed pro odio quo religionem nostram prosequebatur, verbis quidem reprehendere videbatur eos qui ista fecerant: rebus tamen ipsis eos incitabat. Itaque licet ille palam non persequeretur, per vicos tamen et civitates passim Christiani fugiebant. Cujus fugæ tum alii ex majoribus meis consortes fuere, tum avus meus. Nam cum patre Gentili natus esset, ipse tamen cum universa domo, omnesque simul qui ex gente erant Alaphionis, primi fidem Christi susceperunt Betheliæ: qui vicus est Gazæorum, abundans inco-

ἱερὰ ἐχούσῃ ἀρχαιότητι καὶ κατασκευῇ σεμνὰ τοῖς κατοικοῦσι· καὶ μάλιστα τὸ πάνθεον, ὡς ἐπὶ ἀκροπόλεως χειροποιήτου τινὸς λόφου κείμενον, καὶ πανταχόθεν πάσης τῆς κώμης ὑπερέχον. Συμβάλλω δὲ[p] τὸ χωρίον ἔνθεν λαχεῖν τὴν προσηγορίαν, καὶ ἐκ τῆς Σύρων φωνῆς εἰς τὴν Ἑλλήνων ἑρμηνευόμενον θεῶν οἰκητήριον ὀνομάζεσθαι, διὰ τὸν τοῦ πανθέου ναόν.
15 Λέγεται δὲ Χριστιανισμοῦ αἴτιος γενέσθαι τοῖς τούτων οἴκοις Ἱλαρίων ὁ μοναχός· δαιμονῶντος γὰρ Ἀλαφίωνος τούτου, ἐπὶ[q] πολὺ τινὲς Ἕλληνες καὶ Ἰουδαῖοι, ἐπῳδαῖς καὶ περιεργιαις τισὶ χρησάμενοι, οὐδὲν ἤνυον· ὁ δὲ, μόνον τὸ τοῦ Χριστοῦ ὄνομα ἐπιβοησάμενος, τὸ δαιμόνιον ἀπήλασεν, εἰς τὴν Χριστι-
16 ανῶν[r] μετεβάλετο[s] θρησκείαν. Διέπρεπε δὲ ὁ μὲν ἐμὸς πάππος ἐν ταῖς ἐξηγήσεσι τῶν ἱερῶν γραφῶν, εὐφυής τε ὤν, καὶ οἷος γνῶναι δὴ[t], καὶ κατὰ λόγον

p συμβάλλων δὲ οἶμαι J. Christ. Scal.

q ἐπειδὴ ἐπὶ emendare voluit Vales.

r Ante hæc verba asteriscum in suo codice posuit Savilius, ut aliquid hic deesse lector intelligeret. Locus tamen levi negotio ita suppleri potest, si paulo ante legeris hoc modo, ὡς γὰρ δαιμονῶντος etc. VALESIUS.

s Ita B. *eumque in religionem Christianam repente transposuit* Epiphan. μετεβάλοντο editt.

t Ita B. cod. Fuk. γνῶναι, καὶ δὴ καὶ conjecit Vales. δεῖ editt.

larum multitudine; templaque habet tum ob vetustatem, tum ob structuram, indigenis veneranda: præcipue vero pantheon, colli cuidam manu facto, velut arci, impositum, et supra universum pagum undequaque eminens. Unde etiam hunc locum nomen accepisse conjicio, et ex Syrorum lingua in Græcam conversum, deorum domicilium vocari ob illud fanum pantheon. Porro familias eorum quos supra dixi, ad Christianam religionem conversas esse perhibent ab Hilarione monacho. Nam cum Alaphion ille dæmonio vexaretur, pagani quidam et Judæi, incantamentis et magicis quibusdam maleficiis diutius usi, nihil profecerunt. Sed cum Hilarion solo Dei nomine invocato dæmonem expulisset, illi ad Christianam religionem se transtulerunt. Et avus quidem meus in exponendis sacris voluminibus excelluit, cum esset eleganti ingenio, et intelligentia valeret, ad ea quæ scire oportet cognoscenda.

μετρίως ἡγμένος, ὡς καὶ ἀριθμητικῆς μὴ εἶναι ἄμοιρος. Ὅθεν κεχαρισμένος εἰς ἄγαν ἐτύγχανε τοῖς ἀνὰ τὴν Ἀσκάλωνα καὶ Γάζαν, καὶ τοῖς πέριξ Χριστιανοῖς· ὡς ἀναγκαῖος[a] τῇ θρησκείᾳ, καὶ τὰ ἀμφίβολα
17 τῶν ἱερῶν γραφῶν εὐμαρῶς διαλύων[x]. Τῶν δὲ ἀπὸ τοῦ ἑτέρου γένους, σχολῇ γ' ἄν τις τὴν ἀρετὴν διηγήσαιτο· πρῶτοι γὰρ οὗτοι ἐνθάδε ἐκκλησίας καὶ μοναστήρια συνεστήσαντο, καὶ σεμνότητι καὶ φιλοφροσύνῃ ξένων καὶ δεομένων συνεκόσμησαν. Ἐκ ταύτης δὲ τῆς γενεᾶς, μέχρι καὶ εἰς ἡμᾶς περιῆσαν ἄνδρες ἀγαθοί, οἷς ἤδη πρεσβύταις νέος ὤν, συνεγενόμην. Ἀλλὰ τῶν μὲν ὕστερον ἐπιμνησθῆναι δεῖ.

ΚΕΦ. ΙϚʹ.

Περὶ τῆς σπουδῆς ἣν εἶχε συστῆσαι τὸν Ἑλληνισμὸν, ἀχρειῶσαι δὲ τὰ ἡμέτερα· καὶ ἐπιστολὴ ἥν τινι τῶν Ἑλληνιστῶν ἀρχιερέων ἀπέστειλεν.

1 Ὁ δὲ βασιλεὺς πάλαι σπουδάζων τὸν Ἑλληνισμὸν κρατεῖν κατὰ πᾶσαν τὴν ὑπήκοον, χαλεπῶς ἔφερε,

[a] Ita B. ut Valesius conjecerat: *necessarius* Epiphan. ἀναγκαίως editt.

[x] Ita B. *ad solvendas dubitationes Scripturæ divinæ proficiens* Epiphan. διαλύειν editt.

Erat præterea disciplinis mediocriter eruditus, adeo ut ignarus non esset arithmeticæ. Itaque Christianis Ascalonem et Gazam et finitima loca incolentibus, admodum carus fuit, tanquam utilis ac necessarius religioni, et qui sacrorum voluminum nodos facillime dissolveret. Eorum vero qui ex altera erant familia, virtutem vix ullus possit exponere. Primi enim ecclesias illic et monasteria condiderunt: et sanctitate vitæ atque humanitate erga peregrinos et pauperes, ea exornarunt. Ex ea porro gente viri quidam boni ad nostram usque ætatem superstites vixerunt; quibuscum jam ætate provectis ipse admodum adolescens versatus sum. Verum de his aliquanto post mentionem fieri conveniet.

CAPUT XVI.

De studio Juliani in stabilienda Gentilium religione, et Christiana fide abolenda: item epistola quam scripsit ad quendam sacerdotem Gentilium.

Imperator vero, qui jam pridem id maxime studebat, ut Genti-

παρευδοκιμούμενον ὁρῶν ὑπὸ τοῦ Χριστιανισμοῦ. Ναοὶ μὲν γὰρ ἀνεῴγεισαν, καὶ θυσίαι, καὶ Ἑλλήνων πάτριοι ἑορταὶ τῶν πόλεων κατὰ γνώμην αὐτῷ προχωρεῖν ἐδόκουν· ἠνιᾶτο δὲ λογιζόμενος, ὡς εἰ γυμνωθείη ταῦτα τῆς αὐτοῦ σπουδῆς, ταχεῖαν ἕξει τὴν μεταβολήν· οὐχ ἥκιστα δὲ ἤχθετο, καὶ πολλῶν ἱε- 203
ρέων χριστιανίζειν ἀκούων τὰς γαμετὰς καὶ τοὺς παῖ-
2 δας καὶ τοὺς οἰκέτας. Ὑπολαβὼν δὲ τὸν Χριστιανισμὸν τὴν σύστασιν ἔχειν ἐκ τοῦ βίου καὶ τῆς πολιτείας τῶν αὐτὸν μετιόντων, διενοεῖτο πανταχοῦ[y] τοὺς Ἑλληνικοὺς ναοὺς τῇ παρασκευῇ καὶ τῇ τάξει τῆς Χριστιανῶν θρησκείας διακοσμεῖν· βήμασί τε, καὶ προεδρίαις, καὶ Ἑλληνικῶν δογμάτων καὶ παραινέσεων διδασκάλοις τε καὶ ἀναγνώσταις, ὡρῶν τε ῥητῶν καὶ ἡμερῶν τεταγμέναις εὐχαῖς, φροντιστηρίοις τε ἀνδρῶν καὶ γυναικῶν φιλοσοφεῖν ἐγνωκότων, καὶ καταγωγίοις ξένων καὶ πτωχῶν, καὶ τῇ ἄλλῃ τῇ περὶ τοὺς δεομένους φιλανθρωπίᾳ, τὸ Ἑλληνικὸν δόγμα

[y] Ita B. πανταχῇ Christ. Scal. Vales. πάντων Steph. Genev.

lium religio per universum Romanum imperium prævaleret, eam a Christianorum religione longe superari cernens, iniquo animo tulit. Nam templa quidem Deorum patebant: et sacrificia, festique Gentilium dies, ritusque majorum in singulis civitatibus ex voto principis procedere videbantur. Dolebat tamen, cum apud se reputaret, brevi ista commutanda esse, si cura ipsius ac sollicitudine destituerentur. Angebatur autem non mediocriter, cum audiret multorum flaminum uxores ac liberos et famulos Christianam religionem profiteri. Cumque existimaret Christianorum religionem ex vita et moribus eorum qui illam sectarentur, maxime commendari, Gentilium templa apparatu atque ordine Christianis usitato ornare constituit: gradibus præterea ac primi consessus prærogativa; Gentilium item dogmatum et exhortationum doctoribus atque lectoribus; certorum quoque dierum atque horarum statutis precationibus; monasteriis præterea virorum ac mulierum philosophari cupientium; xenodochiis denique et ptochotrophiis, et omni reliqua erga egenos humanitate religionem Gentilium il-

3 σεμνύναι. Ἑκουσίων τε καὶ ἀκουσίων ἁμαρτημάτων κατὰ τὴν τῶν Χριστιανῶν παράδοσιν ἐκ μεταμελείας σύμμετρον τάξαι σωφρονισμόν. Οὐχ ἥκιστα δὲ ζηλῶσαι λέγεται τὰ συνθήματα τῶν ἐπισκοπικῶν γραμμάτων, οἷς ἔθος ἀμοιβαδὸν τοὺς ξένους ὅποι δήποτε διϊόντας, καὶ παρ' οἷς ἂν ἀφίκωνται, πάντως[z] κατάγεσθαι καὶ θεραπείας ἀξιοῦσθαι, οἷά γε γνωρίμους καὶ φιλτάτους[a], διὰ τὴν τοῦ συμβόλου μαρτυρίαν.
4 Ταῦτα διανοούμενος, ἐσπούδαζε τοὺς Ἑλληνιστὰς προσεθίζειν[b] τοῖς τῶν Χριστιανῶν ἐπιτηδεύμασιν. Ἀλλ' ἐπειδὴ τοῖς πολλοῖς ἴσως ἀπίθανον εἶναι τοῦτο δοκεῖ, οὐκ ἄλλοθεν ἢ ἀπ' αὐτῶν τῶν τοῦ βασιλέως ῥημάτων παρέξομαι τὴν τῶν εἰρημένων[c] ἀπόδειξιν. Γράφει γὰρ[d] ὧδε.

5 Ἀρσακίῳ ἀρχιερεῖ Γαλατίας ἐπιστολὴ Ἰουλιανοῦ βασιλέως[e].

Ἑλληνισμὸς οὔπω πράττει κατὰ λόγον, ἡμῶν ἕνεκα

[z] πάντας J. Scal.
[a] φιλαιτάτους B.
[b] Legendum videtur προεθίζειν, sicut προέθιζε infra.
[c] τῶν εἰρημένων τὴν B.
[d] Ita B. et cod. Fuk. Valesii. δὲ editt.
[e] Ita B. Steph. Genev. et cod. Fuk. Valesii, ad marginem: ἐπιστολὴ Ἰουλιανοῦ βασιλέως om. Valesii textus.

lustrare. Ad hæc peccatis quæ vel sponte, vel ab invitis committuntur, juxta morem Christianorum congruam pœnitentiæ emendationem adhibere decreverat. Sed præcipue notas ac tesseras episcopalium literarum admiratus esse dicitur, quibus solent peregrinos sibi invicem commendare; ut undelibet venientes, ad quoscumque accesserint, tanquam noti atque amici excipiantur hospitio, et benigne curentur ob testimonium ejusmodi notæ. Hæc cum animo agitaret, operam dabat ut Gentiles Christianorum institutis assuefaceret. Sed quoniam istud plerisque incredibile fortasse videbitur, non aliunde quam ex ipsismet imperatoris verbis, hujus rei veritatem comprobabo. Sic enim ille scribit.

Arsacio sacerdoti Galatiæ.

Religio Gentilium nondum ex animi nostri sententia viget, culpa

τῶν μετιόντων αὐτόν. Τὰ γὰρ τῶν Θεῶν, λαμπρὰ καὶ μεγάλα, κρείττονα πάσης μὲν εὐχῆς, πάσης δὲ ἐλπίδος· ἵλεως δὲ ἔστω τοῖς λόγοις ἡμῶν Ἀδράστεια· τὴν γὰρ ἐν ὀλίγῳ τοσαύτην καὶ τηλικαύτην μεταβολὴν, οὐδὲ εὔξα-
6 σθαι τὶς ὀλίγῳ πρότερον ἐτόλμα[f]. Τί οὖν ἡμεῖς οἰόμεθα ταῦτα ἀρκεῖν; οὐδὲ ἀποβλέπομεν, ὃ[g] μάλιστα τὴν ἀθεότητα συνηύξησεν, ἡ περὶ τοὺς ξένους φιλανθρωπία, καὶ ἡ περὶ τὰς ταφὰς τῶν νεκρῶν προμήθεια, καὶ ἡ πεπλασμένη σεμνότης κατὰ τὸν βίον. Ὧν ἕκαστον οἴομαι χρῆναι παρ'
7 ἡμῶν ἀληθῶς ἐπιτηδεύεσθαι. Καὶ οὐκ ἀπόχρη τό σε μόνον[h] εἶναι τοιοῦτον, ἀλλὰ πάντας ἁπαξαπλῶς οἳ περὶ τὴν Γαλατίαν εἰσὶν ἱερεῖς. Οὓς ἢ δυσώπησον, ἢ πεῖσον εἶναι σπουδαίους, ἢ τῆς ἱερατικῆς λειτουργίας ἀπόστησον, εἰ μὴ προσέρχοιντο[i] μετὰ γυναικῶν καὶ παίδων καὶ θεραπόντων τοῖς θεοῖς, ἀλλὰ[k] ἀνέχοιντο τῶν οἰκετῶν, ἢ υἱέων, ἢ τῶν

[f] τὴν γὰρ ἐν ὀλίγῳ τοσαύτην καὶ τηλικαύτην μεταβολὴν ὀλίγῳ πρότερον ἐτόλμα Steph. οὐδὲ εὔξασθαι addidit Christoph. οὐδὲ εὔξεσθαι Scal. τίς γὰρ ἐν emendavit Petavius ad Julian. Epist. 49. Textus Valesii quem sequimur, ille est quem habet B. et Nicephorus.

[g] Scribendum videtur ὡς μάλιστα. Certe Epiphanius Scholasticus ita legit, ut ex versione ejus apparet. Sic enim vertit hunc locum: *neque respicimus quemadmodum superstitionem Christianorum auxerit cura peregrinorum*. VALESIUS.

[h] Ita Niceph. Vales. τὸ σεμνὸν B. Steph. Genev. Julian. *te talem esse* Epiphan.

[i] Ita B. J. προσέχοιντο Steph. Genev. Julian. προσέρχονται Niceph. Vales.

[k] ἀλλ' B.

eorum qui illam profitentur. Nam ea quidem quæ ad Deos pertinent, præclara sunt atque magnifica, omnique voto ac spe majora. Atque id pace Nemesis dictum sit. Talem enim ac tantam exiguo temporis spatio mutationem, ne optare quidem quisquam paulo ante audebat. Quid ergo? putamusne nos ista sufficere? Nec attendimus quid Christianorum religionem potissimum auxerit; humanitas scilicet in peregrinos, et in sepeliendis mortuis sollicita diligentia, et simulata morum gravitas. Quorum singula vere a nobis exercenda esse existimo. Nec sufficit quod tu unus ejusmodi sis: sed quotquot in Galatia sunt flamines tales esse decet. Quos tu vel pudore afficiendo, vel persuadendo, bonos redde, aut a sacerdotali ministerio remove, si una cum uxoribus et liberis ac famulis ad Deos non accedant: sed aut servos, aut filios, aut conjuges Galilæas sustineant, qui et impii sint erga Deos, et impie-

Γαλιλαίων γαμετῶν, ἀσεβούντων μὲν εἰς τοὺς Θεοὺς, ἀθεό-
8 τητα δὲ θεοσεβείας προτιμώντων. Ἔπειτα παραίνεσον
ἱερέα, μήτε θεάτρῳ[l] παραβάλλειν, μήτε ἐν καπηλείῳ πί- 204
νειν, ἢ τέχνης τινὸς καὶ ἐργασίας αἰσχρᾶς καὶ ἐπονει-
δίστου προΐστασθαι· καὶ τοὺς μὲν πειθομένους τίμα· τοὺς
9 δὲ ἀπειθοῦντας ἐξώθει. Ξενοδοχεῖα καθ' ἑκάστην πόλιν
κατάστησον πυκνὰ, ἵν' ἀπολαύσωσιν οἱ ξένοι τῆς παρ'
ἡμῶν φιλανθρωπίας, οὐ τῶν ἡμετέρων μόνον, ἀλλὰ καὶ
10 τῶν ἄλλων, ὅστις ἂν δεηθῇ χρημάτων. Ὅθεν δὲ εὐπορή-
σεις, ἐπινενόηταί μοι τέως. Ἑκάστου γὰρ ἐνιαυτοῦ τρισ-
μυρίους μοδίους κατὰ πᾶσαν τὴν Γαλατίαν ἐκέλευσα δοθῆ-
ναι σίτου, καὶ[m] ἑξακισμυρίους οἴνου ξέστας· ὧν τὸ πέμπτον
μὲν[n] εἰς τοὺς πένητας, τοὺς τοῖς ἱερεῦσιν ὑπηρετουμένους,
ἀναλίσκεσθαι φημὶ χρῆναι· τὰ δὲ ἄλλα τοῖς ξένοις καὶ
11 τοῖς μεταιτοῦσιν ἐπινέμεσθαι παρ' ἡμῶν. Αἰσχρὸν γὰρ,
εἰ τῶν μὲν Ἰουδαίων οὐδεὶς μεταιτεῖ· τρέφουσι δὲ οἱ δυσ-
σεβεῖς Γαλιλαῖοι πρὸς τοῖς ἑαυτῶν, καὶ τοὺς ἡμετέρους·
οἱ δὲ ἡμέτεροι, τῆς παρ' ἡμῶν ἐπικουρίας ἐνδεεῖς φαί-
12 νονται[o]. Δίδασκε δὲ καὶ συνεισφέρειν τοὺς Ἑλληνιστὰς

[l] θέατρα J. Christ. Scal.

[m] Hæc καὶ ἑξακισμυρίους—ad πένητας, τοὺς om. Steph. Genev. Julian. [inserunt Christ. Curt. Scal. Vales. Nicephorum secuti.]

[n] Ita B. Niceph. μὲν πέμπτον Vales. post Christ. Curt. Scal.

[o] φαίνοιντο B.

tatem religioni præponant. Deinde singulos flamines hortare, ut nec ad theatrum accedant, nec in tabernis bibant, nec artem ullam, aut opificium turpe ac probrosum exerceant. Et eos quidem qui obtemperaverint, honore affice: contumaces vero atque immorigeros expelle. Crebra in singulis civitatibus xenodochia constitue, ut peregrini non ex nostris solum, sed ex aliis etiam, si pecunia forte opus habuerint, humanitate nostra perfruantur. Porro unde sumptus tibi suppetant, a me jam provisum est. Nam quotannis triginta millia modiorum tritici per universam Galatiam dari jussi et sexaginta millia sextariorum vini. Quorum quintam partem in pauperes qui flaminibus ministrant, insumendam esse censeo: reliqua peregrinis ac mendicantibus a vobis dividenda. Turpe enim fuerit, ex Judæis quidem neminem mendicare: impios vero Galilæos præter suos pauperes, etiam nostros alere. Nostros autem mendicos, nostra ope ac subsidio destitutos videri. Doce ergo Gentiles, ut ad hujusmodi ministeria aliquid conferant, et Gentilium pagi primitias fructuum diis offerant. Et Græcos

εἰς τὰς τοιαύτας λειτουργίας, καὶ τὰς Ἑλληνικὰς κώμας ἀπάρχεσθαι τοῖς θεοῖς τῶν καρπῶν· καὶ τοὺς Ἑλληνικοὺς ταῖς τοιαύταις εὐποιΐαις προέθιζε, διδάσκων αὐτοὺς ὡς τοῦτο πάλαι ἦν ἡμέτερον ἔργον. Ὅμηρος γοῦν αὐτὸ πεποίηκεν Εὔμαιον λέγοντα,

Ξεῖν', οὔ μοι θέμις ἔστ', οὔτ'[p] εἰ κακίων σέθεν ἔλθοι,
Ξεῖνον ἀτιμάσαι[q]· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Ξεῖνοί τε πτωχοί τε· δόσις δ' ὀλίγη τε φίλη τε.

Μηδὲ[r] τὰ παρ' ἡμῖν ἀγαθὰ παραζηλοῦν ἄλλοις συγχωροῦντες, αὐτοὶ τῇ ῥαθυμίᾳ καταισχύνοιμεν[s], μᾶλλον δὲ
13 καταπροώμεθα τὴν εἰς τοὺς Θεοὺς εὐλάβειαν. Εἰ ταῦτα πυθοίμην ἐγώ σε πράττοντα, μεστὸς εὐφροσύνης ἔσομαι. Τοὺς ἡγεμόνας ὀλιγάκις ἐπὶ τῆς οἰκίας ὅρα· τὰ πλεῖστα δὲ αὐτοῖς ἐπίστελλε. Εἰσιοῦσι δὲ εἰς τὴν πόλιν, ὑπαντάτω μηδεὶς αὐτοῖς ἱερέων· ἀλλ' ὅταν εἰς τὰ ἱερὰ φοιτῶσι τῶν θεῶν, εἴσω τῶν προθύρων. Ἡγείσθω δὲ μηδεὶς αὐτῶν εἴσω στρατιώτης· ἐπέσθω δὲ ὁ βουλόμενος· ἅμα γὰρ εἰς
14 τὸν οὐδὸν ἦλθε τοῦ τεμένους, καὶ γέγονεν ἰδιώτης. Ἄρχεις γὰρ αὐτὸς, ὡς οἶσθα, τῶν ἔνδον, ἐπεὶ καὶ ὁ θεῖος

p ἐστὶν οὔτε B. Homer.
q Ita B. Niceph. ἀτιμᾶσαι Steph. Genev. ἀτιμῆσαι Vales.
r Μὴ δὴ conjecit Valesius.
s καταισχύνωμεν C.

homines hujusmodi beneficentiæ assuefacito, docens illos, id olim a nobis institutum fuisse. Homerus enim Eumæum sic loquentem inducit:

Haud mihi fas, vel si veniat te vilior hospes,
Quemquam despicere. A summo nam sunt Jove cuncti,
Qui peregre adveniunt: modicum autem munus amicum est.

Ne igitur aliis ut bona nostra æmulentur, permittentes, ipsi per socordiam nos probro afficiamus: aut potius religionem erga Deos prodamus. Quod si te hæc agere accepero, exultabo gaudio. Præsides domi raro invise: sed literas ad eos sæpius mitte. Illis in urbem ingredientibus nullus flamen occurrat. Cum autem templa deorum adierint, intra vestibulum duntaxat occurrat flamen. Intrantes vero illos nullus apparitorum præcedat: sequatur autem qui volet. Nam simulatque ingressus est limen delubri, privatus efficitur. Tu enim, ut probe nosti, intra templum imperium obtines; quandoquidem et divina lex istud postulat. Et ii

ταῦτα ἀπαιτεῖ θεσμός. Καὶ οἱ μὲν πειθόμενοι, κατὰ ἀλήθειαν εἰσὶ θεοσεβεῖς· οἱ δὲ ἀντεχόμενοι τοῦ τύφου, δοξοκόποι εἰσὶ καὶ κενόδοξοι. Τῇ Πισσινοῦντι βοηθεῖν ἕτοιμός εἰμι, εἰ τὴν μητέρα τῶν θεῶν ἵλεω καταστήσουσιν ἑαυτοῖς. Ἀμελοῦντες δὲ αὐτῆς, οὐκ ἄμεμπτοι[t] μόνον, ἀλλὰ πικρὸν εἰπεῖν, μὴ[u] καὶ τῆς παρ' ἡμῶν ἀπολαύσωσι δυσμενείας.

Οὐ γάρ μοι θέμις ἐστὶ[v] κομιζέμεν, ἢ ἐλεαίρειν
Ἄνδρας, οἳ καὶ θεοῖσιν ἀπέχθονται ἀθανάτοισιν.

Πεῖθε τοίνυν αὐτούς, εἰ τῆς παρ' ἐμοῦ κηδεμονίας ἀντέχονται, πανδημεὶ τῆς μητρὸς τῶν θεῶν ἱκέτας γενέσθαι.

ΚΕΦ. ΙΖʹ.

Ὅτι ἵνα μὴ τυραννικὸς δόξῃ, τεχνηέντως μετήρχετο τοὺς Χριστιανούς· καὶ περὶ τῆς καθαιρέσεως τοῦ σταυρικοῦ σημείου· καὶ ὡς θῦσαι τὸ στρατιωτικὸν ἀκουσίως πεποίηκε.

1 Ὁ μὲν δὴ[x] βασιλεὺς τοιάδε ποιῶν καὶ γράφων, ἡγεῖτο ῥᾳδίως τοὺς ἀρχομένους ἑκόντας μεταθήσειν

[t] μέμπτοι Christ.

[u] Lego εἰπεῖν μοὶ, quemadmodum legisse videtur Musculus. Lego etiam ἀπολαύσουσι, ut legitur apud Nicephorum. In codice tamen Fuketiano scriptum inveni, πικρὸν εἰπεῖν, μὴ δὲ τῆς. Quod non probo. VALESIUS. μὴ δὲ Christ. Scal.

[v] Pro ἐστὶ habent εἰπεῖν B. Steph. Genev.

[x] Ita B. δὴ om. editt.

quidem qui obtemperant, revera pii sunt cultores deorum: qui vero fastum ac pompam circumferunt, vani sunt et inanis gloriæ cupidi. Equidem paratus sum subvenire Pessinuntiis, si matrem deorum sibi propitiam reddiderint. Sin vero eam neglexerint, non modo reprehensione non carebunt; sed quod dictu mihi acerbum est, indignationem quoque nostram experientur.

Namque mihi haud fas est miserari hos atque fovere,
Qui sint infensi diis immortalibus hostes.

Persuade igitur illis, ut si curam sui a me suscipi volunt, universi matri deorum supplices sint.

CAPUT XVII.

Quomodo Julianus, ne tyrannus esse videretur, Christianos dolose persecutus est; et crucis vexillum deposuit: milites denique sacrificare invitos coegit.

Et imperator quidem cum ista et faceret et scriberet, subditos suos facile ac lubenti animo a Christiana fide traducturum se esse

τοῦ δόγματος. Καὶ πάντα σπουδάζων ἐπὶ καθαιρέσει
τῆς τῶν Χριστιανῶν θρησκείας, οὔτε πείθειν παντε-
λῶς οἷός τε ἦν, περιφανῶς τε βιάζεσθαι ᾐσχύνετο, μὴ
τυραννικὸς εἶναι δόξῃ. Οὐ μὴν καθυφῆκε τῆς προθυ-
μίας, ἀλλὰ πάντα ἐμηχανᾶτο, πρὸς Ἑλληνισμὸν τὸ
ὑπήκοον, μᾶλλον δὲ τὸ στρατιωτικὸν, τὸ μὲν, δι' ἑαυ-
2 τοῦ, τὸ δὲ, διὰ τῶν ἀρχόντων ἐπαγόμενος. Ἀτεχνῶς
δὲ διὰ πάντων Ἑλληνίζειν προσεθίζων[y], μεταποιεῖν
ἔγνωκεν εἰς τὸ πρότερον σχῆμα, τὸ κορυφαῖον τῶν
Ῥωμαϊκῶν συνθημάτων, ὅπερ[z] Κωνσταντῖνος κατὰ
θεῖον πρόσταγμα, ὡς ἐν τοῖς πρόσθεν εἴρηται, εἰς
3 σταυροῦ σύμβολον μετετύπωσεν. Ἐν δὲ ταῖς δημο-
σίαις εἰκόσιν ἐπιμελὲς ἐποιεῖτο παραγράφειν αὐτῷ,
Δία μὲν, οἷά γε ἐκ τοῦ οὐρανοῦ προφαινόμενον, καὶ
στέφανον καὶ ἁλουργίδα τὰ σύμβολα τῆς βασιλείας
παρέχοντα· Ἄρεα δὲ καὶ τὸν Ἑρμῆν εἰς αὐτὸν βλέ-
ποντας, καὶ καθάπερ τῷ ὀφθαλμῷ ἐπιμαρτυροῦντας
4 ὡς ἀγαθὸς εἴη περὶ λόγους καὶ πολεμικός. Ἐκέλευσε
δὲ ταῦτα καὶ ὅσα ἄλλα πρὸς Ἑλληνικὸν ὁρᾷ σέβας,

[y] *προθεσπίζων* J. Christ. Scal. *προσεθίζων* vero Niceph. utroque loco. Mallem *προεθίζων*, uti supra.
[z] *ἅπερ* J. Scal.

existimabat. Cumque omnia moliretur ad evertendam Christianorum religionem, persuadere quidem nullatenus valuit: palam autem vim inferre erubescebat, ne tyrannus esse videretur. Nec tamen de studio suo quidquam remisit: sed omnia excogitavit, quibus subditos, ac præcipue milites, ad Gentilium religionem, partim per se, partim per præsides alliceret. Denique ut omnibus modis eos Gentilium superstitioni assuefaceret, in pristinam formam commutare decrevit signum illud nobilissimum exercituum Romanorum, quod Constantinus, Deo jubente, ut superius retulimus, in crucis formam converterat. In publicis autem imaginibus, curavit ut juxta se pingeretur Jupiter, velut e cœlo apparens, et coronam ac purpuram, imperii insignia, ipsi præbens: aut Mars ac Mercurius, oculos in ipsum conjicientes, ac veluti oculorum nutu testificantes, eum disertum esse, et rei militaris peritum. Hæc et ejusmodi alia quæ ad Gentilium cultum pertinent, imagi-

παραμίγνυσθαι[a] ταῖς εἰκόσιν· ὥστε προφάσει τῆς εἰς βασιλέα νενομισμένης τιμῆς, λεληθότως προσκυνεῖν
5 τοῖς συγγεγραμμένοις[b]. Ἀποχρώμενός τε τοῖς ἀρχαίοις ἔθεσι, πάσῃ περινοίᾳ ἐσπούδαζε κλέπτειν τῶν ὑπηκόων τὴν προαίρεσιν· ἐνενόει γὰρ ὡς εἰ πείσειεν, ἑτοιμότερον οἷς ἂν θέλῃ τὸ λοιπὸν ἐπιχειρήσειεν· εἰ δὲ ἀπειθοῦντας εὕροι, συγγνώμης[c] ἐκτὸς κολάσειν, ὡς περὶ[d] τὰ ἔθη Ῥωμαίων νεωτερίζοντας, καὶ εἰς
6 πολιτείαν καὶ βασιλέα[e] ἐξαμαρτάνοντας. Ὀλίγοι μὲν οὖν, οἳ καὶ δίκην εἰσεπράχθησαν, συνῆκαν τὸν λόγον[f], καὶ ὡς ἔθος ἦν, οὐκ ἠνείχοντο προσκυνεῖν· τὸ δὲ πλῆθος, οἷα φιλεῖ, ὑπ' ἀγνοίας ἢ γνώμης ἀπεριέργου, νόμῳ ἁπλῶς παλαιῷ ἡγοῦντο πείθεσθαι, καὶ ἁπλούστερον ταῖς εἰκόσι προσῄεσαν[g]. Βασιλεῖ[h] δὲ πλέον

[a] παρεμμίγνυσθαι B. Steph. Genev. παραναμίγνυσθαι C. παραμίγνυσθαι Niceph. Vales.

[b] ἐγγεγραμμένοις C.

[c] οὐ συγγνώμης B. Steph. Genev. οὐ delev. Christ. Curt. Vales.

[d] Libri quidem nihil mutant hoc loco. Mallem tamen scribere παρά. Id est, contra mores et instituta majorum. VALESIUS.

[e] Ita B. et Valesius e cod. Fuk. βασιλείαν Steph. Genev. Niceph.

[f] καὶ συνῆκαν τὸν δόλον J. Christ. Scal.

[g] Ita Niceph. Christ. Scal. Vales. προῄεσαν B. Steph. Genev.

[h] βασιλεὺς J. Christ. Scal.

nibus suis inseri jussit: eo consilio, ut sub obtentu honoris qui imperatori deferri solet, Romani eos etiam qui simul picti erant, imprudentes adorarent. Abutensque veteribus institutis, omni industria laborabat, ut subditorum animos deciperet. Sic enim cogitabat, si quidem ea persuasisset, reliqua quæ vellet, se deinceps facilius aggressurum. Si vero refragari eos deprehendisset, se absque ulla venia in illos animadversurum, utpote qui contra mores atque instituta Romanorum, novitati studerent, et in rempublicam inque imperatorem ipsum peccarent. Ac pauci quidem, qui etiam pœnas dederunt, consilium ejus intellexere, nec, ut moris erat, adorare sustinuerunt. Vulgus vero, ut solet, vel ignoratione, vel simplicitate animi ductum, vetustæ consuetudini omnino parendum esse existimabat, et inconsultius ad imagines accedebat. Verum imperator, ne hanc quidem fraudem expertus, quid-

7 οὐδὲν ἠνύετο. Καὶ ταύτης[i] τῆς τέχνης εἰς πεῖραν
προελθούσης, οὐ μὴν ἐνεδίδου, ἀλλὰ πάντα ἐπινοῶν 206
διετέλει, ὡς ἂν προσάγοι[k] τοὺς ἀρχομένους παρα-
πλησίως αὐτῷ θρησκεύειν. Οἷον δὲ καὶ τότε ἐμηχα-
νήσατο, οὐκ ἀπᾴδει τοῦ εἰρημένου· περιφανέστερον
μέντοι τοῦ προτέρου καὶ βιαιότερον ἐπεχειρήθη, καὶ
πρόφασις ἀνδρείας οὐκ ὀλίγοις ἐγένετο τῶν ἐν τοῖς
8 βασιλείοις στρατευομένων. Ἐπεὶ γὰρ καιρὸς παρῆν
βασιλέα δωρεῖσθαι τοῖς[l] στρατιώταις, γίνεται δὲ τοῦτο
ὡς ἐπίπαν ἐν ταῖς Ῥωμαίων ἱερομηνίαις, καὶ βασι-
λέων καὶ βασιλίδων πόλεων ἐν γενεθλίοις ἡμέραις,
λογισάμενος ὡς ἁπλοῦν φύσει καὶ εὐηθές ἐστι τὸ
στρατιωτικὸν, καὶ ὑπὸ συνήθους πλεονεξίας ῥᾳδίως
ἡττᾶται χρημάτων. Τῶν δὲ ἐπὶ ταύτην παριόντων[m],

[i] ταῦτα B. Steph. Genev. ταύτης e cod. Fuk. Vales.

[k] προσαγάγοι J.

[l] Ita B. τοῖς om. ceteri.

[m] Ante hæc verba desunt nonnulla, quæ supplevi ex Nicephoro in hunc modum: τέχνῃ τινὶ θύειν καὶ ἄκοντας τοῖς δαίμοσιν ἀφ-κονόμει· νενόμιστο γὰρ δῆθεν ἐκ παλαιοῦ, τοὺς ἐπὶ τὴν δωρεὰν παριόντας θύειν. Utrum autem Nicephorus integriorem codicem nactus fuerit, an hæc ex conjectura suppleverit, affirmare non possum. Cæterum hanc fraudem Juliani notat Gregorius Naz. in priore Invectiva pag. 84. [Or. iv. 82.] VALESIUS. Locum ita reddit Epiphanius; *Cum venisset itaque tempus, quo imperialia milites solent dona accipere, hoc enim agitur plerumque die Kalendarum Januariarum et natali principum et urbium regiarum, exquisivit quatenus eos simpliciter, et ex prisca consue-*

quam profecit. Non cessavit tamen, sed perstitit omnia moliri atque excogitare, ut subditos ad eandem cum ipso religionem colendam adduceret. Id vero quod tunc temporis machinatus est, non valde discrepat ab eo quod jam retuli. Apertius tamen quam prius illud, et majore cum violentia susceptum est: nec paucis qui in palatio militabant, fortitudinis suæ declarandæ occasionem præbuit. Nam cum tempus advenisset, quo donativum a principe erogandum erat militibus, id autem plerumque fit diebus festis Romanorum, et natalibus imperatorum atque urbium regiarum, secum ipse considerans, milites suopte ingenio simplices esse atque incautos, et ob insitam ipsis cupiditatem pecuniis facile decipi,

ἕκαστον οἱ τῷ βασιλεῖ παρεστῶτες ἐκέλευον θυμιᾷν. Προὔκειτο γὰρ πλησίον λίβανος καὶ πῦρ, ὡς δὴ τοῦτο
9 πάλαι Ῥωμαίοις νενομισμένον. Ἐνταῦθα οἱ μὲν ἀδεῶς τὴν ἀνδρείαν ἐπεδείξαντο, καὶ οὔτε θυμιάσαι, οὔτε δῶρον παρὰ τοῦ βασιλέως λαβεῖν ἠνέσχοντο· οἱ δὲ, προσχήματι νόμου καὶ ἀρχαιότητος, οὐδὲ εἰς νοῦν ἔλαβον ὃ ἡμάρτανον· οἱ δὲ, τῷ φαινομένῳ κέρδει δελεασθέντες, ἢ δέει καὶ θορύβῳ προκατειλημμένοι ἐκ τῆς παραυτίκα ἀναφανθείσης σκηνῆς, εἰ καὶ συνῆκαν
10 ἑλληνίζοντες, τὸ μὴ τοῦτο παθεῖν οὐ διέφυγον. Τῶν δ' αὖ ἀγνοίᾳ περιπεσόντων ταύτῃ τῇ ἁμαρτίᾳ, λέγονταί τινες τάδε[n], ὡς εἱστιῶντο φιλοφρονούμενοι, οἷά γε ἐν τοῖς πότοις γίνεσθαι φιλεῖ, καὶ προπίνοντες ἀλλήλοις, Χριστὸν ἐπονομάσαι ταῖς κύλιξιν. Ὑπολαβόντα δέ τινα[o] τῶν δαιτυμόνων, Θαυμαστὸν, ἔφη,

tudine fallere potuisset: jussitque, ut unusquisque ad manum imperatoris accedentium, admonitus ab officiis, primo incensum offerret; neque ea agnoscit quæ Nicephorus habet. Videtur igitur hiatus in textu antiquus esse.

n Aut vox τάδε delenda est, aut plura hoc loco desiderantur. Certe Nicephorus locum ita supplet: λέγονταί τινες τάδε πρᾶξαι. VALESIUS. Ferri posset μετὰ ταδέ. Conf. Gregor. Naz. Or. iv. 84.

o Grammaticæ leges postulant ut scribamus ὑπολαβὼν δέ τις. Sequitur enim ἔφη. VALESIUS.

arte quadam usus est ut eos ad sacrificandum impelleret. Mos enim erat jam inde a priscis temporibus, ut donativum accepturi diis immolarent. Cum igitur singuli ad donativum accederent, hi qui imperatori astabant, unumquemque thus adolere jubebant. Thus enim et ignis prope appositus erat. Idque ex veteri more institutoque Romanorum. Tum vero alii quidem absque metu magnitudinem animi sui declararunt, nec aut thus adolere, aut donativum ab imperatore accipere voluerunt. Alii vero, consuetudinis ac vetustatis specie inducti, ne scelus quidem suum animadverterunt. Alii lucro proposito inescati, aut metu ac perturbatione præventi ob scenam quæ repente ipsorum oculis apparebat, licet se Gentilium more sacra facere intelligerent, haud tamen istud piaculum effugerunt. Fertur autem quosdam ex iis qui istud sceleris imprudentes admiserant, cum in convivio, ut fieri solet.

ὑπομένετε Χριστὸν ἐπικαλούμενοι, ὃν πρὸ βραχέως
ἠρνήσασθε, ἡνίκα τὸ δῶρον παρὰ τοῦ βασιλέως δεξά-
11 μενοι τῷ πυρὶ τὸν λιβανωτὸν ἐπιτεθείκατε. Ἅμα δὲ
τοῦτο ἤκουσαν καὶ συνῆκαν ὅπερ εἰργάσαντο, αὐτίκα
ἀναπηδήσαντες δημοσίᾳ ἔθεον, βοῶντες καὶ δεδακρυ-
μένοι, καὶ Θεὸν αὐτὸν καὶ πάντας ἀνθρώπους μαρτυ-
ρόμενοι Χριστιανοὺς εἶναι σφᾶς καὶ διαμεῖναι· ἐν
ἀγνοίᾳ δὲ τοῦ γεγονότος, εἴγε ὅλως εἰπεῖν ἐστὶ, μόνην
ἑλληνίσαι τὴν χεῖρα, μὴ συμπραξάσης τῆς διανοίας.
12 Ἐπεὶ δὲ ὡς βασιλέα ἦλθον, προσρίψαντες ὃν δεδώ-
κει χρυσὸν, εὖ μάλα ἀνδρείως τὸ οἰκεῖον δῶρον ἀπο-
λαβεῖν ᾔτουν, αὐτοὺς δὲ ἀνελεῖν· μὴ μεταμεληθή-
σεσθαι γὰρ, εἰ ὑπὲρ ὧν προνοίας ἐκτὸς ἥμαρτεν ἡ
δεξιὰ τῷ παντὶ σώματι δίκην δοῖεν διὰ Χριστόν. Ὁ
δὲ βασιλεὺς καίπερ χαλεπῶς ἐνεγκὼν, κτεῖναι μὲν
αὐτοὺς ἐφυλάξατο, μὴ μαρτυρίας γερῶν ἀξιωθεῖεν·
ἀφελόμενος δὲ τῆς στρατείας, ἐξεώσατο τῶν βασι-
λείων.

sibi mutuo propinarent benevolentiæ testificandæ causa, Christum ad singula pocula nominasse. Quendam vero ex convivis hæc illis respondisse: mirum quidpiam patimini, Christum invocantes, quem paulo antea negavistis, tunc cum donativum accipientes a principe, thus in focum imposuistis. Quibus auditis, cum facinus quod admiserant intelligere cœpissent, illico exsilientes, publice discurrere cœperunt, vociferantes, et cum lacrymis Deum hominesque testantes, Christianos se esse, ac semper fuisse: per ignorationem autem ejus quod fieret, si tamen id licet dicere, solam manum sacrificasse, animo neutiquam conscio. Post hæc imperatorem adeuntes, projecto quod dederat auro, petierunt admodum forti animo, ut donum suum reciperet; ipsos vero interficeret. Neque enim se mutaturos sententiam, si pro scelere quod manus ipsorum admiserat, toto corpore pœnas persolverent propter Christum. Imperator vero, quamvis eo facto exasperatus esset, eos tamen occidere noluit, ne honorem martyrii adipiscerentur: sed exauctoratos palatio expulit.

ΚΕΦ. ΙΗʹ. 207

Ὡς Ἰουλιανὸς ἐκώλυε Χριστιανοὺς καὶ ἀγορῶν, καὶ κρίσεων, καὶ τοῦ μετέρχεσθαι τὴν Ἑλληνικὴν παιδείαν· καὶ περὶ Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἀπολιναρίου, ἀνθισταμένων αὐτῷ, καὶ μεταβαλλόντων τὰ θεῖα πρὸς τὴν Ἑλληνικὴν φράσιν· καὶ μᾶλλον Ἀπολινάριος, καὶ Γρηγόριος ὁ Ναζιανζηνός· ὁ μὲν ῥητορικῶς λίαν γράφων· ὁ δὲ ἡρωΐζων, καὶ πάντα ποιητὴν μιμούμενος.

1 Ταύτης δὲ τῆς γνώμης καὶ περὶ πάντας τοὺς Χριστιανοὺς ὑπῆρχεν, ἀφορμῆς λαβόμενος· ὅπουγε καὶ μηδὲν ἐγκαλεῖν ἔχων, παραιτουμένους θύειν ἰσοπολιτείας ἐφθόνει καὶ συλλόγων καὶ ἀγορῶν μετέχειν· καὶ τοῦ δικάζειν ἢ ἄρχειν ἢ ἀξιωμάτων κοινωνεῖν οὐ μετεδίδου· οὐ μὴν οὐδὲ τοὺς αὐτῶν παῖδας ξυνεχώρει ἐκδιδάσκεσθαι τοὺς παρ' Ἕλλησι ποιητὰς καὶ συγ-
2 γραφέας, οὐδὲ τοῖς τούτων διδασκάλοις φοιτᾶν. Ἐλύπει γὰρ αὐτὸν οὐ μετρίως Ἀπολινάριος ὁ Σύρος, πρὸς παντοδαπὴν εἴδησιν καὶ λόγων ἰδέαν παρεσκευασμένος· Βασίλειός τε καὶ Γρηγόριος οἱ Καππαδόκαι, παρευδοκιμοῦντες[p] τοὺς τότε ῥήτορας· ἄλλοι τε

[p] πανευδοκιμοῦντες J. Christ. Scal.

CAPUT XVIII.

Quomodo Julianus Christianos foro ac judiciis uti, et Græcorum disciplinis institui prohibuit: et de Basilio magno, Gregorio Theologo, atque Apollinare, qui imperatori resistentes, sacra volumina in Græcum sermonem transtulerunt. Et quod Gregorius quidem Nazianzenus, soluta oratione admodum eleganter multa scripsit; Apollinaris vero heroicum carmen composuit, cunctosque veteres poetas imitatus est.

Eodem animo fuit erga reliquos omnes Christianos, ubi occasionem nactus fuerat. Iis enim qui sacrificare abnuerent, etsi nihil haberet quod illis objiceret, jus civitatis adimebat. A conventibus quoque et a foro eos prohibuit: nec judicare aut magistratus gerere, aut honoribus ac dignitatibus frui permisit. Sed et Christianorum liberos, haudquaquam passus est poëtas atque oratores Græcorum ediscere, et Gentilium professorum scholas frequentare. Urebant ejus animum non mediocriter Apollinaris Syrus omni disciplinarum genere instructus: et Basilius Grego-

ἐπὶ τούτοις[q] πλεῖστοι ἐλλόγιμοι, ὧν οἱ μὲν ἐζήλουν τὰ ἐν Νικαίᾳ δόξαντα· οἱ δὲ ἐκ τῆς Ἀρείου ὥρμηντο
3 αἱρέσεως. Ἐντεῦθεν οὖν μόνον δημιουργεῖσθαι τὸ πεῖθον οἰόμενος, οὐ συνεχώρει τοῖς Χριστιανοῖς ἐν τοῖς τῶν Ἑλλήνων ἀσκεῖσθαι μαθήμασιν. Ἡνίκα δὴ Ἀπολινάριος οὗτος εἰς καιρὸν τῇ πολυμαθίᾳ[r] καὶ τῇ φύσει χρησάμενος, ἀντὶ μὲν τῆς Ὁμήρου ποιήσεως ἐν ἔπεσιν ἡρῴοις τὴν Ἑβραϊκὴν ἀρχαιολογίαν συνεγράψατο μέχρι τῆς τοῦ[s] Σαοὺλ βασιλείας, καὶ εἰς εἰκοσιτέσσαρα μέρη τὴν πᾶσαν πραγματείαν διεῖλεν, ἑκάστῳ τόμῳ προσηγορίαν θέμενος ὁμώνυμον τοῖς παρ' Ἕλλησι στοιχείοις κατὰ τὸν τούτων ἀριθμὸν
4 καὶ τὴν τάξιν. Ἐπραγματεύσατο δὲ καὶ τοῖς Μενάνδρου δράμασιν εἰκασμένας κωμῳδίας. Καὶ τὴν Εὐριπίδου τραγῳδίαν, καὶ τὴν Πινδάρου[t] λύραν ἐμιμήσατο. Καὶ ἁπλῶς εἰπεῖν, ἐκ τῶν θείων γραφῶν τὰς ὑποθέσεις λαβὼν τῶν ἐγκυκλίων καλουμένων μαθημάτων, ἐν ὀλίγῳ χρόνῳ ἐπενόησεν ἰσαρίθμους καὶ ἰσοδυνάμους πραγματείας, ἤθει τε καὶ φράσει καὶ

[q] τούτῳ B. Steph. Genev. τούτοις Vales.

[r] πολυμαθείᾳ B. C.

[s] τοῦ om. B.

[t] τὴν Μενάνδρου B. Steph. Genev. corr. Christ. Curt. Scal. Vales.

riusque Cappadoces, qui cunctos illius temporis oratores longe superabant: multique præterea disertissimi viri, quorum alii fidem Nicæni concilii sequebantur: alii opinionem Arii erant amplexi. Cum igitur persuadendi facultatem hinc tantum parari existimaret, non permisit Christianis ut Græcorum disciplinis erudirentur. Quo quidem tempore Apollinaris is quem supra dixi, multiplici eruditione et ingenio quo valebat, opportune usus, pro Homeri carmine, Hebræorum antiquitatem usque ad regnum Saulis heroico versu conscripsit, et universum opus in quatuor ac viginti partes distribuit, ac singulis libris ex Græcorum literis cognomentum indidit, juxta earum numerum atque ordinem. Scripsit etiam comœdias instar fabularum Menandri. Euripidis quoque tragœdias, et Pindari lyram imitatus est. Denique ut compendio dicam, sumptis ex sacra scriptura argumentis liberalium disciplinarum, brevi tempore lucubrationes composuit, et numero et præ-

χαρακτῆρι καὶ οἰκονομίᾳ ὁμοίᾳ τοῖς παρ' Ἕλλησιν ἐν
5 τούτοις εὐδοκιμήσασιν. Ὥστε εἰ μὴ τὴν ἀρχαιότητα
ἐτίμων οἱ ἄνθρωποι, καὶ τὰ συνήθη φίλα ἐνόμιζον,
ἐπίσης, οἶμαι, τοῖς παλαιοῖς τὴν Ἀπολιναρίου σπου-
δὴν ἐπῄνουν[u], καὶ ἐδιδάσκοντο ταύτην[x], πλέον αὐτοῦ
τὴν εὐφυΐαν θαυμάζοντες, ὅσῳ γὲ τῶν μὲν ἀρχαίων
ἕκαστος περὶ ἓν μόνον ἐσπούδασεν· ὁ δὲ, τὰ πάντα
ἐπιτηδεύσας, ἐν κατεπειγούσῃ χρείᾳ τὴν ἑκάστου ἀρε-
6 τὴν ἀπεμάξατο. Οὐκ ἀγεννὴς δὲ καὶ πρὸς αὐτὸν τὸν
βασιλέα, ἤτοι τοὺς παρ' Ἕλλησι φιλοσόφους, ἐστὶν 208
αὐτοῦ λόγος[y], ὃν ὑπὲρ ἀληθείας ἐπέγραψεν· ἐν ᾧ
καὶ δίχα τῆς τῶν ἱερῶν λόγων μαρτυρίας, ἔδειξεν αὐ-
τοὺς ἀποβουκοληθέντας τοῦ δέοντος[z] περὶ Θεοῦ φρο-
7 νεῖν. Τάδε γὰρ ἐπιτωθάζων ὁ βασιλεὺς, τοῖς τότε
διαπρέπουσιν ἐπισκόποις ἐπέστειλεν, Ἀνέγνων, ἔγνων,
κατέγνων· τοὺς δὲ, πρὸς ταῦτα ἀντιγράψαι[a], Ἀνέγνως,

[u] ἐποίουν B. Steph. Genev. ἐπῄνουν tacite Vales.

[x] Hunc locum ita scribendum ac distinguendum puto, ἐπῄνουν καὶ ἐδιδάσκοντο ταύτῃ πλέον αὐτοῦ τὴν εὐφυΐαν θαυμάζοντες etc. quod proculdubio elegantius est vulgata lectione. VALESIUS.

[y] Ita B. Steph. Niceph. ὁ inseruit ante λόγος Christ. Scal. Vales.

[z] δεόντως correct. in δέοντος B. ὀρθῶς Niceph.

[a] Addendum est verbum φασὶν ex Nicephoro. VALESIUS.

stantia æquales iis qui apud Græcos in eo genere celebres exstitere, seu genium, seu dictionem, seu formam, seu dispositionem operis spectes. Adeo ut nisi homines antiquitatem venerari solerent, et ea maxime diligere quibus assueverunt; Apollinaris libros æque ac veterum illorum laudaturi essent ac discituri: eoque magis ingenium hominis admiraturi; quod veterum quidem singuli in uno tantum genere doctrinæ versati sunt: hic vero omnia complexus, vim ac præstantiam uniuscujusque, ubi usus id postularet, expressit. Nec ignobilis est ejusdem liber, quem adversus imperatorem, et Gentilium philosophos composuit, qui de veritate inscribitur. In quo etiam absque ullo testimonio sacrorum librorum, ostendit illos vano errore deceptos, secus quam decet de Deo sentire. Etenim imperator nostra irridens, ad illustrissimos episcopos hujusmodi epistolam scripserat. Legi: intellexi: damnavi. Quibus illi ita rescripsisse dicuntur. Legisti quidem, sed

ἀλλ' οὐκ ἔγνως· εἰ γὰρ ἔγνως, οὐκ ἂν κατέγνως.
8 Εἰσὶ δὲ οἱ Βασιλείῳ τῷ προστάτῃ τῆς Καππαδοκῶν ἐκκλησίας[b] ταύτην τὴν ἐπιστολὴν ἀνατιθέασι· καὶ οὐκ ἀπεικός· ἀλλ' εἴτε αὐτοῦ, εἴτε ἄλλου ταῦτα[c] ἐστὶν, ἄγασθαι δικαιον ἀνδρείας καὶ παιδεύσεως τὸν γράψαντα.

ΚΕΦ. ΙΘ'.

Περὶ τοῦ λόγου τοῦ Ἰουλιανοῦ, ὃν ἐπέγραψε μισοπώγωνα· καὶ περὶ τῆς ἐν Ἀντιοχείᾳ Δάφνης· καὶ ἔκφρασις αὐτοῦ· καὶ περὶ τῆς μετακομιδῆς τῶν λειψάνων Βαβύλα τοῦ ἱερομάρτυρος.

1 Ὁ δὲ βασιλεὺς Πέρσαις ἐπιστρατεῦσαι σπουδάζων, ἧκεν εἰς Ἀντιόχειαν τὴν Σύρων· ἐκβοήσαντος δὲ τοῦ πλήθους, ὡς πολλὰ μέν ἐστι τὰ ἐπιτήδεια, πολλοῦ δὲ πωλοῖτο· ὑπὸ φιλοτιμίας, οἶμαι, τὸν δῆμον ἐπαγόμενος, ἐπὶ ἥττονι ἢ ἔδει τιμήματι τὰ ἐπ'
2 ἀγορᾶς ὤνια πωλεῖσθαι προσέταξεν. Ἐκφυγόντων δὲ τῶν καπήλων, τὰ μὲν ἐπιτήδεια ἐπέλιπεν. Ἀν-

[b] τῶν ἐν Καππαδοκίᾳ ἐκκλησιῶν B. Steph. Genev. Niceph. mutav. Christ. Scal. Curt. Vales. *Præsulis ecclesiæ Cappadocenæ,* Epiphan.

[c] τοῦτο B. τοῦτό ἐστιν C.

non intellexisti. Nam si intellexisses, nunquam condemnasses. Non desunt tamen qui Basilio ecclesiæ Cappadocum episcopo hanc epistolam tribuant: neque id a vero abhorret. Verum sive ab hoc, sive ab alio quopiam scripta est, scriptorem ejus mirari profecto debemus, tum ob magnitudinem animi, tum ob eruditionem.

CAPUT XIX.

De libro Juliani quem μισοπώγωνα *inscripsit: et de Daphne suburbano Antiochiæ; ejusque descriptio: et de translatione reliquiarum Babylæ episcopi et martyris.*

Cæterum imperator cum bellum Persis inferre cuperet, Antiochiam Syriæ venit. Ibi cum populus vociferatus esset, maximam quidem copiam esse frugum, sed eas carius vendi: imperator liberalitate sua plebem, ut opinor, demereri studens, res in foro venales viliore quam par erat pretio distrahi jussit. Cumque mercatores fuga se subduxissent, res quidem ad victum necessariæ deficere cœperunt. Antiocheni vero graviter id ferentes, impera-

τιοχεῖς δὲ δεινὸν τοῦτο ποιούμενοι, τὸν βασιλέα ὕβρι-
ζον, καὶ εἰς τὸν πώγωνα αὐτοῦ ὡς βαθὺς εἴη ἐπέ-
σκωπτον, καὶ εἰς τὸ νόμισμα, ὅτι[d] ταύρου εἶχεν εἰ-
κόνα. Τὸν γὰρ κόσμον ἐπίσης τῶν ὑπτίων ταύρων
3 ὑπ' αὐτῷ ἡγεμόνι ἀνατετράφθαι ἐπετώθαζον. Ὁ δὲ,
τὰ πρῶτα ὀργισθεὶς, ἠπείλει Ἀντιοχέας κακῶς ποιή-
σειν· καὶ εἰς Ταρσὸν μετοικίζεσθαι παρεσκευάζετο.
Ὑπερφυῶς δὲ τοῦ θυμοῦ μεταβαλλόμενος, λόγοις
μόνοις τὴν ὕβριν ἠμύνατο· κάλλιστον καὶ μάλα[e]
ἀστεῖον λόγον, ὃν μισοπώγωνα ἐπέγραψε, κατὰ Ἀν-
4 τιοχέων διεξελθών. Χριστιανοῖς δὲ κἀνταῦθα ὁμοίως
ἐχρῆτο, καὶ τὸ Ἑλληνικὸν κρατύνειν ἐσπούδαζεν.
Οἷα γοῦν τότε συνέβη περὶ τὴν θήκην Βαβύλα τοῦ
μάρτυρος, καὶ τῷ ἐν Δάφνῃ[f] ναῷ τοῦ Ἀπόλλωνος,
5 ἄξιον ἀφηγήσασθαι. Ἄρχομαι δὲ ἐντεῦθεν. Δάφνη, 209
τὸ ἐπίσημον τῆς Ἀντιοχείας προάστειον, κομᾷ μὲν
ἄλσει κυπαρίσσων πολλῶν· ποικίλλεται δὲ καὶ τοῖς
ἄλλοις φυτοῖς ἀναμὶξ ταῖς κυπαρίσσοις. Ὑπὸ δὲ
τοῖς δένδρεσιν, ἀμοιβαδὸν τῶν ὡρῶν εὐώδη καὶ παν-

[d] Ita C. ὅ τι editt. [e] μάλιστα J. Scal.
[f] Δάφνει correct. in Δάφνῃ B.

torem probris affecerunt, et in barbam ejus, eo quod promissior esset, cavillati sunt: nummos quoque irridentes, quibus imago tauri erat insculpta. Orbem enim illo imperante eversum esse, perinde ac tauros supinos, jocando dicebant. At imperator initio quidem ira succensus, Antiochenis minatus est, sese illos male mulctaturum: Tarsumque migrare jam parabat. Sed animi æstu repente mutato, verbis duntaxat contumeliam suam ultus est: elegantissimo et admodum faceto adversus Antiochenos libro composito, quem μισοπώγωνα inscripsit. Porro Christianos etiam in hac urbe solito more tractavit, et religionem Gentilium illic stabilire studuit. Et vero quæ tunc temporis circa loculum Babylæ martyris, et in templo Apollinis Daphnæi contigerunt, operæ pretium fuerit commemorare. Narrationem autem hinc exordiar. Daphne nobile Antiochiæ suburbanum, multarum quidem cupressorum nemore nitescit. Sed et aliis inter cupressos consitis arboribus variatur. Sub arboribus autem, pro temporum vicissitu-

τοδαπὰ εἴδη ἀνθῶν ἡ γῆ φέρει. Ὀροφὴ δέ τις μᾶλλον ἢ σκιὰ[g] πανταχοῦ τὸν χῶρον περίκειται, τῇ πυκνότητι τῶν κλάδων καὶ τῶν φύλλων μὴ συγχωροῦσα τὴν ἀκτῖνα τῷ ἐδάφει ἐμβάλλειν· ἡδύς τε καὶ λίαν ἐπέραστός ἐστιν, ἀφθονίᾳ τε καὶ κάλλει ὑδάτων, καὶ ὡρῶν εὐκρασίᾳ, καὶ προσηνῶν ἀνέμων πνοαῖς.
6 Ἐνταῦθα δὲ παῖδες Ἑλλήνων μυθεύουσι, Δάφνην τὴν Λάδωνος τοῦ[h] ποταμοῦ, ἐξ Ἀρκαδίας φεύγουσαν Ἀπόλλωνα τὸν ἐραστὴν, εἰς ὁμώνυμον φυτὸν αὐτὴν μεταβαλεῖν· τὸν δὲ, μηδὲ οὕτως ἀπαλλαγέντα τοῦ πάθους, στεφανωθῆναι τοῖς κλάδοις τῆς ἐρωμένης, καὶ δένδρον οὖσαν περιπτύξασθαι, καὶ τῇ προσεδρίᾳ[i] τὰ μάλιστα τιμῆσαι τὸ χωρίον, εἴπερ τι ἄλλο κεχα-
7 ρισμένον αὐτῷ. Τοιούτῳ δὲ ὄντι τῷ προαστείῳ τῇ Δάφνῃ, ἐπιβαίνειν τοῖς ἐπιεικέσιν αἰσχρὸν ἐνομίζετο. Ἥ τε γὰρ θέσις καὶ ἡ φύσις τοῦ χωρίου πρὸς ῥᾳστώνην ἐπιτηδεία, καὶ ἡ ὑπόθεσις τοῦ μύθου ἐρωτική τις οὖσα, μικρᾶς λαβομένη ἀφορμῆς[k] διπλοῦν ἀπετέλει

[g] ἢ σκιὰ μᾶλλον B. Steph. Genev. μᾶλλον ἢ σκιὰ tacite Vales.

[h] Ita B. τοῦ om. editt. Conf. infra, Κασταλίας τῆς πηγῆς.

[i] προσεδρείᾳ B. Niceph.

[k] Script. primo ἀρχῆς, tum inducta linea in transversum, suprascript. ἀφορμῆς B.

dine, fragrantissimos omnis generis flores tellus gignit. Porro lacunar potius quoddam, quam umbra, locum undique obtegit, præ frondium ac ramorum densitate, solis radios humum usque pertingere non sinens. Amœnus præterea ac jucundus est locus ob aquarum copiam ac pulchritudinem, et ob temperiem cœli, et propter auras molliter spirantes. Ibi fabulantur Græci Daphnem Ladonis fluvii filiam, ex Arcadia fugientem Apollinem amatorem, in arborem nominis sui conversam esse. Apollinem vero ne tum quidem perturbatione animi liberatum, ex ramis amatæ coronam sibi texuisse, eamque licet arborem brachiis complexum fuisse. Et hunc locum præ cæteris quos amabat, præsentia sua ac diuturno domicilio honorasse. Cum igitur hujusmodi esset suburbanum Daphne, pedem eo inferre viris bonis turpe habebatur. Nam et situs ac natura loci ad voluptatem accommodata, et ipsius fabulæ argumentum amatorium, levi arrepta occasione, morbum

8 τὸ πάθος τοῖς διεφθαρμένοις νέοις. Εἰς παραίτησιν
γὰρ προϊσχόμενοι τὰ μυθευόμενα, χαλεπῶς ἐξεκαί-
οντο, καὶ ἀνέδην εἰς ἀκολάστους πράξεις ἐχώρουν, οὐ
σωφρονεῖν δυνάμενοι, οὔτε σώφρονας κατὰ ταὐτὸν
ὁρᾷν ἀνεχόμενοι. Ὧι γὰρ ἡ διατριβὴ ἐκτὸς ἐρωμένης
ἐν Δάφνῃ ἐτύγχανεν, ἠλίθιός τε καὶ ἄχαρις ἐδόκει·
9 καὶ ὥσπερ τὶ ἄγος ἢ ἀποτρόπαιος, φευκτέος[1] ἦν. Καὶ
ἄλλως δὲ σεβάσμιος καὶ περὶ πολλοῦ τοῖς Ἑλληνι-
σταῖς ὁ χῶρος οὗτος ἐτύγχανεν· ἦν γὰρ ἐνθάδε
Δαφναίου Ἀπόλλωνος περικαλλὲς ἄγαλμα, καὶ νεὼς
μεγαλοφυῶς[m] τὲ καὶ φιλοτίμως ἐξειργασμένος· ὃν
λόγος οἰκοδομῆσαι Σέλευκον τὸν Ἀντιόχου πατέρα,
10 ᾧ ἐπώνυμόν ἐστιν ἡ Ἀντιοχέων πόλις. Ἐπιστεύετο
δὲ παρὰ τοῖς τάδε πρεσβεύουσι, ῥεῖν αὐτόθι καὶ ὕδωρ
μαντικὸν ἀπὸ Κασταλίας τῆς πηγῆς, ὁμοίως τῆς ἐν
Δελφοῖς ἐνεργείας τε καὶ προσηγορίας λαχούσης.
Ἀμέλειτοι καὶ Ἀδριανῷ ἔτι ἰδιωτεύοντι, τὰ περὶ τῆς
11 βασιλείας αὐχοῦσιν ἐνθάδε προμηνυθῆναι. Φασὶ γὰρ

[1] Ita B. C. φευκτὸς Steph. Genev. φευκταῖος tacite Vales.

[m] μεγαφυῶς B. Steph. Genev. μεγαλοφυῶς Christ. Scal. Vales.

duplo graviorem accendebat corruptis adolescentibus. Hi enim fabulam illam ad excusationem flagitii sui prætendentes, multo magis inflammabantur, omnique licentia ad turpes actus prorumpentes, nec ipsi modeste agere poterant, nec modestos viros illic cernere sustinebant. Nam qui absque amica diversaretur apud Daphnen, is stupidus et inurbanus, et tanquam scelus quoddam ac piaculum fugiendus videbatur. Et alioqui locus hic paganis venerabilis, magnoque in honore erat. Erat enim illic Apollinis Daphnæi pulcherrimum simulacrum, et templum magnifice atque ambitiose constructum. Cujus templi conditor fuisse dicitur Seleucus, pater Antiochi illius, a quo Antiochia nomen accepit. Credebatur etiam ab illis qui ista colunt ac prædicant, aquam illic divinatricem fluere ex fonte Castalio, qui idem nomen eandemque efficaciam haberet, quam ille Delphicus. Denique et Hadriano adhuc privato imperium eo loco prænuntiatum esse jactant. Nam

αὐτὸν φύλλον Δάφνης ἐμβάψαντα τῇ πηγῇ, ἀρύσασθαι τὴν τῶν ἐσομένων γνῶσιν, ἐγγράφως ἐπὶ τοῦ φύλλου δηλωθεῖσαν. Παρελθόντα δὲ εἰς τὴν ἡγεμονίαν καταχῶσαι τὴν πηγὴν, ὥστε μὴ ἐξεῖναι καὶ
12 ἄλλοις προμανθάνειν τὸ μέλλον. Ἀλλὰ ταῦτα μὲν οἷς τούτων μέλει, ἀκριβῶς μυθολογούντων· ἐπεὶ δὲ Γάλλος ὁ Ἰουλιανοῦ ἀδελφὸς Καῖσαρ καταστὰς παρὰ Κωνσταντίου, ἐν Ἀντιοχείᾳ διῆγε, Χριστιανὸς ὢν καὶ ἐς τὰ μάλιστα πρεσβεύων τοὺς ὑπὲρ τοῦ δόγματος μεμαρτυρηκότας, ἔγνωκεν Ἑλληνικῆς δεισιδαιμονίας καὶ ὕβρεως ἀκολάστων ἀνθρώπων τοῦτον ἐκκαθᾶραι
13 τὸν χῶρον. Ὑπολαβὼν δὲ ῥᾳδίως περιέσεσθαι, εἰ εὐκτήριον ἐνθάδε ἀντικαταστήσειεν οἶκον, μετέθηκεν εἰς Δάφνην τὴν λάρνακα τοῦ Βαβύλα τοῦ μάρτυρος· 210
ὃς εὖ μάλα λαμπρῶς ἐπετρόπευσε τὴν Ἀντιοχέων
14 ἐκκλησίαν, καὶ ἐμαρτύρησεν. Ἐξ ἐκείνου δὲ λόγος, μὴ χρησμῳδῆσαι συνήθως τὸ δαιμόνιον· ἐδόκει δὲ τὰ μὲν πρῶτα τοῦτο παθεῖν, ὡς θυσιῶν ἀμοιροῦν καὶ θεραπείας ἧς πρότερον ἠξίωτο· ἔδειξε δὲ τὰ μετὰ ταῦτα,

cum folium lauri immersisset in fonte, futuri notitiam hausisse dicitur quæ in fronde descripta esset. Cum autem postea ad imperium pervenisset, fontem obstruxisse fertur, ne aliis etiam liceret res futuras prænoscere. Verum has fabulas, ejusmodi rerum studiosis accuratius exponendas relinquamus. Postquam vero Gallus frater Juliani, Cæsar a Constantio nuncupatus, Antiochiæ sedem fixit: cum esset Christianus, eosque qui religionis causa martyrium pertulerant impense veneraretur, eum locum superstitione Gentilium, et intemperantium hominum flagitiis purgare constituit. Id autem se facile consecuturum arbitratus, si ecclesiam illic ex adverso templi Apollinis construxisset; loculum Babylæ martyris, qui olim ecclesiam Antiochenam summa cum laude rexerat, et glorioso martyrio occubuerat, Daphnen transtulit. Ex eo tempore aiunt dæmonem more solito oracula reddere desiisse. Et initio quidem credebatur ideo obmutuisse, quod victimis et cultu illo careret, quo prius observabatur. Verum ex iis quæ secuta sunt apparuit, martyrem qui in proximo collocatus erat,

ὡς ἐκ γειτόνων γενόμενος ὁ μάρτυς, οὐ συνεχώρει
15 τοῦτο ποιεῖν. Καὶ γὰρ Ἰουλιανοῦ μόνου κρατοῦντος
τῆς Ῥωμαίων οἰκουμένης, σπονδῶν καὶ κνίσσης καὶ
ἀφθονίας θυμάτων μετέχων[n], οὐδὲν ἧττον ἠρέμει· καὶ
τὸ τελευταῖον χρήσας, ἤλεγξε καὶ αὐτὸς τῆς προτέ-
16 ρας σιωπῆς τὴν αἰτίαν. Ἐπειδὴ γὰρ ἐβεβούλευτο ὁ
βασιλεὺς περὶ ὧν οἱ ἐδόκει πειραθῆναι τοῦ ἐνθάδε
μαντείου, παραγενόμενος εἰς τὸ ἱερὸν, ἀναθήμασι καὶ
θυσίαις φιλοτίμως ἐτίμα τὸ δαιμόνιον, καὶ ἐδεῖτο περὶ
ὧν ἐσπούδαζε μὴ ἀμελεῖν. Ὁ δὲ, περιφανῶς μὲν ὧδὶ
οὐκ ἐδήλωσε μὴ δύνασθαι χρησμῳδεῖν διὰ Βαβύλαν
τὸν μάρτυρα γειτνιῶντα τῇ θήκῃ· νεκρῶν δὲ, ἔφη,
ἀνάπλεών ἐστι τὸ χωρίον, καὶ κατὰ τοῦτο κωλύεσθαι
17 προϊέναι τοὺς χρησμούς. Πολλῶν δὲ καὶ ἄλλων κει-
μένων ἐν Δάφνῃ νεκρῶν, συμβαλὼν ὁ βασιλεὺς τὸν
μάρτυρα μόνον ἐμποδὼν γίνεσθαι τοῖς χρησμοῖς,
προσέταξε μετακινηθῆναι τὴν θήκην. Συνελθόντες

[n] Ita B. Steph. Genev. μετέχον tacite Vales. recte quidem, secundum grammaticam: et certe modo scripserat Sozomenus ἀμοιροῦν, non ἀμοιρῶν: veruntamen scripsit paullo infra, χρήσας, αὐτὸς, et mox ὁ δὲ, non τὸ δὲ, quanquam iterum præcedat τὸ δαιμόνιον. Quamobrem non opus est mutare id quod legitur in codicibus μετέχων, in quo subauditur θεός.

obstitisse quo minus responsa ederet. Etenim cum Julianus orbem Romanum solus administraret, quamvis libamenta et nidor, et hostiarum copia dæmoni abunde suppeteret, nihilominus conticuit. Tandemque responso dato, causam prioris silentii ipsemet prodidit. Nam cum imperator de quibus ipsi visum erat negotiis oraculum illic consulere decrevisset, templum ingressus, victimis ac donariis magnificis dæmonem veneratus est; oravitque ut de iis rebus quas in animo habebat, responsum dare vellet. At dæmon, non quidem aperte significavit, oracula a se reddi non posse propter Babylam martyrem, cujus arca in proximo erat: sed locum cadaveribus refertum esse dixit, idque impedimento esse quo minus oracula ederet. Porro cum multa essent Daphnæ sepulta cadavera, imperator tamen conjiciens solum martyrem oraculis obstare, arcam illius transferri jussit. Itaque Christiani eo

οἱ[o] Χριστιανοὶ, εἵλκυσαν[p] τὴν θήκην[q] ἐπὶ τὴν πόλιν
ὡσεὶ στάδια τεσσαράκοντα, οὗ νῦν ὁ μάρτυς κεῖται,
18 δεδωκὼς ἀπ' αὐτοῦ τὴν προσηγορίαν τῷ τόπῳ. Φασὶ
δὲ τότε ἄνδρας καὶ γυναῖκας, καὶ νέους καὶ παρθένους,
γέροντάς τε καὶ παῖδας οἳ τὴν σορὸν εἷλκον, παρα-
κελευομένους ἀλλήλοις, παρὰ πᾶσαν τὴν ὁδὸν δια-
τελέσαι ψάλλοντας· πρόφασιν μὲν τῇ ᾠδῇ τοὺς
ἱδρῶτας ἐπικουφίζοντας· τὸ δ' ἀληθὲς, ὑπὸ ζήλου καὶ
προθυμίας κινουμένους, τῷ μὴ τὴν αὐτὴν γνώμην
19 ἔχειν αὐτοῖς τὸν κρατοῦντα περὶ τὸ θεῖον. Ἐξῆρχον
δὲ τῶν ψαλμῶν τοῖς ἄλλοις, οἱ τούτους ἀκριβοῦντες,
καὶ ξυνεπήχει τὸ πλῆθος ἐν συμφωνίᾳ· καὶ ταύτην
τὴν ῥῆσιν ἐπῇδεν· Ἠσχύνθησαν πάντες οἱ προσκυ-
νοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι τοῖς εἰδώλοις.

ΚΕΦ. Κ'.

Ὅτι χάριν τῆς μετακομιδῆς ταύτης, πολλοὺς τῶν Χριστιανῶν ἐκάκωσε· καὶ περὶ τοῦ ἁγίου Θεοδώρου τοῦ ὁμολογητοῦ· καὶ ὅτι πῦρ οὐρανόθεν πεσὸν, τὸν ἐν Δάφνῃ ναὸν ἀνέπρησε τοῦ Ἀπόλλωνος.

1 Ἐκ τούτου δὲ κινηθεὶς πρὸς ὀργὴν ὁ βασιλεὺς ὡς

o δὲ οἱ conj. Christ. Savil. Vales.
p Ita B. J. Christ. Scal. εἵλκησαν editt.
q θήβην perperam B.

convenientes, loculum martyris in urbem deportarunt per quadraginta circiter stadia, ad locum in quo nunc situs est, et qui ex illius appellatur nomine. Quo quidem tempore aiunt viros simul ac mulieres, juvenes ac virgines, senes ac pueros, qui loculum martyris trahebant, sese invicem cohortantes, psalmos per totum iter cecinisse: specie quidem ut laborem cantu sublevarent: reipsa vero, zelo quodam et pietatis æstu succensos, eo quod princeps non idem cum ipsis de Deo sentiret. Præcinebant autem cæteris ii qui psalmos apprime callebant: multitudo deinde respondebat cum concentu; et hunc versiculum succinebat: Confusi sunt omnes qui adorant sculptilia, qui gloriantur in simulacris.

ὑβρισμένος, τιμωρεῖσθαι τοὺς Χριστιανοὺς ἐβεβού-
λευτο. Σαλούστιος δὲ ὁ τὴν ὕπαρχον ἐξουσίαν ἐπι-
τετραμμένος, καίπερ Ἕλλην ὑπάρχων, οὐκ ἐπῄνεσε 211
τὴν βουλήν· ἀντιτείνειν δὲ μὴ ἔχων, τὸ βασιλέως
2 ἐπίταγμα εἰς ἔργον ἦγε. Καὶ τῇ ὑστεραίᾳ πολλοὺς
συνελάμβανεν ἐκ τῶν Χριστιανῶν, καὶ δεσμίους ἐποί-
ησεν· ἕνα δέ τινα νεανίαν πρῶτον προαγαγὼν, Θεό-
δωρος δ' ὄνομα αὐτῷ, τῷ βασανιστηρίῳ ξύλῳ προσ-
ῆψεν. Ὁ δὲ, ἐπὶ πολὺ τοῖς ὄνυξι πληττόμενος, οὐχ
ἡττήθη τῶν βασάνων, οὐδὲ τὸν ὕπαρχον ἐλιπάρησεν·
ἀλλ' ἀνώδυνον ἑαυτὸν φαίνεσθαι παρασχόμενος, ὡς
θεατὴς τῶν ἐπ' αὐτῷ γινομένων, καρτερικῶς τὰς πλη-
γὰς ἐδέχετο· αὖθίς τε τὸν αὐτὸν μελῳδῶν ψαλμὸν, ὃν
καὶ τῇ προτεραίᾳ, μὴ μέλειν[r] αὐτῷ τούτων ἐφ' οἷς
3 ἐκρίνετο, τοῖς ἔργοις ἐπέδειξε. Καταπλαγεὶς δὲ τὴν
ἔνστασιν τοῦ νεανίου ὁ ὕπαρχος, ἐλθὼν παρὰ[s] τὸν
βασιλέα εἶπε τὰ γενόμενα, καὶ εἰ μὴ θᾶττον παύ-

[r] μέλλειν B. Steph. Genev. corr. Vales.

[s] Ita C. ut Valesius conjecerat e Nicephoro. περὶ editt.

CAPUT XX.

Quomodo Julianus ob hanc translationem multos Christianorum graviter exagitavit: et de sancto Theodoro confessore: utque Apollinis Daphnæi templum igne cœlitus lapso conflagravit.

Hanc ob causam imperator indignatione commotus, quasi contumelia affectus fuisset, Christianos suppliciis afficere decreverat. Verum Salustius qui præfecturam gerebat prætorii, licet Gentilis, consilium tamen imperatoris non probavit. Cum autem refragari non posset, præceptum imperatoris executioni mandavit: et postridie multos Christianorum comprehensos in vincula conjecit. Ac primum omnium adolescentem quemdam, cui nomen erat Theodorus, productum in medium eculeo applicuit. Qui tametsi ungulis ferreis diu laceratus, nec tormentis succubuit, nec præfecto supplicavit. Sed expertem se doloris ostendens, tanquam spectator pœnarum quæ ipsi infligebantur, patienter verbera sustinuit; et eundem quem pridie psalmum denuo canens, parum se curare ea quorum causa damnatus fuerat, re ipsa ostendit. Præfectus autem adolescentis constantiam admiratus, cum ad imperatorem

σαιτο τῆς ἐπιχειρήσεως, σφᾶς αὐτοὺς καταγελάστους ἔσεσθαι, τοὺς δὲ Χριστιανοὺς ἐνδοξοτέρους ποιήσειν. Ἄμεινον δὲ τοῦτο δόξαν, οἱ συλληφθέντες ἀφείθησαν[t]
4 τῶν δεσμῶν. Λέγεται δὲ, πυνθανομένων μετὰ ταῦτα τινῶν εἴπερ αἴσθησιν τῶν βασάνων ἐκείνων ἐλάμβανεν, εἰπεῖν τὸν Θεόδωρον, ὡς πάντως[u] μὲν ἀνώδυνος οὐκ ἦν, παρεστὼς δέ τις αὐτῷ νεανίας, κατέπαυε τὰς ἀλγηδόνας, ὑφάσματι λεπτοτάτῳ τοὺς ἱδρῶτας ἀπομάττων, καὶ ὕδωρ ἐπιχέων ψυχρότατον, ᾧ τὰς φλεγμονὰς ἔπαυε, καὶ τῶν πόνων ἀνέψυχε. Δοκεῖ δέ μοι οὐκ ἀνθρώπου μόνου, εἰ καὶ μάλα γενναῖος ἦν, μὴ καὶ θείᾳ ῥοπῇ ἐπικουρουμένου, τοσοῦτον ὑπεριδεῖν τοῦ
5 σώματος. Ὁ μὲν δὴ μάρτυς Βαβύλας ἐκ τῆς εἰρημένης αἰτίας κατῳκίσθη ἐν Δάφνῃ, καὶ πάλιν μετετέθη· οὐκ εἰς μακρὰν δὲ τούτου γενομένου, ἀπροόπτως ἐμπεσὸν πῦρ τῷ νεῷ τοῦ Δαφναίου Ἀπόλλωνος, πᾶσαν τὴν ὀροφὴν καὶ αὐτὸ τὸ ἄγαλμα κατέφλεξε· γυμνοὺς δὲ μόνους[x] τοὺς τοίχους καὶ τοὺς περιβόλους

[t] Ita C. Niceph. ἀφείθησαν correct. in ἀνείθησαν B. ἀφέθησαν editt.

[u] πάντῃ B.

[x] μόνους om. B. Steph. Genev. inseruit Christ. Scal. Vales.

venisset, retulit ei quæ gesta fuerant: affirmans nisi ab instituto desisteret, ipsos quidem ridiculos; Christianos vero illustriores futuros. Quod consilium cum magis placuisset, omnes qui comprehensi fuerant, e custodia dimissi sunt. Idem postea rogatus a quibusdam, utrum tormenta illa sensisset, respondisse fertur, se doloris quidem expertem penitus non fuisse: sed juvenem quendam sibi adstantem, dolores sedasse, tenuissimo linteo sudorem abstergentem, et aquam frigidissimam affundentem, qua et inflammationem compresserit, et laborum solatium præstiterit. Ac mihi quidem videtur, non cadere istud in hominem simplicem, quantumvis generosum, ut corpus suum tantopere despiciat, nisi divino juvetur auxilio. Ob hanc igitur causam quam supra memoravi, martyr Babyla Daphnen translatus, atque inde postea deportatus est. Quo confecto, ignis haud multo post in templum Apollinis Daphnæi ex improviso illapsus, totum ejus tectum, et simulacrum absumpsit: nudis duntaxat parietibus relictis, et ambitu templi,

εἴασε, καὶ τοὺς κίονας οἳ τὰ προπύλαια καὶ τὸν ὀπι-
σθόδομον ἀνεῖχον. Ἐδόκει δὲ τοῖς μὲν[y] Χριστιανοῖς,
κατὰ αἴτησιν τοῦ μάρτυρος θεήλατον ἐμπεσεῖν τῷ
δαίμονι πῦρ· οἱ δὲ Ἕλληνες ἐλογοποίουν Χριστιανῶν
6 εἶναι τὸ δρᾶμα. Ταύτης δὲ τῆς ὑπονοίας κρατούσης,
ἄγεται εἰς δικαστήριον ὁ τοῦ Ἀπόλλωνος ἱερεὺς ὡς
φανερώσων τὸν τολμήσαντα τὸν ἐμπρησμόν· δεσμώ-
της[z] τε γενόμενος, καὶ πολλὰς ὑπομείνας πληγὰς,
χαλεπῶς τε αἰκισθεὶς, οὐδένα κατεμήνυσεν· ᾧ δὴ μά-
λιστα ἰσχυρίζοντο οἱ Χριστιανοὶ, μὴ κατ' ἐπιβουλὴν
ἀνθρωπίνην[a], ἀλλὰ κατὰ θείαν μῆνιν ἐνσκῆψαι τῷ
7 νεῷ οὐράνιον πῦρ. Καὶ τὰ μὲν ὧδε ἔσχεν· ὡς οἶμαι
δὲ ἐκ τῶν συμβάντων ἐν τῇ Δάφνῃ διὰ τὸν μάρτυρα
Βαβύλαν, πυθόμενος ὁ βασιλεὺς ἐπὶ τιμῇ μαρτύρων 212
εὐκτηρίους οἴκους εἶναι πλησίον τοῦ ναοῦ Διδυμαίου
Ἀπόλλωνος, ὃς πρὸ τῆς Μιλήτου ἐστὶν, ἔγραψε τῷ

y μὲν suprascript. B.

z Deest hoc loco articulus præpositivus hoc modo, ὃς δεσμώτης etc. atque ita fere Nicephorus. VALESIUS. ὃς non habet Nicephorus. Porro τε om. Steph. Genev.

a Ita B. Niceph. ἀνθρωπείαν Vales. Totam clausulam, ᾧ δὴ μάλιστα—ἀνθρωπείαν om. Steph. supplev. Christ. Scal. Curt.

ac columnis quæ vestibula et posteriorem templi partem sustinebant. Et Christiani quidem censebant ignem hunc a Deo precibus martyris annuente immissum esse in dæmonem. Gentiles vero, id facinus a Christianis patratum esse asseverabant. Quæ cum invaluisset suspicio, sacerdos Apollinis in judicium adducitur, tanquam indicaturus, quisnam auctor fuisset incendii. Qui licet conjectus in vincula, multisque verberibus ac tormentis affectus, neminem tamen indicavit. Quo maxime argumento Christiani affirmabant, ignem hunc non ex hominum insidiis, sed ultione divina in templum cœlitus injectum fuisse. Atque hæc quidem ita gesta sunt. Porro ob ea, ut opinor, quæ Daphnæ acciderant propter reliquias Babylæ martyris, imperator cum accepisset ecclesias quasdam in honorem martyrum extructas esse juxta templum Apollinis Didymæi, quod ad urbem Miletum situm est, scripsit ad præsidem Cariæ, ut ecclesiæ illæ, si quidem tectum et

ἡγεμόνι Καρίας, εἰ μὲν ὄροφόν τε καὶ τράπεζαν ἱερὰν ἔχουσι, πυρὶ καταφλέξαι· εἰ δὲ ἡμίεργά ἐστι τὰ οἰκοδομήματα, ἐκ βάθρων ἀνασκάψαι.

ΚΕΦ. ΚΑʹ.

Περὶ τοῦ ἀγάλματος τοῦ Χριστοῦ, τοῦ ἐν Πανεάδι, ὃ καταβαλὼν Ἰουλιανὸς καὶ ἀχρειώσας, τὸ ἑαυτοῦ ἄγαλμα ἔστησε· καὶ ὡς ἐφθάρη τοῦτο, βληθὲν κεραυνῷ· καὶ περὶ τῆς εἰς Ἐμμαοῦς πηγῆς, ἔνθα ὁ Χριστὸς τοὺς πόδας ἔνιψε· καὶ περὶ τῆς Περσίδος τοῦ δένδρου, ὃ ἐν Αἰγύπτῳ Χριστὸν προσεκύνησε, καὶ τῶν δι' αὐτὸ τελουμένων θαυμάτων.

1 Ἐμοὶ δὲ τῶν ἐπὶ Ἰουλιανοῦ συμβάντων κἀκεῖνο ῥητέον, σημεῖον μὲν τῆς τοῦ Χριστοῦ δυνάμεως, τεκμήριον δὲ τῆς εἰς τὸν κρατοῦντα θεομηνίας. Ἐπεὶ γὰρ ἔγνω ἐν Καισαρείᾳ τῆς Φιλίππου, Φοίνισσα δὲ αὕτη πόλις, ἣν Πανεάδα ὀνομάζουσιν, ἐπίσημον εἶναι Χριστοῦ ἄγαλμα, ὃ τοῦ πάθους ἀπαλλαγεῖσα ἀνέθηκεν ἡ αἱμορροοῦσα, καθελὼν τοῦτο, ἴδιον ἀντέστησε[b].
2 Βίαιον δὲ πῦρ ἐξ οὐρανοῦ πεσὸν, τὰ περὶ τὸ στῆθος τοῦ ἀνδριάντος διέτεμε, καὶ τὴν κεφαλὴν σὺν τῷ αὐ-

[b] Ita B. Christ. Scal. et cod. Fuk. probante Valesio. ἀνθιστᾷ Niceph. ἀνέστησε editt.

sacram mensam haberent, incenderentur: si vero opera adhuc imperfecta essent, funditus destruerentur.

CAPUT XXI.

De statua Christi in urbe Paneade; qua eversa et confracta, Julianus imaginem suam erexit, quæ mox fulmine icta ac dissipata est. Et de fonte Emmauntis, in quo Christus pedes lavit: deque Persea arbore, quæ Christum in Ægypto adoravit, et de miraculis per eam editis.

Ex iis porro quæ regnante Juliano acciderunt, istud minime prætereundum est: quod et potentiæ Christi, et divinæ adversus imperatorem iræ argumentum est maximum. Nam cum imperator didicisset, Cæsareæ Philippi; urbs est Phœnices, quam Paneadem nominant; insignem esse statuam Christi, quam mulier sanguinis profluvio, quo jam dudum laborabat, liberata, ibi dedicavit: ea subversa imaginem suam ejus loco posuit. Statim vero ignis summa vi e cœlo delapsus, pectus statuæ et vicinas pectori

χένι κατέβαλε, καὶ ἐπὶ πρόσωπον ἐνέπηξεν ᾗ τὸ διερ-
ρωγὸς τοῦ στέρνου ἐστί· καὶ τὸ ἐξ ἐκείνου εἰσέτι νῦν
3 τοιοῦτος ἕστηκε, τῆς κεραυνίας αἰθάλης πλήρης. Τὸν
δὲ τοῦ Χριστοῦ ἀνδριάντα, τότε μὲν οἱ Ἑλληνισταὶ
σύροντες κατέαξαν· μετὰ δὲ ταῦτα οἱ Χριστιανοὶ
συλλέξαντες, ἐν τῇ ἐκκλησίᾳ ἀπέθεντο, ἔνθα καὶ νῦν
φυλάττεται. Ἀπὸ δὲ τῆς βάσεως ἐφ' ᾗ ἵστατο ὁ ἀν-
δριὰς οὗτος, ὡς ἱστορεῖ Εὐσέβιος, παντοίων παθῶν
καὶ νοσημάτων ἀλεξίκακον φάρμακον[c] βοτάνη τις
ἔφυεν, ἧς τὸ εἶδος οὐδεὶς ἔγνω τῶν ἐν τῇ καθ' ἡμᾶς[d]
4 ἰατρῶν ἢ ἐμπείρων. Ἐμοὶ δὲ δοκεῖ μηδὲν[e] εἶναι θαῦμα,
τοῦ Θεοῦ τοῖς ἀνθρώποις ἐπιδημήσαντος, καὶ τὰς εὐ-
εργεσίας συμβῆναι ξένας. Ἐπεὶ καὶ ἄλλα πλεῖστα
παράδοξα κατὰ πόλεις καὶ κώμας, ὡς εἰκὸς, μόνοις
ἠκρίβωται[f] τοῖς ἐπιχωρίοις, ἐκ τῆς ἀρχῆθεν παραδό-
σεως ἐγνωσμένα· καὶ ὡς ἀληθὲς τοῦτο, αὐτίκα ἐπι-
5 δείξω ἐντεῦθεν. Πόλις ἐστὶν ἐν Παλαιστίνῃ[g] ἡ νῦν
καλουμένη Νικόπολις. Ταύτην δὲ ἔτι κώμην οὖσαν

c Ita B. Steph. Genev. ἀλεξι-φάρμακον Niceph. Christ. Scal. Vales. Conf. ἀλεξίκακον τὸ ὕδωρ infra.

d καθ' ἡμᾶς οἰκουμένῃ C.

e μηδὲ B.

f ἠκρίβωτο B.

g τῆς Παλαιστίνης B.

partes discidit; caputque una cum collo dejecit, et pronum humi infixit quatenus pectoris pars dirupta erat. Atque ex eo tempore statua ad hunc usque diem ejusmodi specie perseverat, fuligine fulminis obsita. Christi vero statuam tunc quidem pagani trahentes per urbem confregerunt. Postea vero Christiani collectam in ecclesia reposuerunt, ubi etiamnum servatur. Cæterum ex basi cui imposita erat hæc statua, planta quædam ad omnes languores ac morbos curandos potentissima, ut refert Eusebius, nascebatur: cujus speciem nullus ex medicis aut empiricis noverat. Neque vero mirum mihi videtur, quod nova quædam et inusitata beneficia hominibus contigerint, postquam Deus in terras advenit. Nam et alia plurima miracula per civitates et vicos edita, a solis, ut verisimile est, indigenis celebrantur, qui earum rerum notitiam a majoribus suis traditam acceperunt. Idque verum esse illico ostendam. Urbs est in Palæstina, Nicopolis hodie dicta. Hanc,

οἶδεν ἡ θεία τῶν εὐαγγελίων βίβλος, καὶ Ἐμμαοῦς
προσαγορεύει. Ῥωμαῖοι δὲ μετὰ τὴν ἅλωσιν Ἱεροσο-
λύμων καὶ τὴν κατὰ τῶν Ἰουδαίων νίκην, Νικόπολιν[h]
ἀνηγόρευσαν· ἐκ δὲ τοῦ συμβάντος οὕτως ὠνόμασαν.
6 Πρὸ ταύτης τῆς πόλεως, παρὰ τὴν τριοδίαν, ἔνθα
συμβαδίζων ὁ Χριστὸς τοῖς περὶ Κλεόπαν μετὰ τὴν 213
ἐκ νεκρῶν ἀνάστασιν, συνετάττετο ὡς[i] ἐπὶ ἑτέραν
κώμην σπεύδων, πηγή τις ἐστὶ σωτήριος, ἐν ᾗ τὰ
πάθη ἀπολούονται ἄνθρωποί τε καὶ τὰ ἄλλα ζῶα
7 διαφόροις νόσοις κάμνοντα. Λέγεται γὰρ ἐξ ὁδοιπο-
ρίας ποθὲν ἐπὶ τὴν πηγὴν ἐλθόντα τὸν Χριστὸν ἅμα
τοῖς μαθηταῖς, ἐνθάδε τοὺς πόδας ἀπονίψασθαι, καὶ
τὸ ἐξ ἐκείνου ἀλεξίκακον παθημάτων γενέσθαι τὸ
8 ὕδωρ. Καὶ δένδρου δὲ τῆς καλουμένης Περσίδος[k] ἐν
Ἑρμουπόλει τῆς Θηβαΐδος φασὶ πολλῶν ἀπελάσαι
τὰς νόσους, κάρφος ἢ φύλλον ἢ τοῦ φλοιοῦ μικρόν
9 τι τοῖς κάμνουσι προσαπτόμενον. Λέγεται γὰρ παρ'
Αἰγυπτίοις, ἡνίκα διὰ τὸν Ἡρώδην ἔφυγεν ὁ Ἰωσήφ,
παραλαβὼν τὸν Χριστὸν καὶ Μαρίαν τὴν ἁγίαν θεο-

h Νικόλοπολιν B. i ὡς καὶ ἐπὶ C. k Περισίδος C.

cum adhuc vicus esset, sacer evangeliorum liber commemorat, et Emmauntem appellat. Post excidium autem Hierosolymorum, et post victoriam de Judæis relatam, Romani eam Nicopolim nominarunt: ex eventu belli nomen loco imponentes. Ante hanc urbem prope trivium, ubi Christus post resurrectionem iter faciens cum Cleopa et sociis, vale dixit, tanquam in alium vicum pergens; fons quidam salutaris est, in quo et homines et animalia variis morbis affecta, lavando curantur. Aiunt enim Christum una cum discipulis alicunde venientem, ad hunc fontem divertisse, ac pedes in eo abluisse: atque ex eo tempore aquam hanc ad morbos sanandos efficacissimum fuisse remedium. Sed et arborem quandam, Perseam nomine, apud Hermopolim Thebaïdis fuisse ferunt, cujus surculus aut folium, aut corticis exigua portio ægris admota, morbos ab eis depulerit. Aiunt enim Ægyptii, Josephum cum præ metu Herodis fugeret, assumpto secum Christo et sancta Maria Deipara, Hermopolim venisse. Cumque jam ingressurus

τόκου, ἐλθεῖν εἰς τὴν Ἑρμούπολιν· ἅμα δὲ εἰσιόντι παρὰ τὴν πύλην, μὴ ἐνεγκὸν τοῦτο τὸ δένδρον μέγιστον ὂν τοῦ Χριστοῦ τὴν ἐπιδημίαν, ἐπὶ τὸ ἔδαφος
10 κλῖναι καὶ προσκυνῆσαι. Καὶ ταῦτα μὲν περὶ τούτου τοῦ φυτοῦ παρὰ πολλῶν ἀκούσας, εἶπον· ἡγοῦμαι δὲ ἢ σημεῖον τοῦτο γενέσθαι τῆς ἐν τῇ πολεῖ τοῦ Θεοῦ παρουσίας· ἢ ὡς εἰκὸς, Ἑλληνικῷ νόμῳ διὰ μέγεθος καὶ κάλλος θρησκευόμενον τὸ δένδρον παρὰ τῶν ἐνοικούντων, ἐσείσθη, τοῦ θεραπευομένου δι' αὐτοῦ δαίμονος φρίξαντος τὸν τῶν τοιούτων καθαιρέτην ἐπιφανέντα· αὐτομάτως σεισθῆναι καὶ πάντα τὰ ξόανα τῶν Αἰγυπτίων ἐπιδημήσαντος τότε αὐτοῖς τοῦ Χριστοῦ
11 κατὰ τὴν Ἡσαΐου προφητείαν. Ἀπελαθέντος δὲ τοῦ δαίμονος, εἰς μαρτυρίαν τοῦ συμβεβηκότος ἔμεινε τὸ φυτὸν, τοὺς πίστει χρωμένους ἰώμενον. Καὶ τούτων μὲν Αἰγύπτιοι καὶ Παλαιστινοὶ[k], τοῦ[l] παρ' αὐτοῖς ὄντος ἕκαστοι μάρτυρες.

[k] Παλαιστηνοὶ B. [l] τοῦδε Christ.

esset, ad ipsam civitatis portam arborem illam admodum proceram, adventum Christi ferre non valentem, ad solum usque inflexisse se, et Christum adorasse. Et hæc quidem de ista arbore, sicut a multis accepi, hoc loco commemoravi. Cæterum existimo, aut hoc signum fuisse divinæ præsentiæ: aut arborem quæ ob proceritatem et pulchritudinem, Gentilium more a civibus colebatur, uti par erat, concussam esse sua sponte, cum dæmon qui in ipsa adorabatur, adveniente hujusmodi superstitionum eversore, contremuisset: cunctaque Ægyptiorum simulacra adventu Christi commota esse, juxta vaticinium Esaiæ. Fugato autem dæmone, ad perpetuam rei gestæ memoriam permansit arbor, morbis eorum qui crederent, medelam afferens. Et horum quidem testes sunt Ægyptii ac Palæstini, singuli ea quæ apud ipsos gesta sunt confirmantes.

ΚΕΦ. ΚΒ΄.

῞Οτι κατὰ Χριστιανῶν πνέων, καὶ ᾿Ιουδαίοις ἀνῆκε τὸν ἐν ῾Ιεροσολύμοις νεὼν ἀνιστᾷν· ὧν σπουδῇ πάσῃ ἐπιβαλλομένων χεῖρα, πῦρ ἀναθοροῦν πολλοὺς παραπώλεσε. Καὶ περὶ τῶν τότε φανέντων σταυρικῶν σημείων ἐν τοῖς ἱματίοις τῶν περὶ τὸ ἔργον διαπονουμένων.

1 ῾Ο δὲ βασιλεὺς εἰ καὶ Χριστιανοὺς ἐμίσει καὶ χα-
λεπῶς πρὸς αὐτοὺς εἶχεν, ἀλλ᾽ οὖν ᾿Ιουδαίοις εὔνους
ἦν καὶ πρᾷος· καὶ πατριάρχαις καὶ ἀρχηγοῖς αὐτῶν
καὶ αὐτῷ δὲ τῷ πλήθει ἔγραψεν[m], εὔχεσθαι ὑπὲρ 214
2 αὐτοῦ, καὶ τῆς αὐτοῦ βασιλείας. ᾿Εποίει δὲ τοῦτο οὐ
τὴν θρησκείαν, ὡς εἰκάζω, ἐπαινῶν· ᾔδει γὰρ μη-
τέρα ταύτην, ὡς εἰπεῖν, τοῦ Χριστιανῶν δόγματος,
καὶ προφήταις καὶ πατριάρχαις τοῖς[n] αὐτοῖς χρωμέ-
νην[o]· ἀλλ᾽ ὅτι μίσους ἀσπόνδως πρὸς αὐτοὺς εἶχον
οἱ ᾿Ιουδαῖοι· καὶ τῇ πρὸς τούτους θεραπείᾳ λυπεῖν
3 ἐσπούδαζεν οἷς ἀπηχθάνετο. ῎Ισως δὲ καὶ πρὸς ῾Ελ-
ληνισμὸν καὶ θυσίας ἑτοιμοτέρως[p] αὐτοὺς ἐπάγεσθαι
ᾤετο, πρὸς ῥητὸν μόνον ἐκδεχομένους τὰς ἱερὰς βί-

[m] ἔγραφεν B.
[n] Ita B. C. τοῖς om. editt.
[o] χρωμένων C. quod fortasse melius est.
[p] ἑτοιμότερον C.

CAPUT XXII.

Qualiter infensus Christianis, Judæos templum Hierosolymis instaurare permisit: qui cum ingenti studio manum operi admovissent, ignis erumpens multos consumpsit. Et de signis crucis quæ tunc in vestibus operantium apparuerunt.

Imperator vero, etsi Christianos oderat, et infenso erga illos animo erat, Judæos tamen non mediocri benevolentia et humanitate prosequebatur. Quinetiam patriarchis ac principibus eorum, ipsique adeo plebi scripsit, ut pro se suoque imperio vota facerent. Id autem agebat, quantum equidem conjicio, non quod illorum probaret religionem. Eam enim matrem quodammodo Christianæ religionis esse norat, quippe quæ iisdem prophetis ac patriarchis utatur. Sed propterea quod Judæi inexpiabili odio Christianos prosequerentur. Studebat præterea, ut Judæos fovendo, Christianis, quibus erat infensus, dolorem afferret. Ac fortasse eos ad Gentilium superstitionem et ad sacrificia promptius allicere spera-

βλους, οὐ πρὸς θεωρίαν, ὡς οἱ Χριστιανοὶ, καὶ αὐτῶν
Ἑβραίων οἱ σοφώτεροι. Ἔδειξε δὲ ταύτην ἔχων τὴν
4 *γνώμην, οἷς ἐπεχείρησεν. Μετακαλεσάμενος γὰρ τοὺς*
ἐξάρχους τοῦ ἔθνους, προὐτρέψατο ἀκούειν Μωσέως
νόμων[q], *καὶ πατρίων ἐθῶν ὑπομιμνήσκων. Τῶν δὲ*
φησάντων, κατερριμένου τοῦ ἐν Ἱεροσολύμοις ναοῦ,
μὴ θεμιτὸν μηδὲ πάτριον εἶναι ἐκπεπτωκόσι τῆς μη-
τροπόλεως ἑτέρωθι τοῦτο ποιεῖν, χρήματα δοὺς κοινὰ
ἐκέλευσεν ἀνεγεῖραι τὸν ναὸν, καὶ τοῖς προγόνοις ἐπί-
5 *σης θρησκεύειν, τὸν παλαιὸν τρόπον θύοντας. Οἱ μὲν*
οὖν μὴ λαβόντες εἰς νοῦν, ὡς οὐκ ἐνεχώρει κατὰ τὰς
ἱερὰς προφητείας τοῦτο γενέσθαι, σπουδῇ τοῦ ἔργου
εἴχοντο. Καὶ τοὺς ἐπιστήμονας τῶν τεκτόνων ἀγεί-
ραντες, τὰς ὕλας παρεσκευάζοντο, καὶ τὸν χῶρον
ἐκάθαιρον. Σὺν τοσαύτῃ τε προθυμίᾳ περὶ ταῦτα
ἐπόνουν, ὡς καὶ τὰς αὐτῶν γυναῖκας τὸν χοῦν τοῖς
κόλποις ἐκφέρειν, δέραιά τε καὶ πάντα τὸν ἄλλον
γυναικεῖον κόσμον συνεισφέρειν ἑτοίμως τῇ δαπάνῃ

[q] *νόμον* B. Steph. Genev. *νόμων* tacite Vales.

bat, quippe qui sacros libros literali duntaxat sensu, non juxta arcanam speculationem, ut Christiani, et ex ipsis Hebræis sapientissimi quique, intelligerent. Atque hoc ejus fuisse consilium, conatus ipse patefecit. Nam cum principes Gentis illius ad se evocasset, hortatus est eos, ut Mosis leges auscultarent, et patrios ritus ipsis in memoriam revocavit. Cumque illi respondissent, everso Hierosolymorum templo, nec fas sibi nec morem majorum esse, ut metropoli sua ejecti, alibi sacra facerent; imperator data illis publica pecunia, jussit ut templum instaurarent, et majorum religionem observantes, juxta priscam consuetudinem sacrificarent. Igitur illi, haudquaquam animo reputantes istud omnino fieri non posse, sicuti sacris oraculis prædictum fuerat; sedulo opus aggressi sunt. Collectisque peritissimis fabris, materias parare et locum purgare cœperunt. Tanta porro animorum alacritate operi instabant, ut uxores quoque eorum rudera gremiis exportarent, et monilia ac reliquum omnem muliebrem ornatum ad sumptus operis ultro conferrent. Sed et imperator ipse et reliqui

6 τοῦ ἔργου. Πάντα δὲ τὰ ἄλλα[r] δεύτερα ἦν τοῦ πο-
νουμένου, βασιλεῖ καὶ τοῖς ἄλλοις Ἕλλησι, καὶ πᾶσιν
Ἰουδαίοις· οἱ μὲν γάρ, οὔτε Ἰουδαίοις εὐνοοῦντες
ἐκοινώνουν αὐτοῖς τῆς σπουδῆς, ὑπολαβόντες δὲ[s] δύ-
νασθαι κατορθοῦν τὸ ἐγχείρημα, καὶ ψευδεῖς ἀπελέγξαι
τοῦ Χριστοῦ τὰς προρρήσεις· οἱ δὲ, ἅμα τοῦτο διε-
νοοῦντο, καὶ καιρὸν ἔχειν ᾤοντο ἀναστῆσαι[t] τὸ ἱερόν.
7 Ἐπεὶ δὲ τῆς προτέρας οἰκοδομίας τὰ λείψανα καθεῖ-
λον, ἀνέσκαψαν[u], καὶ τὸ ἔδαφος ἐξεκάθηραν, λέγεται
τῆς ἐπιούσης καθ' ἣν πρῶτον θεμέλιον ἤμελλον ὑπο-
τίθεσθαι, σεισμὸν γενέσθαι μέγαν· ὑπὸ δὲ κλόνου
τῆς γῆς ἐκ βάθρων ἀναδοθῆναι τοὺς λίθους· Ἰουδαίων
δ' ἀπολέσθαι οἳ τὸ ἔργον ἐπετρόπευον, καὶ ἐπὶ θέᾳ
8 τούτου παρεγένοντο. Αἵ τε γὰρ πλησίον τοῦ ἱεροῦ
οἰκίαι τε καὶ δημόσιαι στοαὶ ἐν αἷς κατέλυον, ἀθρόον
κατερρύησαν. Καὶ οἱ πλείους ἐγκαταληφθέντες[x], οἱ

[r] *δὲ ταῦτα* B. Steph. Genev *τ' ἄλλα* Christ. Scal. quos secutus est Vales.

[s] Ita C. *δὲ* om. ceteri.

[t] *ἀναστήσειν* B.

[u] Alterutra vox superflua videtur. Certe Nicephorus posteriorem duntaxat vocem retinuit. VALESIUS. Explicari vero possunt singillatim: *καθεῖλον dejecerunt quicquid stabat, ἀνέσκαψαν eruerunt quicquid infossum erat*, donec solum purum facerent (*ἐξεκάθηραν*) recipiendis denuo fundamentis.

[x] *ἐγκαταλειφθέντες* B. Steph. Genev. tacite emendav. Vales.

Gentiles, omnesque adeo Judæi, cætera omnia huic operi postponebant. Nam Gentiles quidem, quamvis alioqui Judæis parum faverent, non minore tamen alacritate operi incubuerunt: quippe qui sperarent se posse perficere id quod conabantur, et Christi prædictiones falsi convincere. Judæi vero, et hoc ipsum cogitabant, et opportunum tempus instaurando templo nactos se esse arbitrabantur. Cum vero prioris structuræ reliquias demoliti essent, solumque effodissent ac repurgassent; postero die, quo primum fundamenta posituri erant, terræ motus ingens contigisse dicitur: eoque motu lapides ex fundamentis exsiliisse: ex Judæis autem periisse, tum eos qui opus curabant, tum qui spectandi causa confluxerant. Nam et ædes templo proximæ, et publicæ porticus in quibus diversabantur, repente corruerunt. Et com-

μὲν αὐτίκα ἀπώλοντο· οἱ δὲ, ἡμιθνῆτες εὑρέθησαν, καὶ πεπηρωμένοι ἢ τὰς χεῖρας ἢ τὰ σκέλη[x]*· ἄλλοι δὲ,*
9 *περὶ ἄλλα μέρη τοῦ σώματος ἐδυστύχησαν. Ὡς δὲ* 215 *σείων ἔληξεν ὁ Θεὸς, αὖθις ἐπειρῶντο τοῦ ἔργου οἱ περιλειφθέντες, οἷά γε ἀπαραιτήτου τυγχάνοντος διὰ τὸ τοῦ βασιλέως πρόσταγμα, καὶ αὐτοῖς κατὰ νοῦν*
10 *ὄντος. Φιλεῖ γάρ πως ἡ ἀνθρωπίνη*[y] *φύσις ἐν τοῖς καθ' ἡδονὴν πρὸς τὸ ἀσύμφορον ῥέπειν, καὶ τοῦτο μόνον συνοίσειν οἴεσθαι ὃ κατορθοῦν βούλεται· ἀτεχνῶς τε ὑπὸ τῆς ἐντεῦθεν ἀπάτης κεκρατημένη, οὔτε προμηθείᾳ τινὶ τὸ συμφέρον ἰδεῖν δύναται, οὔτε πείρᾳ κινδύνων σωφρονιζομένη πρὸς τὸ δέον ἀνανήφει· ὁποῖον καὶ τοῖς Ἰουδαίοις τότε συμβεβηκέναι ἡγοῦμαι.*
11 *Ἱκανοῦ γὰρ ὄντος τοῦ προτέρου κωλύματος, καὶ φανερῶς ἐπιδείξαντος ὡς χαλεπαίνει τὸ θεῖον ἐπὶ τῷ γινομένῳ, πάλιν ἀνήνυτα ἐσπούδαζον. Λόγος οὖν ἅμα τε τὸ δεύτερον ἐνεχείρουν τῷ ἔργῳ, καὶ*[z] *πῦρ ἐξαίφνης ἐκ τῶν θεμελίων τοῦ ἱεροῦ ἀνέθορε, καὶ*

[x] τὰ σκέλη ἢ τὰς χ. B. Steph. Genev. tacite mutav. Vales.
[y] ἀνθρωπεία B. [z] ὡς Christ.

plures ibi deprehensi, partim illico interierunt: partim semivivi, manibus et cruribus mutilatis reperti sunt, aut aliis corporis partibus debilitati. Postquam terra movere desiit, ii qui incolumes supererant, opus denuo aggredi cœperunt. Quippe cum et imperatoris præcepto ad id cogerentur, ita ut detrectare non possent, et ipsis id esset gratissimum. Homines enim in rebus quæ ipsis voluptati sunt, plerumque ad id quod noxium est vergunt, idque unum utile fore existimant quod perficere cupiunt. Et hujusmodi errore præventi, nec quid utile sit prospicere possunt, nec experimentis malorum admoniti resipiscunt. Quod quidem Judæis quoque ea tempestate accidisse existimo. Nam cum prior repulsa satis perspicue ostendisset, Deum conatibus ipsorum infensum esse, rursus tamen idem frustra aggrediuntur. Simul autem ac denuo manum operi admovissent, ignis subito ex fundamentis templi erumpens, multos consumpsisse dicitur. Atque id ab omnibus uno consensu et refertur et creditur, nec ab ullo in dubium revo-

πολλοὺς ἀνήλωσε[a]· καὶ τοῦτο πρὸς πάντων ἀδεῶς
λέγεταί τε καὶ πιστεύεται, καὶ παρ' οὐδενὸς ἀμφιβάλ-
λεται· πλὴν ὅτι οἱ μὲν φασὶν, ὅτι βιαζομένους αὐτοὺς
εἰς τὸ ἱερὸν προϊέναι[b], φλὸξ ἀπαντήσασα, τὸ εἰρη-
μένον εἰργάσατο· οἱ δὲ, ἅμα ἤρξαντο τὸν χοῦν ἐκ-
φορεῖν. Ἀλλ' εἴτε τοῦτο τὶς, εἴτε τὸ πρότερον
12 δέξαιτο, ἑκάτερον εἰς θαῦμα παραπλήσιον. Ἐπὶ τούτῳ
δὲ καὶ ἄλλο ξυνηνέχθη, τοῦ προτέρου σαφέστερόν τε
καὶ παραδοξότερον. Αὐτομάτως γὰρ πάντων ἡ ἐσθὴς
τῷ σημείῳ τοῦ σταυροῦ κατεσημάνθη· καὶ τρόπον
τινὰ ἄστρασι πεποικιλμένα τὰ ἐσθήματα εἶχον, ὡς
13 ἀπὸ ἱστουργικῆς περινοίας κατεστιγμένα. Ἐκ τούτου[c]
δὲ, τοῖς μὲν αὐτίκα ἐκρίθη Θεὸν εἶναι τὸν Χριστὸν,
καὶ μὴ ἀρεσθῆναι τῇ ἀνανεώσει τοῦ ναοῦ· οἱ δὲ,
οὐκ εἰς μακρὰν προσέθεντο τῇ ἐκκλησίᾳ καὶ ἐμυήθη-
σαν, καὶ ὕμνοις καὶ ἱκεσίαις ὑπὲρ τῶν τετολμημένων
14 αὐτοῖς, τὸν Χριστὸν ἱλάσκοντο. Ταῦτα ὅτῳ πιστὰ
οὐ καταφαίνεται, πιστούσθωσαν οἱ παρὰ τῶν θεασα-
μένων ἀκηκοότες ἔτι τῷ βίῳ περιόντες[d]· πιστούσθω-

[a] ἀνάλωσε B. [b] παριέναι B. [c] τούτων C.
[d] περιίοντες B.

catur: nisi quod alii quidem narrant, cum Judæi in templum violenter irrumpere vellent, flammam ipsis occurrentem, id quod diximus præstitisse: alii vero, tunc cum humum egerere atque exportare cœpissent. Verum sive hoc quispiam, sive illud prius admiserit, utrumque parem meretur admirationem. Post hæc vero aliud miraculum accidit, priore illo majus atque evidentius. Repente enim omnium vestes crucis signo insignitæ sunt: et indumenta stellis quibusdam distincta habere cœperunt, quasi textoris acu artificiose depicta. Ea re factum est, ut alii quidem confestim judicarent Christum Deum esse, templique instaurationem ei displicere. Alii vero haud multo post ecclesiæ sese adjunxerunt, et suscepto baptismo, hymnis ac supplicationibus pro iis quæ tentare præsumpserant, Christum placarunt. Quod si cuipiam hæc incredibilia videbuntur, fidem ei faciant ii qui ea auditione acceperunt ab hominibus qui res ipsi viderant, et qui etiamnum superstites

σαν δὲ καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, ἡμιτελὲς τὸ ἔργον καταλιπόντες· μᾶλλον δὲ, οὐδὲ ἄρξασθαι τοῦ ἔργου δυνηθέντες.

sunt. Sed et Judæi ipsi ac Gentiles fidem faciant, qui opus imperfectum dimiserunt; aut ut verius dicam, ne inchoare quidem potuerunt.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΕΙΟΥ ΣΩΖΟΜΕΝΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ ϛʹ.

ΚΕΦ. Αʹ.

Περὶ τῆς εἰς Πέρσας ἐκστρατείας Ἰουλιανοῦ, καὶ ὡς ἡττήθη, καὶ κακῶς ἐξέρρηξε τὴν ψυχήν. Καὶ οἷα Λιβάνιος γράφει περὶ τοῦ ἀνελόντος αὐτόν.

1 ὍΣΑ μὲν δὴ ἐν τῇ Ἰουλιανοῦ βασιλείᾳ συγκυρῆσαι ταῖς ἐκκλησίαις ἔγνων, ἐν τοῖς πρόσθεν δεδήλωται. Ἅμα δὲ ἦρι ἀρχομένῳ δόξαν αὐτῷ ἐπιστρατεῦσαι Πέρσαις, ἐν τάχει διέβη τὸν Εὐφράτην ποταμόν· παραδραμών τε τὴν Ἔδεσαν, διὰ μῖσος ἴσως τῶν ἐνοικούντων, ἐπεὶ ἀρχῆθεν πανδημεὶ χριστιανίζειν ἔλαχεν

VALESII INTERPRETATIO.

CAPUT I.

De Juliani expeditione Persica: et quomodo superatus, miserabili morte interiit. Et quænam Libanius de ejus interfectore scripserit.

QUÆCUMQUE igitur Juliano imperium regente ecclesiis accidisse comperi, in superiore libro commemorata sunt. Ineunte autem vere, cum Persas bello aggredi decrevisset, Euphratem celeriter trajecit. Et prætergressus Edessam, propter odium forsitan incolarum, quippe ea civitas jam inde ab initio universa

ἥδε ἡ πόλις, ἧκεν εἰς Κάρρας[a]· ἔνθα δὴ Διὸς ἱερὸν
2 εὑρὼν, ἔθυσε καὶ ηὔξατο. Τὸ δὲ ἀπὸ τούτου, ἐκ τῶν
ἑπομένων στρατευμάτων ἀμφὶ δισμυρίους ὁπλίτας ἐπὶ
Τίγρητα ποταμὸν ἔπεμψε, φυλακῆς ἕνεκα τῶν τόπων,
καὶ εἰς καιρὸν αὐτῷ παρεσομένους, ἡνίκα καλέσοι·
Ἀρσακίῳ δὲ τῷ Ἀρμενίων ἡγουμένῳ συμμαχοῦντι
3 Ῥωμαίοις, ἔγραψε συμμίξαι περὶ τὴν πολεμίαν. Ἀπ-
αυθαδειασάμενός τε πέρα[b] τοῦ μετρίου[c] ἐν τῇ ἐπι-
στολῇ, καὶ αὐτὸν μὲν ἐξάρας ὡς ἐπιτήδειον πρὸς
ἡγεμονίαν, καὶ φίλον οἷς ἐνόμιζε θεοῖς, Κωνσταντίῳ
τε ὃν διεδέξατο, ὡς ἀνάνδρῳ καὶ ἀσεβεῖ λοιδορησά-
μενος, ὑβριστικῶς μάλα ἠπείλησεν αὐτῷ· καὶ ἐπεὶ
Χριστιανὸν ὄντα ἐπυνθάνετο, ἐπιτείνων τὴν ὕβριν, ἢ[d]
βλασφημεῖν ἃ μὴ θέμις σπουδάζων εἰς τὸν Χριστὸν,
τοῦτο γὰρ εἰώθει παρ' ἕκαστα τολμᾷν, ἀπεκόμπασεν·
ὑποδηλῶν ὡς οὐκ ἐπαμύνοι ὃν ἡγεῖται Θεὸν ὀλιγω-
4 ροῦντι[e] τῶν προστεταγμένων. Ἐπεὶ δὲ ταῦτα καλῶς
ἔχειν ἐνόμισε, παραλαβὼν τὴν Ῥωμαίων στρατιὰν,

[a] Κάρας B. Scal.

[b] Ita B. Scal. παρὰ Steph. Genev. πέραν Vales. e cod. Fuk., qui habet quoque ἀπαυθαδησάμενος.

[c] μέτρου J. Christ. Scal.

[d] καὶ Christ.

[e] ὀλιγωρῶν J. Scal.

Christi fidem susceperat, Carras venit. Ubi cum Jovis fanum reperisset, hostias immolavit, ac vota fecit. Ex hinc viginti millia armatorum, ex copiis quæ ipsum sequebantur desumpta, misit ad fluvium Tigrim, eo consilio ut regionibus illis præsidio essent, sibique præsto forent quotiescumque eos accerseret. Scripsit præterea Arsacio, Armeniorum regi et socio Romanorum, ut juxta fines Persarum ipsi occurreret. Qua in epistola postquam ultra modum gloriatus esset, ac se quidem ipse extulisset, tanquam imperio idoneum et diis quos colebat acceptum: Constantium vero decessorem suum, ut ignavum et impium vituperasset: contumeliosis admodum verbis ei minatus est. Et quoniam cum Christianum esse acceperat, contumeliam exaggerans, aut in Christum impia loqui gestiens: id enim subinde præsumere solebat, cum fastu et jactantia ei denuntiavit, Deum illum quem colebat, nequaquam ipsi opem laturum esse, si imperata facere neglexisset. Postquam hæc recte sibi constituisse visus esset, sumptis Roma-

ἦγε διὰ τῆς Ἀσσυρίων. Καὶ πόλεις τινὰς καὶ φρού-
ρια, τὰ μὲν προδοσίᾳ, τὰ δὲ πολέμῳ εἷλεν, ἀπερι-
σκέπτως τε εἰς τὸ πρόσθεν ᾔει[f], μηδὲν τῶν κατόπιν 217
προνοῶν, καὶ ὅτι γε δεήσει τὴν αὐτὴν πάλιν ἐπανελ-
θεῖν. Ἀλλ' ὅπερ ᾕρει, δεινῶς ἐπόρθει· ταμιεῖα[g] τε καὶ
5 τ' ἄλλα, τὰ μὲν κατέσκαπτε· τὰ δ' ἐπίμπρα. Πορευ-
όμενος δὲ παρὰ τὸν Εὐφράτην, οὐ πόρρωθεν ἀφίκετο
Κτησιφῶντος. Πόλις δὲ αὕτη μεγάλη, καὶ τὰ Περ-
σῶν βασίλεια νῦν ἀντὶ Βαβυλῶνος ἔχουσα· ῥεῖ δὲ
αὐτῆς οὐκ ἀπὸ πολλοῦ ὁ Τίγρης· ὡς δὲ ταῖς ναυσὶν
οὐκ ἐχώρει διὰ τὴν μέσην γῆν τῷ Κτησιφῶντι προσ-
ελθεῖν, ἀλλ' ἐπ' ἀνάγκης[h] ἐφαίνετο, ἢ τὴν πόλιν
παριέναι, ἢ τῶν πλοίων καταφρονεῖν, ἀνακρίνας τινὰς
τῶν αἰχμαλώτων, εὗρε διώρυγα ναυσίπορον ἀναχω-
σθεῖσαν τῷ χρόνῳ· καὶ διατεμὼν τὸ διεῖργον, εἵλκυσε
6 τὸν Εὐφράτην ἐπὶ τὸν Τίγρητα[i]. Ταύτῃ τε τῷ
στρατῷ παραπλεούσας ἔχων τὰς ναῦς, ἐπὶ τὴν πόλιν
ἐχώρει. Σὺν πολλῇ δὲ παρασκευῇ ἱππέων καὶ ὁπλι-

[f] Hunc locum supplevi ex cod. Fuk., in quo scribitur ἀπερίσκεπτόν τε εἰς τὸ πρόσθεν εἴη. VALESIUS. ἀπερισκέπτως τε εἰς τὸ πρόσθεν μηδὲν τῶν B. τε et ᾔει om. Steph. Genev.

[g] [ταμεῖα editt. et codd. Cf. i. 11, 7.]

[h] ἐπάναγκες C. Niceph.

[i] Τίγρην C.

norum copiis, per Assyriam iter fecit. Et urbibus quibusdam et castellis partim proditione, partim vi captis, inconsulte ulterius progressus est, non prospiciens iis quæ a tergo erant, nec cogitans eadem via rursus esse redeundum. Verum cuncta quæ ceperat, funditus vastabat, et horrea, aliaque omnia partim subvertebat, partim incendebat. Cum autem iter faceret secus Euphratem, Ctesiphontem pervenit. Est autem Ctesiphon urbs maxima, et Babylonis loco Persicorum nunc regum domicilium: nec procul ab ea labitur fluvius Tigris. Cum autem navibus ad eam urbem appellere non posset ob interjectum terræ spatium, sed necesse haberet aut Ctesiphontem præterire, aut classem relinquere: percontatus quosdam ex captivis, fossam navigabilem repperit longinquitate temporis obstructam. Qua perpurgata, remotoque impedimento, Euphratem in alveum Tigridis deduxit. Hoc modo classem ad latus exercitus sui navigantem habens, ad urbem per-

τῶν καὶ ἐλεφάντων τῶν Περσῶν φανέντων ἐπὶ τῆς
ὄχθης[h] τοῦ Τίγρητος, ἰδὼν ἐν πολεμίᾳ γῇ μέσον δύο
μεγίστων ποταμῶν πολιορκουμένην αὐτῷ τὴν στρα-
τιὰν, καὶ λιμῷ διαφθαρῆναι κινδυνεύουσαν, ἤν τε
μένοιεν αὐτόθι, ἤν τε τὴν αὐτὴν[i] ὁδὸν ὑποστρέφοιεν,
τῶν πόλεων καὶ τῶν κωμῶν δι' ὧν ἦλθον κατηρειμ-
μένων[k], καὶ τὰ ἐπιτήδεια μὴ ἐχουσῶν, κέλησιν[l] ἆθλα
προθεὶς[m], ἐπὶ θέαν ἱπποδρομίας τοὺς στρατιώτας
7 ἐκάθισεν. Ἐν τούτῳ δὲ τοὺς προεστῶτας τῶν πλοίων
ἐκέλευσεν ἀποβαλεῖν τὰ φορτία καὶ τὸ σιτηρέσιον
τῆς στρατιᾶς, ὅπως ἐν κινδύνῳ σφᾶς ἰδόντες οἱ στρα-
τιῶται, ὡς ἐπυθόμην, ἀπορίᾳ τῶν ἐπιτηδείων εἰς θρά-
σος τράπωνται, καὶ προθυμότερον τοῖς πολεμίοις μα-
χέσωνται. Συγκαλέσας δὲ τοὺς στρατηγοὺς ὁ βασι-
λεὺς καὶ τοὺς ταξιάρχας μετὰ τὸ δεῖπνον, ἐνεβίβασε
τοὺς στρατιώτας εἰς τὰς ναῦς. Οἱ δὲ, ἐκ νυκτὶ τὸν
Τίγρητα πλεύσαντες, ἤδη πρὸς ταῖς πέραν ὄχθαις
8 ἦσαν καὶ ἐξέβαινον. Τῶν δὲ Περσῶν, οἱ μὲν αἰσθό-

[h] Ita B. Niceph. τοῖς ὄχθοις editt.; conf. ταῖς ὄχθαις infra. ἐπὶ τῆς ἀντικρὺ ὄχθης Zosim. iii. 24.

[i] αὐτοῦ B. Steph. Genev. αὐτὴν Scal. Vales.

[k] Ita B. καθῃρημένων editt.

[l] κέλευσιν B.

[m] Ita B. ut voluit Vales. Niceph. προσθεὶς Steph. Genev.

rexit. Sed cum Persæ ad ripas Tigridis visi essent cum maximo apparatu equitum ac peditum atque elephantorum, cernens imperator exercitum suum inter duos maximos fluvios conclusum teneri, timendumque esse ne fame interiret, sive illic mansisset, sive eandem viam remetiretur, urbibus et vicis per quos venerat eversis, nec ulla habentibus alimenta: præmia desultoribus proposuit, et ad equestre certamen spectandum milites convocavit. Interim vero classis rectoribus mandavit, ut sarcinas et commeatum exercitus abjicerent, eo consilio ut milites, sicuti accepi, in maximo periculo se positos cernentes, ob penuriam alimentorum, audaciores fierent, et alacrius cum hostibus dimicarent. Vocatis igitur ducibus ac tribunis post cœnam, milites navigiis imposuit. Qui noctu Tigrim trajicientes, cum ad ulteriorem fluminis ripam pervenissent, navibus egrediuntur. Ex Persis vero, ii quidem qui

μενοι ἠμύνοντο, καὶ ἀλλήλοις παρεκελεύοντο· τοῖς δὲ
ἔτι καθεύδουσιν, ἐπέστησαν οἱ Ῥωμαῖοι. Καὶ ἡμέρας
ἐπιγενομένης, εἰς μάχην καθίσταντο· πολλούς τε ἀπο-
βαλόντες καὶ κτείναντες, διέβησαν εἰς τὸν ποταμόν·
καὶ τότε μὲν πρὸ τῆς Κτησιφῶντος ἐστρατοπεδεύοντο.
9 Δόξαν δὲ τῷ βασιλεῖ μηκέτι περαιτέρω χωρεῖν, ἀλλ'
εἰς τὴν ἀρχομένην ἐπανελθεῖν, τὰς ναῦς ἐμπρήσαντες,
ὡς διὰ τὴν φυλακὴν τούτων πολλῶν ἀπομάχων ὄν-
των, τὴν ἐπάνοδον ἐποιοῦντο, ἐν ἀριστερᾷ Τίγρητα 218
τὸν[n] ποταμὸν ἔχοντες. Ἡγουμένων δὲ τῶν αἰχμαλώ-
των, τὰ μὲν πρῶτα ἀπήλαυον χώρας εὐφόρου καὶ
10 πάντα ἐπιτήδεια ἐχούσης. Μετὰ δὲ ταῦτα, πρεσβύ-
της τὶς ἑλόμενος ἀποθανεῖν ὑπὲρ τῆς πάντων Περσῶν
ἐλευθερίας, ἐπίτηδες ἁλῶναι φανεὶς, ὡς ἄκων συλλη-
φθεὶς, ἄγεται παρὰ τὸν ἡγούμενον· ἀνακριθείς τε περὶ
τῆς ὁδοῦ, καὶ δόξας ἀληθῆ λέγειν, ἔπεισεν ἵν'[o] αὐτῷ
ἕπωνται, τὴν ταχίστην τοῖς Ῥωμαίων ὅροις ἐπιστή-
11 σειν τὴν στρατιάν. Μόνον[p] δὲ τριῶν ἢ τεσσάρων

[n] Ita C. τὸν om. ceteri. Conf. supra, v. 19, 6, Λάδωνος τοῦ ποταμοῦ.

[o] [Fortasse legendum ἦν.]

[p] μόνην J.

irruptionem senserant, resistere seque mutuo cohortari cœperunt. Alios vero adhuc dormientes Romani oppressere. Orta demum die prœlium conseritur: et Romani multis hostium trucidatis, nec paucis suorum amissis, fluvium denuo trajecerunt. Ac tum quidem ante Ctesiphontis muros castrametati sunt. Cumque imperator nequaquam ulterius progredi; sed domum redire constituisset, Romani incensis navibus, eo quod multi in custodiendis illis occupati, prœliis interesse non possent, in patriam reverti cœperunt, Tigrim ad lævam habentes. Ac initio quidem captivis eos ducentibus, regionem fertilem nacti sunt, quæ omnia ad victum necessaria abunde ipsis suppeditabat. Postea vero senex quidam qui se pro omnium Persarum salute devoverat, cum sese ultro capiendum obtulisse videretur, tanquam invitus a Romanis captus, ad principem perducitur. Qui interrogatus de via, cum vera dicere visus esset, fidem fecit, si Romani ipsum sequi vellent, fore ut brevi exercitum in Romanorum finibus sisteret. Tridui dun-

ἡμερῶν χαλεπὴν ἔσεσθαι τὴν πορείαν· καὶ χρῆναι
τούτων σιτία φέρεσθαι, τῆς γῆς ἐρήμου[p] οὔσης. Ὑπ-
αχθείς τε ὁ βασιλεὺς τοῦ σοφοῦ πρεσβύτου τοῖς
12 λόγοις, ἐδοκίμασε ταύτῃ πορευτέον. Ἐπεὶ δὲ προσω-
τέρω χωροῦντες, καὶ μετὰ τρεῖς ἡμέρας ἐνέβαλον τό-
ποις[q], ὁ μὲν γέρων ὁ αἰχμάλωτος βασανιζόμενος, ὡμο-
λόγησεν ὑπὲρ τῶν οἰκείων αὐτομολῆσαι πρὸς θάνατον,
καὶ ἕτοιμος εἶναι πάντα προθύμως ὑπομένειν. Ἀλυ-
ούσης δὲ τῆς στρατιᾶς, τῷ τε μήκει τῆς ὁδοῦ, καὶ τῇ
ἐνδείᾳ τῶν ἐπιτηδείων, ἤδη τεταλαιπωρηκόσι Περσικὴ
13 παράταξις ἐπέθετο. Καρτερᾶς δὲ μάχης συστάσης,
ἐξαπίνης βίαιος ἀνακινηθεὶς ἄνεμος, τὸν οὐρανὸν καὶ
τὸν ἥλιον τοῖς νέφεσιν ἐκάλυψε· τῷ δὲ[r] ἀέρι τὴν
κόνιν ἀνέμιξε· σκότους δὲ καὶ πολλῆς ἀχλύος οὔσης,
παραδραμών τις ἱππεὺς φέρει ἐπὶ τὸν βασιλέα τὸ
δόρυ, καὶ παίει καιρίαν· καὶ τοῦ ἵππου καταβαλὼν,
ὅστις ἦν ἀπῆλθε λαθών· λέγουσι δὲ οἱ μὲν, Πέρσην·
14 οἱ δὲ, Σαρακηνὸν εἶναι τοῦτον. Εἰσὶ δὲ οἳ Ῥωμαῖον

p τῆς ὀρεινῆς ἐρήμης J. τῆς ὀρεινῆς ἐρήμου Scal.

q Addendum est vocabulum ἀγρίοις ex Nicephoro. VALESIUS.

r Malim τε. VALESIUS.

taxat aut quatridui iter molestum futurum: et cibaria in tot dies ferenda esse, eo quod regio deserta esset. Itaque imperator callidi senis sermonibus inductus, ea via pergendum esse decrevit. Ubi vero ulterius progressi, adhuc post tres dies in loca inculta atque aspera devenerunt: senex quidem captivus dum torqueretur, confessus est, se pro salute civium suorum mori paratum transfugisse, et quodvis supplicium æquo animo perpessurum. Cum autem exercitus Romanus partim longitudine itineris, partim alimentorum penuria vexaretur, jam fatigatos Persæ aggressi sunt. Acrique conserto prœlio, ventus vehemens repente exortus, cœlum solemque ipsum densis nubibus obtexit, et pulvere aerem miscuit. Cumque tenebræ undique et caligo circumfusa esset, eques quidam concito cursu prætervectus, imperatorem hasta percussit, ac lethale vulnus ei inflixit. Quem cum ex equo dejecisset, ignotus quisnam esset, abscessit. Et alii quidem Persam, alii Saracenum fuisse dicunt. Sunt qui illum militem Romanum fuisse

στρατιώτην εἶναι τοῦτον ἰσχυρίζονται, καὶ ἐπενηνοχέναι[s] αὐτῷ τὴν πληγὴν, ἀγανακτήσαντα καθότι ἀβουλίᾳ καὶ θρασύτητι τοσούτοις περιέβαλε κινδύνοις τὴν στρατιάν. Λιβάνιος δὲ ὁ Σύρος σοφιστὴς, τὰ μάλιστα συνήθης καὶ φίλος αὐτῷ γεγονὼς, τάδε περὶ τοῦ κτείναντος αὐτὸν γράφει.

15 Τὶς οὖν ὁ κτείνας, ποθεῖ τις ἀκοῦσαι. Τοὔνομα μὲν οὐκ οἶδα· τοῦ δὲ μὴ πολέμιον εἶναι τὸν κτείναντα, σημεῖον ἐναργὲς, τὸ μηδένα πολέμιον ἐπὶ τῇ πληγῇ τετιμῆσθαι. Καίτοι διὰ κηρύκων ὁ Πέρσης ἐκάλει πρὸς γέρας τὸν ἀπεκτονότα, καὶ μεγάλων ὑπῆρχε τῷ φανέντι τυχεῖν. Ἀλλ' ὅμως οὐδ'[t] ἔρωτι γερῶν ἠλαζονεύσατο. Καὶ πολλή γε τοῖς πολεμίοις ἡ χάρις, ὅτι ὧν οὐκ ἔδρασαν, οὐ προσέθεντο τὴν δόξαν, ἀλλ' ἔδοσαν ἡμῖν παρ' ἡμῖν αὐτοῖς
16 τὸν σφαγέα ζητεῖν. Οἷς γὰρ οὐκ ἐλυσιτέλει ζῶν, οὗτοι δὲ ἦσαν οἱ ζῶντες οὐ κατὰ τοὺς νόμους, πάλαι τε ἐπεβούλευον, καὶ τότε δυνηθέντες εἰργάσαντο· τῆς τε ἄλλης ἀδικίας ἀναγκαζούσης[u], οὐκ ἐχούσης ἐπὶ τῆς ἐκείνου βασι- 219

[s] ἐπινηνοχέναι B. [t] οὐδεὶς οὐδ' J.
[u] αὐτοὺς ante ἀναγκαζούσης J.

affirment, qui imperatorem idcirco percusserit, quod moleste ferret, illius imprudentia ac temeritate exercitum Romanum in tot pericula conjectum esse. Porro Libanius Syrus sophista, qui præ cæteris familiaris imperatoris et amicus fuit, de cædis auctore ita scribit. Ac fortasse aliquis nosse cupit, quisnam illum occiderit. Ego vero nomen quidem nescio. Ab hoste tamen interfectum non fuisse certissimum illud argumentum est, quod nemo ex hostibus ob vulnus illud honore affectus est. Quamvis rex Persarum auctorem cædis per præconem ad præmium vocaverit, et maxima quæque adipisci licuerit ei qui in medium prodiisset. Verum nemo, ne præmiorum quidem cupiditate ductus, eo facinore falso gloriatus est. Ac profecto habenda est hostibus gratia, qui facinus quod ipsi non admiserant, nequaquam sibi arrogarunt: sed nobis concesserunt, ut cædis auctorem inter nostros quæreremus. Qui enim ex ejus vita nullam percipiebant utilitatem: hi scilicet qui nequaquam juxta legum præscripta vivebant, et olim insidias ei struxerant, et tunc opportunitatem nacti, eum peremerunt: tum reliqua omni injustitia ipsos ad id facinus impellente, quæ illo

λείας ἐξουσίαν· καὶ μάλιστά γε τοῦ τιμᾶσθαι τοὺς θεοὺς, οὗ τοὐναντίον ἐζήτουν.

ΚΕΦ. Β'.

Ὅτι κατὰ θεομηνίαν ἀνῃρέθη· καὶ περὶ τῶν ὁράσεων, ἃς ἄνδρες τινὲς περὶ τῆς τελευτῆς αὐτοῦ ἐθεάσαντο, καὶ περὶ τῆς ἀποκρίσεως τοῦ υἱοῦ τοῦ τέκτονος· καὶ ὅτι τὸ αἷμα Ἰουλιανὸς τῷ Χριστῷ ἀνέπεμπε· καὶ ὅσα κακὰ δημοσίᾳ τῇ Ῥωμαίων ἐπεγένετο δι' αὐτόν.

1 Καὶ ὁ μὲν Λιβάνιος ὧδέ πῃ γράφων, Χριστιανὸν ἔσεσθαι[x] ὑποδηλοῖ Ἰουλιανοῦ τὸν σφαγέα· ἴσως δὲ καὶ ἀληθές. Οὐ γὰρ ἀπεικός τινα τῶν τότε στρατευομένων εἰς νοῦν λαβεῖν, ὡς Ἕλληνες καὶ πάντες ἄνθρωποι μέχρι νῦν τοὺς πάλαι τυραννοκτόνους[y] ἐπαινοῦσιν, ὡς ὑπὲρ τῆς πάντων ἐλευθερίας ἑλομένους ἀποθανεῖν, καὶ πολίταις ἢ συγγενέσιν ἢ φίλοις προ-
2 θύμως ἐπαμύνοντας. Σχολῇ γε ἄν τις καὶ αὐτῷ μέμψαιτο, διὰ Θεὸν καὶ θρησκείαν ἣν ἐπῄνεσεν ἀνδρείῳ γενομένῳ. Ἐγὼ δὲ, ὅστις μὲν[z] τῇ σφαγῇ ταύτῃ διη-

[x] γενέσθαι ὑπ. C.
[y] τυραννοκτόνους γενομένους J.
[z] ὅστις μὴ τῇ B. Steph. Genev. corr. Christ. Scal. Vales.

regnante nullam licentiam obtinebat: tum præcipue deorum cultu cui ipsi adversabantur.

CAPUT II.

Quod Julianus divina ultione peremptus est; et quod mors ejus quibusdam divinitus revelata est. Item de responso illo, filium fabri arcam ei fabricare: et quomodo sanguinem suum Christo projecit: et quot mala Romanis evenerint illius causa.

Et Libanius quidem ita scribens, Juliani interfectorem Christianum fuisse innuit. Resque fortassis ita se habet. Neque enim a vero abhorret, quempiam eorum qui tunc temporis in exercitu Romano militabant, ad animo reputasse, tyrannorum interfectores tum a veteribus Græcis, tum a reliquis mortalibus ad nostram usque ætatem summis laudibus efferri, ut qui pro communi omnium libertate, mortem oppetere non dubitarint, et civibus suis et propinquis atque amicis alacri animo opitulati sint. Nemo certe eum facile reprehenderit, qui propter Deum, et propter eam quam colebat religionem, strenuum facinus edidit. Ego vero de illo qui

κονήσατο[a], πλὴν τῶν εἰρημένων οὐδὲν ἀκριβῶ. Ὡς
δὲ συμφωνοῦντες οἱ λέγοντες ἰσχυρίζονται, ἀψευδὴς
λόγος εἰς ἡμᾶς ἦλθε, κατὰ θεομηνίαν αὐτὸν ἀναιρεθῆ-
ναι· καὶ τούτου ἀπόδειξις, θεία ὄψις, ἥν τινα τῶν
3 ἐπιτηδείων αὐτῷ ἰδεῖν ἐπυθόμην. Λέγεται γὰρ, ἐπει-
δὴ[b] πρὸς αὐτὸν ἐν Πέρσαις ὄντα ἠπείγετο, ἔν τινι
χωρίῳ καταλῦσαι τῆς λεωφόρου, καὶ ἀπορίᾳ οἰκήμα-
τος, ἐν τῇ ἐνθάδε ἐκκλησίᾳ καθευδῆσαι· καὶ ὕπαρ ἢ
ὄναρ ἰδεῖν, ὡς εἰς ταυτὸν[c] συνελθόντες πολλοὶ τῶν
ἀποστόλων καὶ τῶν[d] προφητῶν ἀπωδύροντο τὴν εἰς
τὰς ἐκκλησίας τοῦ κρατοῦντος ὕβριν, καὶ ὅ τι χρὴ
4 ποιεῖν ἐβουλεύοντο. Ἐπὶ πολὺ δὲ περὶ τούτου δια-
λογιζομένων καὶ ὥσπερ διαπορουμένων, ἀναστάντες
ἐκ μέσων δύο, θαρρεῖν τοῖς ἄλλοις παρεκελεύσαντο·
καὶ ὡς ἐπὶ καθαιρέσει τῆς Ἰουλιανοῦ ἀρχῆς ὁρμῶντες,
5 σπουδῇ τὸν σύλλογον κατέλιπον. Ὁ δὲ ἄνθρωπος
ὃς τῶν παραδόξων τούτων ἐγεγόνει[e] θεατὴς, τῆς μὲν
ὁδοιπορίας ὠλιγώρει λοιπόν· ὀρρωδῶν δὲ πῇ ἄρα ἐκ-

[a] διη$\overset{\text{κο}}{\text{γω}}$ν$\overset{\text{ή}}{\text{ι}}$σατο B. [b] ἐπεὶ J. Scal. [c] αὐτὸν B.
[d] τῶν secundum om. B. [e] γεγόνει B.

hanc cædem perpetravit, præter ea quæ jam dixi, nihil amplius scio. Verum ut omnes uno consensu affirmant, vera ad nos pervenit narratio, eum divina ultione peremptum fuisse. Cujus rei argumentum est cœlestis visio, quam a quodam ex ejus familiaribus visam esse accepi. Nam cum is ad illum tunc in Perside agentem contenderet, in loco quodam viæ publicæ diversatus esse dicitur, et penuria tecti in ecclesia illic posita decubuisse: ac sive inter vigilandum, sive in somnis vidisse plures apostolos ac prophetas, qui in unum convenientes, de principis in ecclesias contumelia quererentur, et quidnam agendum esset deliberarent. Cumque hac de re diutius consultassent, ac veluti ancipites hærerent, duo e medio surgentes, reliquos bono animo esse jusserunt: et tanquam ad delendum Juliani imperium festinantes, statim e concilio digressi sunt. At ille qui res tam admirabiles viderat, cœptum quidem iter deinceps prosequi neglexit: formidans autem quemnam exitum habitura esset hæc visio, cum eodem rursus in

βήσεται[f] τὸ τέλος τῆς τοιαύτης ὄψεως, πάλιν ἐνθάδε
καθεύδων, τὸν[g] αὐτὸν ἰδεῖν σύλλογον, ἐξαπίνης τε ὡς
ἀπὸ ὁδοῦ εἰσεληλυθότας οἳ τῇ προτεραίᾳ νυκτὶ ἐπε-
στράτευσαν Ἰουλιανῷ, καὶ ἀναγγεῖλαι τοῖς ἄλλοις
6 ἀνῃρῆσθαι τοῦτον. Κατʼ ἐκείνην δὲ τὴν ἡμέραν καὶ
Δίδυμος ὁ ἐκκλησιαστικὸς φιλόσοφος ἐν Ἀλεξαν-
δρείᾳ διατρίβων, οἷά γε τοῦ βασιλέως εἰς τὴν θρη-
σκείαν διασφαλέντος, περίλυπος ὤν, διά τε αὐτὸν ὡς
πεπλανημένον, καὶ διὰ τὴν καταφρόνησιν τῶν ἐκκλη-
σιῶν, ἐνήστευέ τε, καὶ τὸν Θεὸν περὶ τούτου ἱκέτευεν.
7 Ὑπὸ δὲ τῆς μερίμνης, οὐδὲ τῆς νυκτὸς ἐπιγενομένης
μεταλαβὼν τροφῆς, ἐπὶ θρόνου καθεζόμενος, εἰς ὕπνον
ἠνέχθη· καὶ ὡς ἐν ἐκστάσει γεγονὼς, ἔδοξεν ὁρᾷν ἵπ-
πους λευκοὺς ἐν τῷ ἀέρι διατρέχοντας· τοὺς δὲ ἐπʼ
αὐτῶν ὀχουμένους κηρύττειν, Ἀγγείλατε Διδύμῳ, σή-
μερον περὶ τήνδε τὴν ὥραν Ἰουλιανὸν ἀνῃρῆσθαι· καὶ
Ἀθανασίῳ τῷ ἐπισκόπῳ τοῦτο μηνυσάτω· καὶ ἀνα-
8 στὰς ἐσθιέτω[h]. Καὶ ἃ μὲν τεθέανται[i] ὅ τε Ἰουλιανοῦ

[f] συμβήσεται correct. in ἐκβή-σεται B.
[g] καὶ τὸν C.
[h] Ita cod. Fuk. probante Valesio, qui tamen in textu suo scripsit ἑστιέτω. ἠσθίετο Steph. Genev. μετεχέτω τροφῆς Niceph.
[i] Ita B. τεθέαντο Christoph. τεθέαται editt.

loco somnum cepisset, eumdem quem prius cœtum vidisse dicitur, ac repente duos illos qui superiore nocte adversus Julianum profecti erant, velut ab expeditione redeuntes, in concilium ingressos esse, ejusque necem reliquis nuntiasse. Eodem die Didymus quoque ecclesiasticus philosophus Alexandriæ degens, cum, utpote imperatore adversus religionem peccante, gravissimo dolore afficeretur, tum propter ipsum vano errore deceptum, tum ob contumeliam ecclesiarum, jejuniis et orationibus vacabat. Cumque præ nimia sollicitudine, ne superveniente quidem nocte cibum sumpsisset, in cathedra sedens somno oppressus est. Ac velut in mentis excessu positus, equos candidos per aërem discurrentes videre sibi visus est, virosque ipsis insidentes, ita clamantes audire: nuntiate Didymo, hodie Julianum hac ipsa hora peremptum

οἰκεῖος, καὶ ὁ φιλόσοφος, ὧδε γενέσθαι ἐπυθόμην.
Καὶ *οὐδέτερος ἐν οἷς τεθέατο*[j] *τῆς ἀληθείας διήμαρτεν,*
ὡς ἐμηνύθη ὕστερον. Ὧι *δὲ ταῦτα οὐκ ἀρκεῖ εἰς ἀπό-*
δειξιν τοῦ θεόθεν αὐτὸν ἀναιρεθῆναι, ὡς ταῖς ἐκκλη-
σίαις αὐτοῦ λυμαινόμενον, καὶ τὴν προφητείαν εἰς
νοῦν λαβέτω[k] *ἣν ἐκκλησιαστικὸς ἀνὴρ προηγόρευσε.*
9 Μέλλοντος *γὰρ αὐτοῦ ἐπὶ* Πέρσας *στρατεύειν, καὶ*
μετὰ τὸν πόλεμον κακῶς ποιήσειν τὰς ἐκκλησίας
ἐπαπειλοῦντος, καὶ ἐπιτωθάζοντος ὡς οὐδὲν αὐτοῖς
ἐπαμύνειν δυνήσεται ὁ τοῦ τέκτονος υἱὸς, ὡδὶ λέγων
ἀπεφήνατο· Οὗτος *δὲ ὁ τοῦ τέκτονος υἱὸς θήκην αὐτῷ*
10 *ξυλίνην πρὸς θάνατον κατασκευάζει.* Οὐ *μὴν ἀλλὰ*
καὶ αὐτὸς μετὰ τὴν πληγὴν ἀμωσγέπως συνῆκεν ὅθεν
ἐβλάβη, καὶ τὸ αἴτιον τῆς συμφορᾶς οὐ παντελῶς
ἠγνόησε. Λέγεται *γὰρ ὅτε ἐτρώθη, αἷμα ἐκ τῆς ὠτει-*
λῆς ἀρυσάμενος, εἰς τὸν αἰθέρα ἀκοντίσαι, οἷά γε
πρὸς φαινόμενον τὸν Χριστὸν *ἀφορῶν, καὶ τῆς ἰδίας*
11 *σφαγῆς αὐτὸν ἐπαιτιώμενος.* Οἱ *δὲ φασὶν, ὡς πρὸς*

[j] *τεθέαται* Scal. *τοῦτον* Niceph. *λαμβάνειν* Christ.
[k] Ita C. *ἡ προφητεία πεισάτω* Scal. *λαμβάνει* ceteri.

esse: idque ille Athanasio episcopo significet, et surgens comedat. Et hæc quidem tum a familiari Juliani, tum a Didymo philosopho visa fuisse accepi. Et neuter eorum in iis quæ viderat, a vero aberravit, sicuti postea patefactum est. Quod si cuipiam hæc parum sufficere videntur ad ostendendum, Julianum ultione divina interfectum esse, propterea quod ecclesias Dei devastaret, is in animum revocet prædictionem ecclesiastici cujusdam viri. Nam cum Julianus adversus Persas expeditionem pararet, eoque bello confecto Christianos male mulctaturum se minaretur, ac per ludibrium diceret, filium fabri nullam ipsis opem afferre valiturum; respondens ille ita prædixit, Iste fabri filius arcam ei ligneam parat ad tumulum. Sed et ipse accepto demum vulnere, aliquatenus intellexit a quo læsus fuerat, nec calamitatis suæ causam penitus ignoravit. Nam cum vulneratus esset, haustum e vulnere suo cruorem in cœlum projecisse dicitur, velut in Christum sibi apparentem oculos conjiciens, eumque suæ necis auctorem incusans. Alii dicunt, cum soli iratum, eo quod Persas qui-

τὸν ἥλιον ἀγανακτῶν, ὅτι Πέρσαις ἐπήμυνεν, ἢ αὐτὸν
οὐ διέσωσεν, ἔφορος ὢν τῆς αὐτοῦ γενέσεως κατά τινα
τοιαύτην ἀστρονομικὴν ἱστορίαν, τῇ χειρὶ τὸ αἷμα
12 ἐπιδείξας, εἰς τὸν ἀέρα ἠκόντισεν. Εἰ δὲ ἀληθῶς μέλ-
λων τελευτᾷν, οἷά περ εἰώθει συμβαίνειν τῆς ψυχῆς
ἤδη χωριζομένης τοῦ σώματος, καὶ θειότερα ἢ κατὰ
ἄνθρωπον θεωρεῖν τῆς ψυχῆς δυναμένης, τὸν Χριστὸν
ἐθεάσατο, οὐκ ἔχω λέγειν· οὐ γὰρ πολλῶν ὅδε ὁ
λόγος· οὔτε δὲ ὡς ψεῦδος ἐκβαλεῖν θαρρῶ, ἐπεὶ οὐκ
ἀπεικὸς καὶ τῶνδε θαυμαστότερα συμβῆναι, εἰς ἐπί-
δειξιν τοῦ μὴ ἀνθρωπείᾳ σπουδῇ συστῆναι τὴν ἐπώ-
13 νυμον Χριστοῦ θρησκείαν. Ἀμέλειτοι παρὰ πάντα
τὸν χρόνον ταυτησὶ τῆς βασιλείας ἀγανακτῶν ὁ Θεὸς
ἐφαίνετο· καὶ παντοδαπαῖς συμφοραῖς ἐν πολλοῖς
ἔθνεσιν ἐπέτριψε[1] τὴν Ῥωμαίων ὑπήκοον. Τῆς τε
γὰρ γῆς συνεχῶς ὑπὸ χαλεπωτάτων σεισμῶν τινασ-
σομένης, καὶ τῶν οἰκημάτων ἐρειπομένων[m], οὐκ ἀσφα-
14 λὲς ἦν οἴκοι οὔτε αἰθρίους διατρίβειν. Συμβάλλω δὲ
ἐξ ὧν ἐπυθόμην, ἢ βασιλεύοντος αὐτοῦ, ἢ κατὰ τὸ

[1] Ita Vales. e cod. Fuk. ἐπέτρεχε Steph. Genev. ἐπέτρεψε Christoph. et Scal. in marg. Genev. [et ad calc. ed. Colon. et MSS. Scal. et Vulc.], quod videtur velle ἐπέτριψε.

[m] ἐρειπουμένων B.

dem adjuvisset, ipsum vero nequaquam servasset, tametsi juxta astronomorum doctrinam, natalis ipsius rector esset, manu sua ostensum sanguinem in sublime jaculatum esse. Utrum vero cum jamjam moriturus esset, sicut evenire solet, anima jam a corpore recedente, et diviniora quædam contemplari valente, re ipsa Christum viderit, equidem affirmare non possum: præsertim cum istud a paucis relatum sit. Ut falsum tamen, rejicere non ausim. Neque enim abhorret a vero, quin alia his etiam admirabiliora contigerint, quibus ostenderetur, Christianam religionem non humana vi aut industria stabilitam esse. Certe quamdiu imperator iste regnavit, Deus perpetuo indignari visus est; et in multis provinciis Romanos diversis calamitatibus afflixit. Cum enim terra gravissimis motibus assidue quateretur, ædesque corruerent, nequaquam tutum erat, nec sub tecto manere, nec sub dio. Atque ut

δεύτερον σχῆμα τῆς βασιλείας ὄντος, καὶ τὸ συμβὰν 221
τοῖς πρὸς Αἴγυπτον Ἀλεξανδρεῦσι γέγονε πάθος· ἡνίκα δὴ ἡ θάλασσα ὑπονοστήσασα[n], αὖθις ἐξ ἐπιδρομῆς τοὺς ἰδίους ὅρους παρήμειψε, καὶ μέχρι πολλοῦ τὴν ξηρὰν κατέκλυσεν· ὡς καὶ ἐπὶ τῶν κεράμων, ἀποχωρήσαντος τοῦ ὕδατος, θαλάττια εὑρεθῆναι σκά-
15 φη. Ἀμέλειτοι τὴν ἡμέραν καθ' ἣν τάδε συνέβη, ἣν γενέσια τοῦ σεισμοῦ προσαγορεύουσιν, εἰσέτι καὶ νῦν Ἀλεξανδρεῖς ἐτησίαν ἑορτὴν ἄγουσι· λύχνους τε πλείστους ἀνὰ πᾶσαν τὴν πόλιν καίοντες, καὶ χαριστηρίους λιτὰς τῷ Θεῷ προσφέροντες, λαμπρῶς μάλα
16 καὶ εὐλαβῶς ταύτην ἐπιτελοῦσιν. Οὐ μὴν ἀλλὰ καὶ αὐχμοὶ ἐπιτείναντες, πάντας τοὺς καρποὺς καὶ τὸν ἀέρα ἐπὶ ταύτης τῆς βασιλείας ἐλυμήναντο· ἐντεῦθεν σπάνει τῶν ἐπιτηδείων, ἐπὶ τὰς τῶν ἀλόγων ζώων τροφὰς τοὺς ἀνθρώπους ἤλαυνεν ὁ λιμός. Ἐπακολουθῶν δὲ καὶ ὁ λοιμὸς[o] ἰδίας ἐπῆγε νόσους, καὶ τὰ

[n] ἐπινοστήσασα B. Steph. Genev. πνεύσασα Niceph. quod corruptum videri posset ex ὑπονοστήσασα, nisi sequeretur mox ὑπονοστήσαντος loco ejus quod habet Sozomenus ἀποχωρήσαντος. ὑπονοστήσασα tacite emendavit Vales.

[o] λιμὸς correct. in λοιμὸς B.

ex iis quæ auditione accepi conjecturam facio, vel eo imperante, vel certe Cæsaris dignitatem adhuc obtinente, clades illa Alexandrinis in Ægypto contigit: tunc cum mare quod recesserat, iterum subito impetu revertens, extra proprios terminos excessit, et continentem longe lateque inundavit: adeo ut post recessum maris, super tectis domorum reperta sint navigia. Alexandrini certe eum diem quo hæc contigerunt, quem etiam natalem terræmotus appellant, ad nostram usque memoriam quotannis festum agunt. Et plurimis lucernis per universam urbem accensis, preces cum gratiarum actione offerentes Deo, splendide simul ac religiose eum diem celebrant. Quin et siccitas nimia eo regnante, omnes terræ fructus, ipsamque aeris temperiem corrupit. Unde factum est, ut homines præ alimentorum inopia, ipsis brutorum animantium cibis vesci cogerentur. Subsecuta etiam pestis, mor-

σώματα διέφθειρε. Τὰ μὲν δὴ κατὰ Ἰουλιανὸν ὧδε ἔσχε.

ΚΕΦ. Γ′.

Περὶ τῆς βασιλείας Ἰοβιανοῦ, καὶ ὅσα ἔννομα παρελθὼν εἰς τὴν ἀρχὴν διεπράξατο.

1 Μετὰ δὲ τοῦτον, κοινῇ συνθήκῃ τοῦ στρατοπέδου
παραλαμβάνει τὴν βασιλείαν Ἰοβιανός. Ἡνίκα δὴ
ἐν τῇ πολεμίᾳ αὐτοκράτορα χειροτονούντων αὐτὸν τῶν
στρατευμάτων, αὐτὸς Χριστιανὸν αὐτὸν εἶναι λέγων,
παρῃτεῖτο τὴν ἡγεμονίαν, καὶ τὰ σύμβολα τῆς βασι-
λείας οὐ προσίετο, εἰσότε δὴ καὶ ἡ στρατιὰ μαθοῦσα
τῆς παραιτήσεως τὴν αἰτίαν, Χριστιανοὺς εἶναι σφᾶς
2 ἐκέκραγον. Ἐν κινδύνῳ δὲ καὶ ταραχῇ τῶν πραγμά-
των ὄντων ἐκ τῆς Ἰουλιανοῦ στρατηγίας, καμνούσης
τε τῆς στρατιᾶς ἐνδείᾳ τῶν ἐπιτηδείων, ἀναγκαῖον
εἶδεν εἰς συμβάσεις ἐλθεῖν, παραδούς τινα Πέρσαις
3 τῶν προτέρων[p] Ῥωμαίοις ὑποτελῶν. Τῇ δὲ πείρᾳ
μαθὼν, ὑπὸ θεομηνίας τοῦ πρὸ αὐτοῦ βασιλεύσαντος

[p] Scribendum est proculdubio *πρότερον*. VALESIUS. Vid. Annot.

bos suos invexit, et corpora extinxit. Et hæc quidem Juliani temporibus evenerunt.

CAPUT III.

De imperio Joviani, deque iis quæ recte constituit, postquam ad imperium evectus est.

Post hunc, communi totius exercitus suffragio Jovianus imperium accepit. Quem cum milites in hostico imperatorem renuntiarent, ipse Christianum se esse dicens, imperium recusavit: nec imperii insignia prius admisit, quam milites, comperta detrectationis causa, se quoque Christianos esse proclamassent. Cumque ex Juliani temeritate res in gravissimo discrimine, et in maxima difficultate constitutæ essent, et commeatuum penuria exercitus laboraret, Jovianus pacem cum Persis necessario faciendam esse animadvertit, traditis quibusdam regionibus, quæ prius erant tributariæ Romanorum. Cum autem experimento didicisset, ira Dei ob decessoris sui impietatem invectas esse calamitates imperio

κακῶς παθεῖν ὑπήκοον, μηδὲν μελλήσας[q], ἔγραψε τοῖς ἡγουμένοις τῶν ἐθνῶν ἀδεῶς[r] ἐν ταῖς ἐκκλησίαις ἀθροίζεσθαι, καὶ τὸ θεῖον ἐπιμελῶς θεραπεύειν, καὶ μόνην εἶναι σέβας τοῖς ἀρχομένοις τὴν τῶν Χριστια-
4 νῶν πίστιν. Ἀπέδωκε δὲ καὶ ταῖς ἐκκλησίαις καὶ τοῖς κλήροις τὰς ἀτελείας[s], χήραις τε καὶ παρθένοις, καὶ εἴ τι πρότερον ἐπ' ὠφελείᾳ καὶ τιμῇ τῆς[t] θρησκείας δω- 222
ρηθὲν, ἢ νομοθετηθὲν ἐτύγχανεν ὑπὸ Κωνσταντίνου καὶ τῶν αὐτοῦ παίδων, ὕστερον δὲ ἐπὶ Ἰουλιανοῦ
5 ἀφῃρέθη. Προσεφώνησε δὲ καὶ Σεκούνδῳ τῷ τότε τὴν ὕπαρχον ἐξουσίαν διέποντι, γενικὴν νομοθεσίαν, εἰς κεφαλὴν τιμωρεῖσθαι παρακελευομένην τὸν ἱερὰν παρθένον μνᾶσθαι πρὸς γάμον πειρώμενον, ἢ καὶ ἀκολάστως μόνον προσβλέποντα, μήτι γὲ διαρπάζειν
6 ἐπιχειροῦντα. Ἔθετο δὲ τοῦτον τὸν νόμον, καθότι μοχθηροί τινες ἄνδρες ἐπὶ τῆς ἡγεμονίας Ἰουλιανοῦ, ἔτυχον τοιούτων παρθένων γάμους ἐπιτελέσαντες, καὶ ἀνάγκῃ ἢ καὶ πειθοῖ προσφθαρέντες, οἷά γε φιλεῖ, τῆς

q μελήσας B.
r Ita B.C. τῶν ἐνθάδε ἐν Steph. Genev. τῶν ἐθνῶν ἐν Vales. ἀδεῶς habet quoque Niceph.
s Ita B. τὰς ἀτελείας om. Steph. inseruit ante ταῖς ἐκκλησίαις Christ. Scal. quos secutus est Vales.
t Ita C. Niceph. τῆς om. ceteri.

Romano, nihil cunctatus, scripsit rectoribus provinciarum, ut in ecclesias convenirent, et divinum numen studiose colerent: solamque Christianorum fidem Romanis esse venerandam. Ecclesiis præterea et clericis, viduis item ac virginibus immunitates restituit; et quicquid antea ad utilitatem atque honorem religionis nostræ a Constantino ejusque liberis donatum sancitumve, et postea Juliani temporibus ademptum fuerat. Dedit etiam generalem constitutionem ad Secundum, qui tunc erat præfectus prætorii, qua jubebat eum capitali supplicio affici, qui sacram virginem sibi uxorem despondere, aut impudice duntaxat aspicere ausus esset; nedum rapere conatus fuisset. Hanc autem legem idcirco tulit, quod flagitiosi quidam homines, principatu Juliani, cum hujusmodi virginibus nuptias contraxerant, et seu vi, seu persuasione eas corruperant: quemadmodum evenire solet, cum

σώματα διέφθειρε. Τὰ μὲν δὴ κατὰ Ἰουλιανὸν ὧδε ἔσχε.

ΚΕΦ. Γ'.

Περὶ τῆς βασιλείας Ἰοβιανοῦ, καὶ ὅσα ἔννομα παρελθὼν εἰς τὴν ἀρχὴν διεπράξατο.

1 Μετὰ δὲ τοῦτον, κοινῇ συνθήκῃ τοῦ στρατοπέδου παραλαμβάνει τὴν βασιλείαν Ἰοβιανός. Ἡνίκα δὴ ἐν τῇ πολεμίᾳ αὐτοκράτορα χειροτονούντων αὐτὸν τῶν στρατευμάτων, αὐτὸς Χριστιανὸν αὐτὸν εἶναι λέγων, παρῃτεῖτο τὴν ἡγεμονίαν, καὶ τὰ σύμβολα τῆς βασιλείας οὐ προσίετο, εἰσότε δὴ καὶ ἡ στρατιὰ μαθοῦσα τῆς παραιτήσεως τὴν αἰτίαν, Χριστιανοὺς εἶναι σφᾶς
2 ἐκέκραγον. Ἐν κινδύνῳ δὲ καὶ ταραχῇ τῶν πραγμάτων ὄντων ἐκ τῆς Ἰουλιανοῦ στρατηγίας, καμνούσης τε τῆς στρατιᾶς ἐνδείᾳ τῶν ἐπιτηδείων, ἀναγκαῖον εἶδεν εἰς συμβάσεις ἐλθεῖν, παραδούς τινα Πέρσαις
3 τῶν προτέρων[p] Ῥωμαίοις ὑποτελῶν. Τῇ δὲ πείρᾳ μαθών, ὑπὸ θεομηνίας τοῦ πρὸ αὐτοῦ βασιλεύσαντος

[p] Scribendum est proculdubio πρότερον. VALESIUS. Vid. Annot.

bos suos invexit, et corpora extinxit. Et hæc quidem Juliani temporibus evenerunt.

CAPUT III.

De imperio Joviani, deque iis quæ recte constituit, postquam ad imperium evectus est.

Post hunc, communi totius exercitus suffragio Jovianus imperium accepit. Quem cum milites in hostico imperatorem renuntiarent, ipse Christianum se esse dicens, imperium recusavit: nec imperii insignia prius admisit, quam milites, comperta detrectationis causa, se quoque Christianos esse proclamassent. Cumque ex Juliani temeritate res in gravissimo discrimine, et in maxima difficultate constitutæ essent, et commeatuum penuria exercitus laboraret, Jovianus pacem cum Persis necessario faciendam esse animadvertit, traditis quibusdam regionibus, quæ prius erant tributariæ Romanorum. Cum autem experimento didicisset, ira Dei ob decessoris sui impietatem invectas esse calamitates imperio

κακῶς παθεῖν ὑπήκοον, μηδὲν μελλήσας[q], ἔγραψε τοῖς
ἡγουμένοις τῶν ἐθνῶν ἀδεῶς[r] ἐν ταῖς ἐκκλησίαις
ἀθροίζεσθαι, καὶ τὸ θεῖον ἐπιμελῶς θεραπεύειν, καὶ
μόνην εἶναι σέβας τοῖς ἀρχομένοις τὴν τῶν Χριστια-
4 νῶν πίστιν. Ἀπέδωκε δὲ καὶ ταῖς ἐκκλησίαις καὶ τοῖς
κλήροις τὰς ἀτελείας[s], χήραις τε καὶ παρθένοις, καὶ εἴ
τι πρότερον ἐπ' ὠφελείᾳ καὶ τιμῇ τῆς[t] θρησκείας δω- 222
ρηθὲν, ἢ νομοθετηθὲν ἐτύγχανεν ὑπὸ Κωνσταντίνου
καὶ τῶν αὐτοῦ παίδων, ὕστερον δὲ ἐπὶ Ἰουλιανοῦ
5 ἀφῃρέθη. Προσεφώνησε δὲ καὶ Σεκούνδῳ τῷ τότε
τὴν ὕπαρχον ἐξουσίαν διέποντι, γενικὴν νομοθεσίαν,
εἰς κεφαλὴν τιμωρεῖσθαι παρακελευομένην τὸν ἱερὰν
παρθένον μνᾶσθαι πρὸς γάμον πειρώμενον, ἢ καὶ
ἀκολάστως μόνον προσβλέποντα, μήτι γε διαρπάζειν
6 ἐπιχειροῦντα. Ἔθετο δὲ τοῦτον τὸν νόμον, καθότι
μοχθηροί τινες ἄνδρες ἐπὶ τῆς ἡγεμονίας Ἰουλιανοῦ,
ἔτυχον τοιούτων παρθένων γάμους ἐπιτελέσαντες, καὶ
ἀνάγκῃ ἢ καὶ πειθοῖ προσφθαρέντες, οἷά γε φιλεῖ, τῆς

[q] μελήσας B.
[r] Ita B.C. τῶν ἐνθάδε ἐν Steph. Genev. τῶν ἐθνῶν ἐν Vales. ἀδεῶς habet quoque Niceph.
[s] Ita B. τὰς ἀτελείας om. Steph. inseruit ante ταῖς ἐκκλησίαις Christ. Scal. quos secutus est Vales.
[t] Ita C. Niceph. τῆς om. ceteri.

Romano, nihil cunctatus, scripsit rectoribus provinciarum, ut in ecclesias convenirent, et divinum numen studiose colerent: solamque Christianorum fidem Romanis esse venerandam. Ecclesiis præterea et clericis, viduis item ac virginibus immunitates restituit; et quicquid antea ad utilitatem atque honorem religionis nostræ a Constantino ejusque liberis donatum sancitumve, et postea Juliani temporibus ademptum fuerat. Dedit etiam generalem constitutionem ad Secundum, qui tunc erat præfectus prætorii, qua jubebat eum capitali supplicio affici, qui sacram virginem sibi uxorem despondere, aut impudice duntaxat aspicere ausus esset; nedum rapere conatus fuisset. Hanc autem legem idcirco tulit, quod flagitiosi quidam homines, principatu Juliani, cum hujusmodi virginibus nuptias contraxerant, et seu vi, seu persuasione eas corruperant: quemadmodum evenire solet, cum

αἰσχρᾶς ἐπιθυμίας ταῦτα τολμᾷν ἀκινδύνως ὑποθεμένης, δυσπραγούσης τῆς θρησκείας.

ΚΕΦ. Δ'.

Ὅτι πάλιν τὰ τῶν ἐκκλησιῶν ἀνεκινοῦντο, καὶ περὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου, ἥτις τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσε· καὶ ὅσα ἡ τοιαύτη σύνοδος τῷ βασιλεῖ Ἰοβιανῷ ἔγραψε.

1 Αἱ δὲ περὶ τῶν δογμάτων ζητήσεις τε καὶ δια-
λέξεις πάλιν ἀνεκινοῦντο τοῖς προεστῶσι τῶν ἐκκλη-
σιῶν. Ἰουλιανοῦ γὰρ βασιλεύοντος, ὡς παντελῶς
τοῦ Χριστιανισμοῦ κινδυνεύοντος, ἡσυχίαν ἦγον· κοι-
νῇ δὲ πάντες τὸν Θεὸν ἱκέτευον, ἵλεων αὐτοῖς γενέ-
2 σθαι. Οὕτω πῃ τοῖς ἀνθρώποις φίλον, παρ' ἑτέρων
μὲν ἀδικουμένοις, πρὸς τὸ ὁμόφυλον ὁμονοεῖν· ἀπηλ-
λαγμένοις δὲ αὐτοῖς[u] τῶν ἔξωθεν κακῶν, πρὸς σφᾶς
αὐτοὺς στασιάζειν. Ἀλλ' ὅσαις μὲν πολιτείαις καὶ
ἔθνεσι τοῦτο συνέβη, οὐ τοῦ παρόντος καιροῦ κατα-
3 λέγειν ἐστί. Περὶ δὲ τοῦτον τὸν χρόνον, Βασίλειος
ὁ Ἀγκύρας ἐπίσκοπος, καὶ Σιλβανὸς ὁ Ταρσοῦ, καὶ

[u] Ita B. Steph. Genev. αὐτοῖς om. tacite Vales. non habet Nicephorus.

religione neglecta atque oppressa, fœda libido ejusmodi res impune tentari suadet.

CAPUT IV.

Quomodo ecclesiæ iterum perturbatæ sint: et de synodo Antiochena, quæ fidem Nicæni concilii confirmavit, et quid ad Jovianum imperatorem scripserit.

Porro quæstiones ac disputationes de fide, a præsidibus ecclesiarum denuo excitatæ sunt. Nam Juliano quidem regnante, cum Christiana religio in summo discrimine versaretur, taciti omnes quieverant: junctimque Deo supplicaverant, ut ipsis propitius esset. Hæc enim fere consuetudo est mortalium, ut dum ab exteris læduntur, cum tribulibus suis concordiam servent: postquam vero ab extraneorum metu liberati sunt, ipsi inter se dissideant. Verum quot gentibus ac civitatibus istud contigerit, non est hujus temporis recensere. Cæterum per id tempus Basilius

Σωφρόνιος ὁ Πομπηϊουπόλεως, καὶ οἱ σὺν αὐτοῖς, τὴν τῶν ἀνομοίων καλουμένων αἵρεσιν ἀποστρεφόμενοι, τὸ δὲ ὁμοιοούσιον ὄνομα ἀντὶ τοῦ ὁμοουσίου δεχόμενοι, 223
βιβλίον τῷ βασιλεῖ διεπέμψαντο· χάριν ἔχειν τῷ Θεῷ ὁμολογοῦντες, ὅτι αὐτὸν προεστήσατο τῆς Ῥωμαίων
4 ἀρχῆς. Ἐζήτουν δὲ ἢ τὰ ἐν Ἀριμίνῳ πεπραγμένα καὶ Σελευκείᾳ κύρια μένειν, καὶ τὰ σπουδῇ καὶ δυνάμει τινῶν γενόμενα ἀργεῖν· ἢ τοῦ σχίσματος[x] τοῦ πρὸ τῶν συνόδων ταῖς ἐκκλησίαις μένοντος, συγχωρηθῆναι τοὺς πανταχῇ[y] ἐπισκόπους, αὐτοὺς καθ' ἑαυτοὺς ὅποι βούλονται συνελθεῖν, μηδενὸς ἄλλου κοινωνοῦντος· μὴ προχωρεῖν δὲ κατὰ σκοπὸν τὰ ἐπιχειρούμενα τοῖς ἐν μέρει τι βουλομένοις πράττειν ἢ
5 ἀπατᾷν[z], ὡς ἐπὶ Κωνσταντίου τοῦ βασιλέως. Ἐδήλουν δὲ μὴ παραγενέσθαι σφᾶς εἰς τὸ στρατόπεδον, ὥστε μὴ ὀχληροὺς εἶναι δοκεῖν· εἰ δὲ ἐπιτραπείεν,

[x] In cod. Fuk. et apud Niceph. σχίσματος, longe rectius, ni fallor. VALESIUS. Vid. Annott. Ita B. σχήματος Steph. Genev.

[y] Ita B. Christ. Vales. πάντων Steph. Genev. πανταχοῦ Curt. Scal.

[z] Ita B. Niceph. ἀπαντᾷν Steph. Genev. ἐξαπατᾷν Christ. Scal. Vales.

Ancyræ, Silvanus Tarsi, Sophronius Pompeiopolis episcopi, aliique ejusdem cum ipsis sententiæ, qui Anomœanorum quidem doctrinam aversabantur, similem vero substantia pro consubstantiali admiserant, libellum ad imperatorem miserunt, quo testabantur, gratias quidem se Deo agere, quod ipsum Romano imperio præfecisset. Postulabant autem ut vel ea quæ Arimini et Seleuciæ gesta erant, rata permanerent; ea vero quæ studio ac potentia quorundam acta fuerant, irrita essent: vel manente priore dissidio, quod ante illas synodos in ecclesiis fuerat; omnibus ubique episcopis quocumque vellent loco, in unum convenire liceret, nemine alio in consessum admisso. Utque consilia eorum qui seorsum quidpiam agere, et alios decipere vellent, quemadmodum imperatoris Constantii temporibus acciderat, nequaquam ad exitum perduci sinerentur. Significarunt præterea, se ad comitatum non venisse, ne molesti esse viderentur. Si vero venire juberentur, se suo sumptu ac propriis jumentis id cupide facturos. Atque isti

ἀσμένως τοῦτο ποιήσειν, ὑποζυγίοις ἰδίοις καὶ δαπάνῃ[a]
χρωμένους. Καὶ οἱ μὲν τοιάδε Ἰοβιανῷ τῷ βασιλεῖ
6 *ἔγραψαν. Ἐν τούτῳ δὲ συνόδου γενομένης ἐν Ἀντιο-*
χείᾳ τῆς Συρίας, βεβαιοῦται τῶν ἐν Νικαίᾳ συνεληλυθότων ἡ πίστις, καὶ κρατεῖ, ὥστε ἀναμφηρίτως τὸν Υἱὸν τῷ Πατρὶ δοξάζειν ὁμοούσιον. Ἐκοινώνησαν δὲ ταύτης τῆς συνόδου Μελέτιος, ὃς τότε αὐτῆς[b] *τῆς Ἀντιοχείας τὴν ἐκκλησίαν ἐπετρόπευε, καὶ Εὐσέβιος ὁ Σαμοσάτων, καὶ Πελάγιος ὁ Λαοδικείας τῆς Σύρων, καὶ Ἀκάκιος ὁ Καισαρείας τῆς Παλαιστίνης, καὶ Εἰ-*
7 *ρηνίων ὁ Γαζαῖος, καὶ Ἀθανάσιος ὁ Ἀγκύρας. Ταῦτα*
δὲ πράξαντες, ἐδήλωσαν τῷ βασιλεῖ τὰ δόξαντα, γράψαντες ὧδε.

Τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ ἡμῶν δεσπότῃ[c] *Ἰοβιανῷ, νικητῇ Αὐγούστῳ, ἡ τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων*[d] *ἐπισκόπων ἐκ διαφόρων ἐπαρχιῶν σύνοδος.*

Τὴν ἐκκλησιαστικὴν εἰρήνην τε καὶ ὁμόνοιαν, ὅτι σοῦ

[a] Hunc locum correxi ex cod. Fuk., in quo *καὶ δαπάνῃ*. Apud Niceph. *δαπάναις*, quod est elegantius. VALESIUS. *καὶ πάνυ χρωμένους* Steph. Genev.

[b] Scribendum puto *τότε αὖθις*. Nam Meletius tunc Antiochenam sedem de integro recuperaverat. VALESIUS.

[c] *δεσπότῃ ἡμῶν* Socrat.

[d] *συνελθόντων ἐπισκ.* Socrat.

quidem hæc ad Jovianum imperatorem scripsere. Per idem tempus, cum synodus Antiochiæ in Syria esset congregata, fides eorum qui Nicææ olim convenerant confirmata est: statutumque ut sine controversia Filius Patri consubstantialis ab omnibus crederetur. Interfuerunt huic synodo, Meletius qui ecclesiæ Antiochenæ tunc denuo præsidebat, et Eusebius Samosatensis episcopus, et Pelagius Laodiceæ quæ est in Syria: Acacius item Cæsareæ Palæstinæ, et Irenio Gazæ episcopus: Athanasius denique Ancyræ. Qui cum ea quæ dixi gessissent, decreta sua imperatori per has literas significarunt.

Religiosissimo Deoque carissimo domino nostro Joviano, Victori Augusto, synodus episcoporum qui ex diversis provinciis congregati sunt Antiochiæ.

Quod ecclesiasticam pacem atque concordiam tua primum pie-

καὶ πρώτη[e] πρεσβεύειν ἐσπούδακεν ἡ εὐσέβεια, εὖ ἴσμεν καὶ αὐτοὶ, θεοφιλέστατε βασιλεῦ. Ὅτι δὲ κεφάλαιον τῆς τοιαύτης ἑνότητος, τῆς ἀληθοῦς καὶ ὀρθοδόξου πίστεως καλῶς ὑπείληφας τὸν χαρακτῆρα, οὐδὲ τοῦτο ἀγνοοῦμεν.
8 Ἵνα τοίνυν μὴ[f] μετὰ τῶν παραχαρασσόντων τὰ δόγματα[g] τῆς ἀληθείας τετάχθαι νομιζώμεθα, ἀναφέρομεν τῇ σῇ εὐλαβείᾳ, ὅτι τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ πάλαι πρότερον συγκροτηθείσης τὴν πίστιν, καὶ ἀποδεχόμεθα, 224
9 καὶ κατέχομεν. Ὁπότε καὶ τὸ δοκοῦν ἐν αὐτῇ τισὶ ξένον[h] ὄνομα, τὸ τοῦ ὁμοουσίου φαμὲν, ἀσφαλοῦς τετύχηκε παρὰ τοῖς πατράσιν ἑρμηνείας, σημαινούσης ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ὁ Υἱὸς ἐγεννήθη, καὶ ὅτι ὅμοιος κατ' οὐσίαν τῷ Πατρί· οὔτε δὲ ὡς πάθους τινὸς περὶ τὴν ἄρρητον γέννησιν ἐπινοουμένου, οὔτε κατά τινα χρῆσιν Ἑλληνικὴν λαμβάνεται τὸ ὄνομα[i] τῆς οὐσίας· εἰς ἀνατροπὴν δὲ τοῦ ἐξ

[e] Sic legitur etiam apud Socratem et Nicephorum. Malim tamen scribere ὅτι σὴ καὶ πρώτου. Epiphanius Scholasticus legisse videtur πρῶτον. Sic enim vertit, *Quod ecclesiasticam pacem atque concordiam tua primum studuerit pietas celebrare &c.* Qui sensus non displicet. Gratulantur enim episcopi Joviano imperatori, quod ecclesiæ pacem restituere prius studuerit quam reipublicæ Romanæ. VALESIUS. At vero aliter hæc intelligi possunt: scilicet, gratulabantur imperatori quia ipse primus ante alios omnes, puta episcopos et clerum, paci ecclesiæ consuluerat. Obiter notare velim, me in editione Socratis, ad iii. 25, 11, perperam citasse hanc Valesii notam tanquam Gallandii: cum revera Gallandius ex hoc loco eam exscripserit.

[f] μὴ τοίνυν Socrat.

[g] τὸ δόγμα Socrat.

[h] ξένον om. Socrat.

[i] τοῖς πατράσι τὸ ὄνομα Socrat.

tas conciliare studuerit, ipsi quoque probe novimus, carissime Deo imperator. Quod vero formam rectæ atque orthodoxæ fidei, caput esse hujus unitatis recte censueris, istud etiam non ignoramus. Quamobrem ne nos ex numero illorum qui veritatis doctrinam adulterant, esse videamur, religioni tuæ significamus, nos fidem eorum qui Nicææ olim congregati sunt, et probare et retinere. Etenim vocabulum in ea synodo positum, quod quibusdam novum atque insolens videtur, consubstantialis videlicet, id cautissimam interpretationem a patribus accepit; ut scilicet Filius ex substantia Patris genitus, et quoad substantiam Patri similis esse intelligatur. Non quo perpessio quædam in illa inenarrabili generatione cogitetur, aut nomen substantiæ juxta Gentilium usum et consue-

οὐκ ὄντων περὶ τοῦ Υἱοῦ[j] ἀσεβῶς τολμηθέντος Ἀρείῳ[k].
10 Ὅπερ καὶ[l] οἱ νῦν ἐπιφοιτήσαντες ἀνόμοιοι, ἔτι θρασύτερον καὶ τολμηρότερον, ἐπὶ λύμῃ τῆς ἐκκλησιαστικῆς ὁμονοίας ἀναισχύντως παρρησιάζονται. Συνετάξαμεν[m] δὲ τῇδε ἡμῶν τῇ ἀναφορᾷ καὶ τὸ ἀντίγραφον τῆς αὐτῆς[n] πίστεως, τῆς ἐν Νικαίᾳ ὑπὸ τῶν συγκροτηθέντων ἐπισκόπων τεθείσης[o], ἥντινα καὶ ἀγαπῶμεν.

11 Καὶ τὰ μὲν ὧδε ἐψηφίσαντο οἱ τότε τῇ Ἀντιοχείᾳ ἐνδημοῦντες ἱερεῖς, αὐτοῖς ῥητοῖς τὴν παρὰ τῶν ἐν Νικαίᾳ συνελθόντων ἐκτεθεῖσαν πίστιν, τῇ ἰδίᾳ γραφῇ ὑποτάξαντες.

ΚΕΦ. Ε΄.

Περὶ τοῦ μεγάλου Ἀθανασίου, ὡς διαφερόντως ἠγαπήθη τῷ βασιλεῖ, καὶ τῶν ἐν Αἰγύπτῳ ἐκκλησιῶν ἐκράτησε· καὶ περὶ τοῦ ὁράματος τοῦ μεγάλου Ἀντωνίου.

1 Ἐν τούτῳ δὲ καὶ Ἀθανάσιος ὁ τὸν Ἀλεξανδρέων θρόνον ἐπιτροπεύων, ὀλίγοις τῶν ἐπιτηδείων κοινωνησάμενος[p], ἀναγκαῖον ᾠήθη τὸν βασιλέα Χριστιανὸν

[j] τοῦ Χριστοῦ Socrat.
[k] παρὰ τοῦ Ἀρείου Socrat.
[l] ὥσπερ καὶ B. Steph. Genev. corr. Christ. Scal. Vales.
[m] διὸ συνετάξαμεν Socrat.
[n] αὐτῆς om. Socrat.
[o] ἐκτεθείσης Socrat.
[p] Ita C. κοινωσάμενος ceteri.

tudinem accipiatur: sed ut evertatur id quod Arius ausus erat asserere, Filium ex nihilo extitisse. Quod quidem et isti qui nuper exorti sunt Anomœi, multo audacius atque impudentius ad perniciem ecclesiasticæ concordiæ palam prædicant. Huic autem relationi nostræ adjecimus etiam exemplum fidei illius, quæ ab iisdem episcopis Nicææ congregatis exposita est, quam et nos suscipimus ac probamus. Et hæc quidem decreverunt episcopi qui eo tempore Antiochiæ morabantur, fidem ab episcopis olim Nicææ congregatis expositam, iisdem verbis quibus scripta fuerat, epistolæ suæ subjicientes.

CAPUT V.

De magno Athanasio, quomodo imperatori carissimus fuerit, et ecclesias Ægypti obtinuerit: et de visione magni Antonii.

Interea vero Athanasius episcopus Alexandriæ, communicato cum paucis familiaribus suis consilio, imperatorem qui Christianus

ὄντα ἰδεῖν· καὶ παραγενόμενος εἰς Ἀντιόχειαν, περὶ ὧν ἐδεῖτο τὸν κρατοῦντα διδάσκει. Οἱ δὲ φασὶν, ὅτι αὐτὸς[q] ὁ βασιλεὺς τὸν ἄνδρα μετεκαλέσατο, τὰ πρακτέα περὶ τὴν θρησκείαν καὶ τὴν ὀρθὴν δόξαν
2 εἰσηγησόμενον. Διαθείς τε τὰ τῆς ἐκκλησίας, ὡς οἷόν τε ἦν, ἐφρόντιζε τῆς ἐπανόδου. Εὐζώϊος δὲ ὁ ἐν Ἀντιοχείᾳ ἐπίσκοπος τῆς Ἀρειανικῆς αἱρέσεως, ἐσπούδαζε προεστάναι τῆς αὐτῆς δόξης ἐν Ἀλεξανδρείᾳ Προβάτιον εὐνοῦχον· εἰσηγησαμένων τε τοῦτο τῶν ἀμφὶ τὸν Εὐζώϊον, Λούκιός τις Ἀλεξανδρεὺς τὸ γένος, πρεσβύτερος τῶν παρὰ Γεωργίου χειροτονηθέντων,
3 πρόσεισι τῷ βασιλεῖ. Καὶ βλασφημήσας Ἀθανάσιον ὡς ἐν τῷ χρόνῳ τῆς ἐπισκοπῆς ἀεὶ γραφὰς ὑπομείναντα, καὶ πολλάκις ὑπερορίαν οἰκεῖν καταδικασθέντα παρὰ τῶν πρὸ αὐτοῦ βασιλέων, διχονοίας τε περὶ τὸ θεῖον καὶ ταραχῆς αἴτιον γενόμενον, ἐδεῖτο ἕτερον ἀντ' αὐτοῦ τὴν Ἀλεξανδρέων ἐκκλησίαν ἐπι- 225
4 σκοπεῖν. Ὁ δὲ βασιλεὺς, ᾔδει γὰρ τὰς Ἀθανασίῳ τότε συμβάσας ἐπιβουλὰς, οὐκ ἔθετο ταῖς κατ' αὐτοῦ

[q] ὡς αὐτὸς C.

erat, necessario sibi visendum esse existimavit. Itaque cum venisset Antiochiam, ea quæ postulabat, imperatori exposuit. Alii dicunt, illum ab imperatore evocatum fuisse, ut quæ circa religionem et rectæ fidei doctrinam agenda essent, suggereret. Qui cum ecclesiastica negotia quoad ejus fieri potuit constituisset, de reditu cœpit cogitare. At Euzoïus, qui Arianæ sectæ apud Antiochiam præsidebat, omni studio perficere conabatur, ut Probatius eunuchus eidem sectæ præesset in urbe Alexandria. Cumque id ab Euzoïo suggestum fuisset, Lucius quidam genere Alexandrinus, unus ex presbyteris qui a Georgio fuerant ordinati, imperatorem adiit. Et Athanasium maledictis incessens, utpote qui toto episcopatus sui tempore, variis de causis accusatus fuisset, et a superioribus principibus sæpius damnatus esset exsilio; dissensionis denique in religione ac tumultus auctor exstitisset, postulavit ut alter Alexandrinæ ecclesiæ episcopus in ejus locum subrogaretur. Verum imperator, quippe qui probe nosset insidias quæ tunc fue-

διαβολαῖς· ἀλλὰ Λούκιον μὲν σὺν ἀπειλῇ ἡσυχίαν
ἄγειν ἐπιτάττει· Προβάτιον δὲ, καὶ τοὺς ἀμφ' αὐτὸν
εὐνούχους, ὡς αἰτίους τῶν τοιούτων θορύβων, σωφρο-
νισθῆναι προσέταξε· τὸν δὲ Ἀθανάσιον ἐκ τῆς τότε
συνουσίας τὰ μάλιστα φίλον αὐτῷ γενόμενον, ἀπέ-
στειλεν εἰς Αἴγυπτον, ᾗ ἄριστα αὐτῷ δοκοίη τὰς ἐκ-
κλησίας καὶ τοὺς λαοὺς ἄγειν κελεύσας. Λέγεται γὰρ
εἰς ἄγαν αὐτὸν ἧς εἶχεν ἀρετῆς ἐπαινέσαι, βίου τε
5 ἕνεκα καὶ φρονήσεως, καὶ λόγων. Ὧδε μὲν τῶν ἐν
Νικαίᾳ συνεληλυθότων ἡ πίστις, τὸν ἐν μέσῳ χρόνον
πολεμηθεῖσα, ὡς ἐν τοῖς πρόσθεν εἴρηται, αὖθις ἐπὶ
τῆς παρούσης ἡγεμονίας ὑπερέσχεν. Οὐκ εἰς μακρὰν
δὲ τῆς ὁμοίας ἔμελλε πειρᾶσθαι ταραχῆς. Ὡς ἔοικε
γὰρ, οὐκ ἐπὶ μόνοις τοῖς ἐπὶ Κωνσταντίου τῇ ἐκκλη-
σίᾳ συμβᾶσι, πέρας εἶχεν ἡ τοῦ Ἀντωνίου τοῦ μονα-
χοῦ πρόρρησις· ἀλλ' ἐλείπετο ἔτι καὶ τὰ μετὰ ταῦτα,
6 ἐπὶ Οὐάλεντος γενόμενα. Λέγεται γὰρ πρὶν κρατῆσαι
τῶν ἐκκλησιῶν τοὺς ἀπὸ τῆς Ἀρείου αἱρέσεως, ἐπὶ
τῆς Κωνσταντίου[r] βασιλείας ὄναρ ἰδεῖν Ἀντώνιον,

[r] Κωνσταντίνου C. male: conf. ταῦτα εἶδεν ὁ γέρων, καὶ μετὰ δύο ἔτη γέγονεν ἡ νῦν ἔφοδος τῶν Ἀρειανῶν, Athan. Vit. Anton. p. 857.

rant Athanasio comparatæ, prolatis in eum calumniis haud quaquam assensus est. Sed Lucio quidem interminatus, præcepit ut quiesceret. Probatium vero et reliquos eunuchos palatii sui, hujusmodi tumultuum auctores, castigari jussit. Athanasium autem, quem congressus iste carissimum ipsi reddiderat, in Ægyptum remisit; ecclesias et populos, sicut ipsi optimum factu videretur, regere permittens. Etenim eum virum magnopere laudasse dicitur, tum ob virtutem quæ in illo inerat, tum ob vitæ integritatem, et prudentiam atque doctrinam. Hunc in modum fides episcoporum qui Nicææ olim fuerant congregati, cum aliquanto tempore, uti supra diximus, oppugnata fuisset, sub hoc imperatore iterum superior fuit. Verum paulo post non dissimilem expertura erat perturbationem. Etenim Antonii monachi prædictio, non in iis solum quæ Constantii principatu ecclesiis contigerant, finem accepit; sed supererant adhuc ea quæ Valentis temporibus gesta

ἡμιόνους τὸ θυσιαστήριον λακτίζοντας[s], καὶ τὴν ἱερὰν τράπεζαν ἀνατρέποντας· καὶ αὐτίκα προειπεῖν, ὡς ὑπὸ νόθων καὶ ἐπιμίκτων δογμάτων καταλήψεται τὴν ἐκκλησίαν ταραχὴ, καὶ ἑτεροδόξων ἐπανάστασις. Ἀλλὰ ταῦτα μὲν ἀψευδῶς τεθεάσθαι τε καὶ εἰρῆσθαι, ἀπέδειξε τὰ πρὸ τοῦ καὶ μετὰ ταῦτα γεγενημένα.

ΚΕΦ. ϛʹ.

Θάνατος Ἰοβιανοῦ, καὶ περὶ τοῦ βίου καὶ τῆς εἰς Θεὸν παρρησίας Οὐαλεντινιανοῦ· καὶ ὅπως εἰς βασιλείαν προεβλήθη, καὶ τὸν ἀδελφὸν Οὐάλεντα συμβασιλεύειν αὐτῷ εἵλετο· καὶ περὶ τῆς διαφορᾶς ἀμφοτέρων.

1 Ὁ δὲ Ἰοβιανὸς ἀμφὶ ὀκτὼ μῆνας ἐν τῇ βασιλείᾳ διαγενόμενος, ἀπιὼν ἐπὶ τὴν Κωνσταντινούπολιν, ἐξαπίνης ἐν Δαδαστάνοις[t] χωρίῳ τῆς Βιθυνίας καθ' ὁδὸν ἐτελεύτησεν· ἢ ἀφειδέστερον, ὥς τινες λέγουσι, δειπνήσας· ἢ ὑπὸ τῆς ὀδμῆς τοῦ οἰκήματος ἐν ᾧ ἐκάθευδεν, ἀσβέστῳ προσφάτως ἐγχρισθέντος[u]· ἐπι-

[s] λακτιζούσας, et ἀνατρεπούσας B. C. Christ. Scal. textum tuetur Athan. p. 857.

[t] Δαδαστίνοις C.

[u] χρισθέντος B.

sunt. Ferunt enim, regnante Constantio, priusquam Ariani ecclesias obtinerent, Antonium in somnis vidisse multos altari insultantes, et sacram mensam evertentes: statimque prædixisse futurum ut ex adulterinis mixtisque dogmatibus perturbatio ecclesiam occuparet, et hæretici rebellionem excitarent. Sed hæc quidem verissime ab illo visa et prædicta fuisse, ex iis rebus quæ ante hoc tempus, et quæ postea factæ sunt, satis declaratum est.

CAPUT VI.

Mors imperatoris Joviani: et de vita Valentiniani, ejusque forti animo in pietate servanda: et quo modo ad imperium evectus sit, et Valentem fratrem ad imperii consortium adsciverit: et de utriusque morum dissimilitudine.

Porro Jovianus, octo circiter mensibus imperio perfunctus, dum Constantinopolim proficisceretur, Dadastanis, qui vicus est Bithyniæ in via militari situs, repentina morte interiit. Sive quod intemperantius, ut quidam aiunt, cœnaverat; seu præ odore cubiculi in quo decumbebat, recens calce illiti. Multis enim carbonibus,

γενέσθαι γὰρ ἰκμάδα, καὶ νοτισθῆναι τοὺς τοίχους
ἀμέτρως, πολλῶν ἀνθράκων αὐτόθι καιομένων, ὡς ἐν
2 ὥρᾳ χειμῶνος διὰ τὴν ἀλέαν. Ἐπεὶ δὲ εἰς Νίκαιαν
τῆς Βιθυνίας ἀφίκετο ἡ στρατιὰ[x], ἀναγορεύουσι βα-
σιλέα Οὐαλεντινιανὸν, ἄνδρα ἀγαθὸν καὶ τῆς ἡγεμο- 226
3 νίας ἄξιον. Ἔτυχε δὲ τότε παρὼν ἀπὸ τῆς ὑπερορίας
φυγῆς. Λέγεται γὰρ, ὡς ἡνίκα Ἰουλιανὸς ἐκράτει
Ῥωμαίων, συνταγματάρχην αὐτὸν ὄντα τοῦ κατα-
λόγου τῶν καλουμένων Ἰοβιανῶν, τῆς στρατείας ἀπε-
ώσατο, καὶ ἀϊδίῳ φυγῇ ἐζημίωσε. Πρόφασιν μὲν ὡς
οὐ δεόντως ἔταξε τοὺς ὑπ' αὐτὸν στρατιώτας πρὸς
4 τοὺς πολεμίους· τὸ δ' ἀληθὲς, ἐντεῦθεν. Ἔτι διάγων
Ἰουλιανὸς ἐν τοῖς πρὸς δύσιν Γαλάταις, ἧκεν εἴς τινα
ναὸν θύσων· συνῆν δὲ αὐτῷ καὶ Οὐαλεντινιανός· ἔθος
γὰρ παλαιὸν Ῥωμαίοις τὸν ἡγούμενον τῶν Ἰοβιανῶν
καὶ Ἑρκουλιανῶν, τάγματα δὲ ταῦτα τῶν ἐν λόγῳ
στρατιωτῶν, τὸ μὲν ἀφ' Ἡρακλέους, τὸ δὲ ἀπὸ Διὸς
λαχόντα τὴν προσηγορίαν, κατὰ νώτου ἐγγὺς[y] ἀεὶ
5 φύλακας ἕπεσθαι τῷ βασιλεῖ. Ἐπεὶ δὲ ἔμελλεν ὑπερ-

[x] στρατεία B.
[y] ἐγγὺς om. B. Steph. inseruit Christ. Scal. Vales.

utpote hiberno tempore, teporis gratia ibi accensis, vapor excitatus, et parietes supra modum madefacti fuerant. Exercitus vero, cum Nicæam Bithyniæ venisset, Valentinianum imperatorem renuntiavit, virum optimum et imperio dignissimum. Is enim tunc aderat, ab exsilio reversus. Nam Julianus, cum summam imperii obtineret, illum tunc tribunum legionis Jovianorum, militia exuerat, et perpetuo exsilio damnaverat: specie quidem, quod milites suos prœlium cum hoste inituros non recte ordinaverat: revera autem, ob hujusmodi causam. Cum Julianus adhuc in Galliis moraretur, sacrificandi causa templum quoddam ingressus est. Comitabatur illum inter cæteros Valentinianus. Vetus enim mos erat apud Romanos, ut tribuni Jovianorum et Herculianorum: hi sunt numeri in exercitu Romano nobilissimi, quorum alter a Jove, alter ab Hercule nomen accepit: imperatorem semper a tergo præsidii causa proxime sequerentur. Cumque limen templi trans-

αμείβειν τοῦ ναοῦ τὸν οὐδὸν, θαλλούς τινας διαβρό-
χους κατέχων ὁ ἱερεὺς, νόμῳ Ἑλληνικῷ περιέρραινε
τοὺς εἰσιόντας· ἐκπεσούσης δὲ σταγόνος ἐπὶ τὴν
αὐτοῦ ἐσθῆτα, χαλεπῶς ἤνεγκεν Οὐαλεντινιανός· ἦν
γὰρ Χριστιανός· καὶ τῷ ῥαίνοντι ἐλοιδορήσατο· φασὶ
δὲ καὶ τοῦ βασιλέως ὁρῶντος, αὐτίκα περιτεμεῖν καὶ
ἀπορρίψαι σὺν αὐτῇ τῇ ψεκάδι, ὅσον ἐβράχη τῆς
6 ἐσθῆτος. Τὸ δὲ ἐξ ἐκείνου μηνιῶν ὁ Ἰουλιανὸς, οὐ
πολλῷ ὕστερον κατεδίκασεν αὐτὸν τὴν Μελιτινὴν τῆς
Ἀρμενίας διηνεκῶς οἰκεῖν, αἰτίαν σκηψάμενος τὴν
περὶ τοὺς ὑπ᾽ αὐτὸν στρατιώτας ῥαστώνην· οὐ γὰρ
ἐβούλετο δόξαι, διὰ τὴν θρησκείαν κακῶς αὐτὸν ποι-
εῖν, ἵνα μὴ μάρτυρος ἢ ὁμολογητοῦ γερῶν ἀξιωθείη·
καθότι ταύτης ἕνεκα τῆς αἰτίας, καὶ τῶν ἄλλων ἐφ-
είσατο Χριστιανῶν, ὁρῶν αὐτοὺς εὔκλειαν, καὶ σύ-
στασιν τοῦ δόγματος τοῖς κινδύνοις ποριζομένους, ὡς
7 ἐν τοῖς πρόσθεν εἴρηται. Ἐπεὶ δὲ ὁ Ἰοβιανὸς ἐπε-
τράπη τὴν Ῥωμαίων ἡγεμονίαν, μετακληθεὶς ἀπὸ τῆς
φυγῆς εἰς Νίκαιαν, συμβὰν ἐκεῖνον τελευτῆσαι, βου-
λευσαμένων τοῦ στρατοπέδου καὶ τῶν τότε τὰς μεγά-

gressurus esset, sacerdos verbenas aqua tinctas manu gestans, Gentilium more ingredientes conspersit. Et cum gutta in vestem Valentiniani decidisset, ille, utpote Christianus, rem moleste tulit, et sacerdoti qui ipsum asperserat conviciatus est. Aiunt etiam illum, imperatore ipso spectante, eam vestis partem quæ aspersa fuerat, abscidisse, ac simul cum ipsa aspergine projecisse. Ex illo tempore Julianus infensus Valentiniano, haud multo post eum perpetuo exsilio damnatum, Melitinam Armeniæ relegavit: criminis loco objiciens, quod milites suos negligentius instituisset. Nolebat enim videri, eum religionis causa male mulctasse, ne ille martyris aut confessoris honore afficeretur. Nam et ob eam causam aliis Christianis pepercit, cum videret eos gloriam sibi ipsis, et commendationem religionis suæ ex hujusmodi periculis reportare, sicut in superiore libro observavi. Postea vero Joviano ad imperium evecto, ab exsilio revocatus Nicæam venit. Cumque Jovianum mori contigisset, exercitu Romano et iis qui præcipuas dignitates

λας ἀρχὰς ἐχόντων, ψήφῳ πάντων αἱρεῖται βασιλεύειν
8 Οὐαλεντινιανός. Ὡς δὲ τὰ σύμβολα τῆς ἀρχῆς ἐδέ-
ξατο, κεκραγότων τῶν στρατιωτῶν[y] κοινωνὸν αὐτῷ
τῆς βασιλείας ἕτερον ποιήσασθαι, Τὸ μὲν ἑλέσθαι μὲ,
φησὶν, ἄρχειν ὑμῶν, ὦ ἄνδρες στρατιῶται, ἐν ὑμῖν ἦν·
ἐπεὶ δὲ εἵλεσθε, ὃν[z] νῦν αἰτεῖτε οὐκ ἐν ὑμῖν ἀλλ' ἐν
ἐμοί· καὶ χρὴ τοὺς μὲν ἀρχομένους ὑμᾶς ἡσυχίαν
9 ἄγειν· ἐμὲ δὲ ὡς βασιλέα, τὰ πρακτέα σκοπεῖν. Καὶ
τότε μὲν ταῦτα προσφωνήσας, οὐκ εἶξε τοῖς στρατιώ-
ταις· μετ' οὐ πολὺ δὲ παραγενόμενος εἰς Κωνσταν-
τινούπολιν, ἀνεκήρυξε βασιλέα τὸν ἀδελφόν· καὶ τῆς
ὑπηκόου τὰ μὲν πρὸς ἥλιον ἀνίσχοντα, παρέδωκεν
αὐτῷ, τὰ δὲ ἀπὸ Ἰλλυριῶν ἐπὶ τὸν ἑσπέριον ὠκεα- 227
νὸν, καὶ πᾶσαν τὴν ἀντικρὺ ἤπειρον μέχρις ἐσχάτων
10 Λιβύων, ὑφ' ἑαυτὸν ἔταξεν. Ἄμφω δὲ Χριστιανὼ
τὴν θρησκείαν ἐγενέσθην· διαφόρω δὲ τὴν δόξαν καὶ
τὸν τρόπον. Οὐάλης μὲν γὰρ, Εὐδοξίῳ τῷ ἐπισκόπῳ
μυσταγωγῷ χρησάμενος ἡνίκα ἐβαπτίσθη, τὴν Ἀρείου

[y] στρατιωτικῶν J. [z] [ὃ legendum esse videtur.]

gerebant consilium ineuntibus, omnium suffragio Valentinianus eligitur imperator. Qui cum insignia imperii suscepisset, vociferantibus militibus ut alterum sibi imperii consortem adjungeret: Vestri quidem, inquit, arbitrii fuit, commilitones, ut me imperatorem vestrum eligeretis. Sed posteaquam elegistis, id quod petitis, mei arbitrii est, non vestri. Et vos quidem tanquam subditos quiescere decet: me vero, utpote imperatorem, quid agendum sit, spectare. Hujusmodi responso dato, tum quidem militibus minime obtemperavit. Paulo post tamen Constantinopolim ingressus, fratrem imperatorem renuntiavit. Et partes quidem imperii quæ ad orientem spectant, ei regendas commisit. Quæ vero ab Illyrico ad Occidentalem oceanum porriguntur, omnemque e regione sitam continentem, usque ad ultimas Africæ gentes, sub ditione sua retinuit. Et ambo quidem religione fuerunt Christiani; secta tamen et moribus inter se discrepabant. Nam Valens tunc cum baptismum susciperet, ab Eudoxio institutus episcopo, Arii sententiam ardentissimo studio sectatus est: ac moleste ferebat, quod omnes ad sententiam suam per vim non cogeret. At

πίστιν ἐζήλου· καὶ δεινὸν ἡγεῖτο, μὴ βιάζεσθαι πάντας ὁμοδόξους αὐτῷ ποιεῖν[a]. Οὐαλεντινιανὸς δὲ, τὰ αὐτὰ φρονῶν τοῖς ἐν Νικαίᾳ συνελθοῦσι, τούτους μὲν ὠφέλει· τοῖς δὲ ἑτέρως δοξάζουσιν, οὐδὲν ἠνώχλει.

ΚΕΦ. Ζʹ.

Ὅτι καὶ πάλιν τὰ τῶν ἐκκλησιῶν ἀνεκινοῦντο· καὶ σύνοδος ἐν Λαμψάκῳ γίνεται· καὶ ὡς οἱ περὶ Εὐδόξιον Ἀρειανοὶ κρατοῦσι, καὶ τοὺς ὀρθὰ φρονοῦντας τῶν ἐκκλησιῶν ἀπελαύνουσιν, ἐν οἷς καὶ τὸν Ἀντιοχείας Μελέτιον.

1 Ἐπεὶ δὲ Κωνσταντινουπόλεως ἐξεδήμησεν ἐπὶ τὴν Ῥώμην διὰ Θρᾴκης πορευόμενος, τηνικαῦτα οἱ περὶ Ἑλλήσποντον καὶ Βιθυνίαν ἐπίσκοποι, καὶ ὅσοι ἄλλοι ὁμοούσιον[b] τῷ Πατρὶ τὸν Υἱὸν λέγειν ἠξίουν, προβάλλονται πρεσβεύειν ὑπὲρ αὐτῶν Ὑπατιανὸν τὸν Ἡρακλείας τῆς Περίνθου ἐπίσκοπον· ὥστε ἐπιτρα-
2 πῆναι συνελθεῖν ἐπὶ διορθώσει τοῦ δόγματος. Προσελθόντος δὲ αὐτοῦ, καὶ τὰ παρὰ τῶν ἐπισκόπων δι-

[a] Mendosum hoc videtur esse: legi posset πάντας ὁμοίως αὐτῷ φρονεῖν.

[b] Legendum est ὁμοιούσιον, ut cum sequentibus congruat: quanquam libri omnes et Cassiodorus atque Nicephorus ὁμοούσιον retineant. Vid. Annott.

Valentinianus Nicæni concilii fidem amplexus, iis quidem qui idem cum ipso sentirent favebat: eos vero qui diversam opinionem sequerentur, nulla affecit molestia.

CAPUT VII.

Quomodo ecclesiæ denuo perturbatæ sint, et synodus Lampsaci congregata est: et quomodo Ariani qui cum Eudoxio erant prævaluerint, et orthodoxos, inter quos fuit Meletius, ecclesiis expulerint.

Porro cum relicta Constantinopoli, Romam contendens per Thraciam iter faceret, episcopi Hellesponti ac Bithyniæ, et reliqui qui Filium Patri consubstantialem asserebant, Hypatianum Heracleæ Perinthi episcopum elegerunt: qui suscepta pro ipsis legatione peteret ab imperatore, ut ad corrigendam fidei doctrinam convenire permitterentur. Qui cum imperatorem adiisset, et episcopo-

δάξαντος, ὑπολαβὼν Οὐαλεντινιανὸς, Ἐμοὶ μὲν, ἔφη,
μετὰ λαοῦ τεταγμένῳ, οὐ θέμις τοιαῦτα πολυπραγμο-
νεῖν· οἱ δὲ ἱερεῖς οἷς τούτου μέλει, καθ' ἑαυτοὺς ὅπῃ
3 βούλονται συνίτωσαν. Τοιαῦτα δὲ τοῦ βασιλέως ἀπο-
κριναμένου πρὸς τὴν Ὑπατιανοῦ πρεσβείαν, συνιᾶσιν
εἰς Λάμψακον. Καὶ δύο μῆνας βουλευσάμενοι, τε-
λευτῶντες ἐψηφίσαντο, ἄκυρα[c] εἶναι τὰ ἐν Κωνσταν- 228
τινουπόλει πεπραγμένα σπουδῇ τῶν ἀμφὶ τὸν Εὐ-
4 δόξιον καὶ Ἀκάκιον. Ἀργεῖν δὲ καὶ τὴν ἔκθεσιν τῆς
πίστεως, ἣν ὡς[d] δυτικῶν ἐπισκόπων οὖσαν προκομί-
σαντες[e], ὑπογράψαι τινὰς παρεσκεύασαν, ἐπὶ ὑπο-
σχέσει ἀποκηρύξεως τοῦ ἀνομοίου κατ' οὐσίαν, ὃ
διεψεύσαντο· κρατεῖν δὲ τὸ ὅμοιον δοξάζειν[f] τὸν
Υἱὸν τῷ Πατρὶ κατ' οὐσίαν· εἶναι γὰρ τοῦ ὁμοίου
τὴν προσθήκην ἀναγκαίαν διὰ τὴν σημασίαν τῶν
5 ὑποστάσεων. Πίστιν δὲ πολιτεύεσθαι κατὰ πᾶσαν
ἐκκλησίαν, τὴν ἐν Σελευκείᾳ ὁμολογηθεῖσαν, ἐκτεθεῖ-
σαν δὲ ἐπὶ τῇ ἀφιερώσει τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας·

[c] Ita, correct. ex ἄκυρον, B., Christ. Niceph. ἄκυρον ceteri.

[d] ἣν καὶ δ. J. Scal.

[e] προσκομίσαντες C.

[f] ὅμοιον εἶναι τὸν B.

rum mandata ei exposuisset, Valentinianus ita respondit: Mihi quidem in laicorum ordine constituto, fas non est hujusmodi negotia curiosius scrutari. Sacerdotes vero quibus id curæ est, seorsum ubicumque voluerint conveniant. Hæc cum imperator ad Hypatiani legationem respondisset, episcopi Lampsacum conveniunt. Cumque per bimestre spatium inter se consultassent, tandem decreverunt, ut ea quæ Constantinopoli studio Eudoxii atque Acacii gesta fuerant, irrita essent. Et ut formula quidem fidei rejiceretur, quam velut ab Occidentalibus episcopis editam proferentes Eudoxiani, subscriptionibus quorundam firmari curaverant, polliciti se opinionem dissimilis substantiæ damnaturos: quod tamen minime præstiterunt. Ea vero sententia quæ Filium Patri similem prædicat secundum substantiam, prævaleret. Nam vocabulum, similis, necessario adjiciendum esse, ad significandam personarum differentiam. Utque in omnibus ecclesiis ea teneretur fides, quæ Seleuciæ quidem confirmata, Antiochiæ vero in dedi-

τοὺς δὲ καθαιρεθέντας παρὰ τῶν ἀνόμοιον τῷ Πατρὶ
τὸν Υἱὸν λεγόντων, τοὺς ἰδίους ἀπολαμβάνειν θρόνους,
6 ὡς παρανόμως ἐκβεβλημένους τῶν ἐκκλησιῶν. Εἰ δέ
τις αὐτῶν κατηγορεῖν βούλεται, ἐκ τοῦ ἴσου κινδύνου
τοῦτο ποιεῖν· δικαστὰς δὲ εἶναι τοὺς ὀρθῶς δοξά-
ζοντας ἐν τῷ ἔθνει[g] ἐπισκόπους, καὶ ἐκ τῶν πέλας
ἐπαρχιῶν, συνιόντας ἐν τῇ ἐκκλησίᾳ ἔνθα οἱ μάρτυ-
7 ρές εἰσι τῶν ἑκάστῳ βεβιωμένων. Ταῦτα ὁρίσαντες,
ἐπειδὴ τοὺς περὶ Εὐδόξιον κεκλήκασι, καὶ μετανοίας
αὐτοῖς μετέδωκαν, οἱ δὲ οὐχ ὑπήκουον, τὰ δόξαντα
8 ταῖς πανταχοῦ ἐκκλησίαις ἐδήλωσαν. Λογισάμενοι
δὲ ὡς εἰκὸς, Εὐδόξιον τῆς οἰκείας μερίδος ποιῆσαι[h] τὰ
βασίλεια, καὶ διαβαλεῖν αὐτοὺς, ἔγνωσαν φθάσαι, καὶ
τὰ πεπραγμένα ἐν Λαμψάκῳ μηνύσαι. Ὃ δὴ καὶ
ἐποίουν, ἐπανιόντι Οὐάλεντι τῷ βασιλεῖ ἐκ Θρᾴκης
ἐν Ἡρακλείᾳ περιτυχόντες· ἀποδημοῦντι γὰρ τῷ
ἀδελφῷ εἰς τὴν πρεσβυτέραν Ῥώμην, μέχρι τινὸς
9 συνῆλθεν. Εὐδοξίῳ δὲ τὰ πρὸς βασιλέα καὶ τοὺς

g ἔθνη B.

h ποιεῖσθαι cod. Fuk. quod magis placet. VALESIUS.

catione majoris ecclesiæ exposita fuerat. Præterea decreverunt, ut episcopi qui depositi fuerant ab iis qui dissimilem Patri Filium asserebant, sedes suas postliminio recuperarent, quippe qui ecclesiis suis injuste spoliati fuissent. Quod si quis eos accusare vellet, sub paris condemnationis periculo id ageret. Judices autem essent episcopi orthodoxi ipsius provinciæ, et ex vicinis provinciis congregati, in illa ecclesia, in qua præsto sint testes eorum quæ quisque gesserit. His decretis, Eudoxianos ad se vocarunt, et pœnitentiæ copiam eis fecerunt. Sed cum isti minime obtemperassent, episcopi decreta sua omnibus ubique ecclesiis per literas significarunt. Cum autem suspicarentur Eudoxium, ut erat verisimile, aulam principis ad partes suas traducturum, et ipsos calumniaturum esse; prævenire illum statuerunt, et ea quæ Lampsaci gesta erant indicare. Quod quidem etiam præstiterunt, Valentem imperatorem Heracleæ adeuntes, e Thracia tum revertentem. Fratrem enim Romam proficiscentem, aliquatenus comitatus fuerat. Verum Eudoxius imperatoris et aulicorum animos jam in senten-

ἀμφ' αὐτὸν ἤδη κατὰ γνώμην διῳκεῖτο[i]. Προσελθοῦσιν οὖν τοῖς ἐκ Λαμψάκου πρεσβευταῖς παρεκελεύσατο[k] μὴ[l] διαφέρεσθαι πρὸς Εὐδόξιον. Ἐπεὶ δὲ ἀντεῖπον, καὶ τὴν ἐν Κωνσταντινουπόλει γενομένην ἀπάτην, καὶ τὰ βεβουλευμένα κατὰ τῶν ἐν Σελευκείᾳ δεδογμένων Εὐδοξίῳ ἐμέμφοντο, κινηθεὶς πρὸς ὀργὴν, τοὺς μὲν ὑπερορίαν οἰκεῖν προσέταξε· τὰς δὲ ἐκκλησίας παραδίδοσθαι τοῖς ἀμφὶ τὸν Εὐδόξιον. Ἐν τούτῳ δὲ τὴν Συρίαν κατέλαβεν. Ὑφωρᾶτο γὰρ, μὴ πως οἱ Πέρσαι τὰς ἐπὶ Ἰοβιανοῦ γενομένας[m] τριακονταετεῖς σπονδὰς λύσωσι. Τῶν δὲ μηδὲν νεωτεριζόντων, ἐν Ἀντιοχείᾳ διέτριβεν· ἡνίκα δὴ Μελετίου μὲν τοῦ ἐπισκόπου ὑπερορίαν φυγὴν κατεδίκασε· Παυλίνου δὲ τὸν βίον αἰδεσθεὶς, ἐφείσατο· τοὺς δὲ Εὐζωΐῳ μὴ κοινωνοῦντας τῶν ἐκκλησιῶν ἀπήλαυνεν, εἰς χρήματά τε ἐζημίου καὶ ᾐκίζετο καὶ ἄλλως ἐπέτριβε.

[i] συνῳκεῖτο B. Steph. Genev. διῳκεῖτο tacite Vales.
[k] παρεκαλέσατο B. Steph. Genev. emendavit Christ. Scal. Vales.
[l] μὴ om. B.
[m] γενομένας om. B. Steph. Niceph. inser. Christ. Scal. Vales.

tiam suam pertraxerat. Itaque imperator legatos Lampsaceni concilii ipsum adeuntes hortatus est, ne ab Eudoxio dissiderent. Quibus contradicentibus, et fraudem Constantinopoli factam, initaque ab Eudoxio consilia adversus Seleucenæ synodi decreta objicientibus, imperator ira succensus, illos quidem abire in exsilium jussit: ecclesias vero Eudoxianis tradi. Post hæc imperator in Syriam perrexit. Verebatur enim, ne Persæ triginta annorum inducias, quas cum Joviano pacti fuerant, rumperent. Sed cum Persæ nihil novi moliti essent, Antiochiæ consedit. Quo quidem tempore Meletium episcopum exsilio damnavit. Paulino autem pepercit, vitæ illius sanctimoniam reveritus. Eos autem qui cum Euzoïo non communicarent, ecclesiis expulit, et partim pecuniis mulctavit, partim tormentis affecit, aut aliis modis vexavit.

ΚΕΦ. Η'. 229

Περὶ τῆς ἀποστασίας Προκοπίου, καὶ παραδόξου τελευτῆς· ἔτι δὲ καὶ περὶ Ἐλευσίου τοῦ Κυζίκου, καὶ Εὐνομίου τοῦ αἱρετικοῦ· καὶ ὅπως τὸν Ἐλεύσιον διεδέξατο.

1 Γέγονε δ' ἂν τότε, ὡς συμβαλεῖν ἐστὶ, καὶ τούτων
δεινότερα, εἰ μὴ ὁ κατὰ Προκόπιον ἐπέλαβε πόλεμος.
Τυραννήσας γὰρ ἐν Κωνσταντινουπόλει, καὶ πολλὴν
ἐν βραχεῖ χρόνῳ στρατιὰν ἀθροίσας, ἠπείγετο κατὰ
2 Οὐάλεντος. Ὁ δὲ, ἐκ τῆς Συρίας ἐλάσας, συμβάλλει
αὐτῷ περὶ Νακόλειαν τῆς Φρυγίας πόλιν· προδοσίᾳ
τε Ἀγέλωνος καὶ Γωμαρίου τῶν αὐτοῦ στρατηγῶν,
ζωγρήσας, αὐτόν τε καὶ τοὺς προδότας ἐλεεινῶς ἀν-
3 εῖλε. Τοὺς μὲν γὰρ λέγεται, καίπερ εὐνοεῖν αὐτοῖς
ὀμόσας, πρίοσι διχῇ διελεῖν. Προκοπίου δὲ δύο δέν-
δροις οὐκ ἀπὸ πολλοῦ διεστῶσι κατακαμφθεῖσι πρὸς
γῆν, ἑκάτερον[n] ἑκατέρῳ φυτῷ προσῆψε σκέλος, καὶ
ἀφῆκεν ἀνεγείρεσθαι· τὰ δὲ, πρὸς τὴν συνήθη στά-

[n] Hunc locum levi negotio sanavi hoc modo κατακαμφθεῖσι πρὸς γῆν, ἑκάτερον ἑκατέρῳ φυτῷ προσῆψε σκέλος. Nihil hac emendatione certius, quam ex parte confirmat Nicephorus. VALESIUS. πρὸς τὴν ἑκατέραν codd. et editt.

CAPUT VIII.

De Procopii defectione, et miserabili interitu. Item de Eleusio Cyziceno, deque Eunomio hæresiarcha: et quomodo is Eleusio successerit.

Ac profecto, ut conjicere licet, his graviora tunc temporis fuissent perpetrata, nisi bellum Procopii supervenisset. Nam cum iste tyrannidem arripuisset Constantinopoli, ac brevi temporis spatio maximas copias sibi comparasset, adversus Valentem contendit. Valens igitur e Syria digressus, juxta Nacoliam urbem Phrygiæ, cum Procopio manum conseruit. Quem Agilonis et Gomarii ducum ipsius proditione, vivum cum cepisset; et ipsum, et proditores ejus miserabili mortis genere interfecit. Hos enim, licet se illis bene velle jurejurando affirmasset, medios serra dissecuisse dicitur. Procopii vero crura, duabus arboribus haud procul a se invicem distantibus ad terram inflexis, alterum alteri arbori alligavit: ac rursus arbores in sublime erigi permisit. Quæ cum ad

4 σιν ἀνορθωθέντα, διέσπασε τὸν ἄνθρωπον. Ἐπεὶ δὲ
τέλος ἔσχεν ὁ πόλεμος, ἧκεν εἰς Νίκαιαν· ἐν ἡσυχίᾳ
τε γεγονὼς, αὖθις ἐτάραττε τοὺς οὐχ ὁμοίως αὐτῷ
περὶ τὸ θεῖον δοξάζοντας. Ὑπερφυῶς δὲ ἐχαλέπαινε
κατὰ τῶν ἐν Λαμψάκῳ συνελθόντων, καθότι καὶ τοὺς
τὰ Ἀρείου φρονοῦντας ἐπισκόπους, καὶ τὴν ἐν Ἀρι-
μίνῳ[n] περὶ τῆς πίστεως ἐκτεθεῖσαν γραφὴν ἀπεκή-
5 ρυξαν. Οὕτω δὲ ἔχων ὀργῆς, ἄγει ἐκ τῆς Κυζίκου
Ἐλεύσιον· καὶ ὁμοδόξων αὐτῷ ἐπισκόπων σύλλογον
καθίσας, ἐβιάζετο κοινωνεῖν αὐτοῖς τῆς πίστεως. Ὁ
δὲ, τὰ πρῶτα ἀνδρείως ἀντέτεινεν· ὑπερορίαν δὲ φυ-
γὴν καὶ τῆς οὐσίας ἀφαίρεσιν δείσας, ταῦτα γὰρ
6 ἠπείλει μὴ πειθομένῳ, τὸ προσταχθὲν ἐποίησε. Καὶ
εὐθὺς μετεμελεῖτο· ἐπανελθών τε εἰς Κύζικον, δημο-
σίᾳ τὴν ἁμαρτίαν ἐπὶ τῆς ἐκκλησίας ἐξήγγειλε[o], καὶ
ἕτερον ἐπίσκοπον χειροτονεῖν παρεκελεύετο· ἑαυτὸν
γὰρ ἱερᾶσθαι μὴ προσήκειν ἔτι, ὡς οἰκείου δόγματος
προδότην γενόμενον. Κυζικηνοὶ δὲ, αἰδοῖ τῆς τοῦ ἀν-
δρὸς πολιτείας εὔνοι τὰ μάλιστα αὐτῷ τυγχάνοντες,

[n] Ἀριμήνῳ B. [o] ἐξήγγελλε B.

naturalem stationem reverterentur, hominem discerpserunt. Confecto hoc bello Valens Nicæam venit. Cumque jam in quiete et otio degeret, eos qui non idem cum ipso de divinitate sentirent, turbare iterum aggressus est. Præcipue vero iis succensebat qui Lampsaci convenerant, eo quod episcopos qui Arii opinionem sequebantur, et formulam fidei quæ Arimini fuerat exposita, condemnassent. Hujusmodi ira succensus, Eleusium ab urbe Cyzico accersit. Et episcoporum Arianorum collecto concilio, invitum cogere eum cœpit, ut cum illis in doctrina fidei consentiret. At ille initio quidem restitit. Postea vero exsilium et proscriptionem bonorum reformidans: hæc enim imperator ei minabatur nisi paruisset; fecit quod imperabatur; statimque ipsum facti sui pœnituit. Et Cyzicum reversus, peccatum suum palam in ecclesia confessus est, hortatusque ut alterum suo loco episcopum ordinarent. Neque enim fas esse, ut ipse amplius sacerdotio fungeretur, quippe qui suæ fidei proditor exstitisset. Verum Cyziceni, cum

7 ἕτερον ἔχειν ἐπίσκοπον οὐχ εἵλοντο. Ἐπεὶ δὲ ταῦτα Εὐδόξιος ἔγνω ὁ ἐν Κωνσταντινουπόλει τῆς Ἀρείου δόξης προεστὼς, χειροτονεῖ Εὐνόμιον τῆς Κυζίκου ἐπίσκοπον· ᾤετο γὰρ αὐτὸν δεινὸν ὄντα λέγειν, τινὶ πειθοῖ[p] ῥᾳδίως πρὸς τὸ οἰκεῖον δόγμα τοὺς Κυζικη-
8 νοὺς ἐφελκύσασθαι. Ὡς δὲ εἰς Κύζικον παρεγένετο προστάγματι βασιλέως, Ἐλευσίου ἐξελαθέντος[q], τὰς ἐνθάδε ἐκκλησίας κατέσχεν. Οἱ δὲ Ἐλευσίῳ πειθό- 230
μενοι, εὐκτήριον οἶκον ἔξω κατασκευάσαντες, πρὸ τῆς πόλεως ἐκκλησίαζον. Εὐνομίου μὲν οὖν πέρι, καὶ τῆς ὁμωνύμου τούτων αἱρέσεως, μικρὸν ὕστερον ἐρῶ.

ΚΕΦ. Θ'.

Ὅτι κακῶς τότε ἔπασχον οἱ τὴν ἐν Νικαίᾳ πίστιν πρεσβεύοντες· καὶ περὶ Ἀγελίου τοῦ τῶν Ναυατιανῶν ἀρχομένου.

1 Παραπλησίων δὲ κακῶν ἐπειρῶντο οἱ ἐν Κωνσταντινουπόλει πρεσβεύοντες τὸ δόγμα τῶν ἐν Νικαίᾳ

p πειθοῖ τινὶ δαιμονίᾳ Nicephorus, ut scilicet phrasis esset elegantior. VALESIUS.

q Rectius Niceph. ἐξελαθέντος. Quod confirmat cod. Fuk. ἐξηλαθέντος. Ceterum libenter hujus loci distinctionem mutaverim in hunc modum: ὡς δὲ εἰς Κύζικον παρεγένετο, προστάγματι τοῦ βασιλέως Ἐλευσίου ἐξελαθέντος: quam distinctionem confirmat Nicephorus. VALESIUS. ἐξελαθέντος B. ἐξελθόντος editt.

ob vitæ ejus integritatem singulari eum observantia ac benevolentia prosequerentur, alterum episcopum habere noluerunt. Quæ cum Eudoxius comperisset, qui Arianorum sectæ præerat Constantinopoli, Eunomium Cyzici episcopum ordinavit. Hunc enim utpote facundia pollentem, Cyzicenos in suam sententiam suadendo facile perducturum sperabat. Eunomius itaque cum venisset Cyzicum, juxta imperatoris præceptum excedente illinc Eleusio, ecclesias occupavit. Ii vero qui Eleusium sectabantur, extra urbem constructa ecclesia, ibi collectas egerunt. Sed de Eunomio, ac de hæresi quæ ab illo cognominata est, paulo postea dicam.

CAPUT IX.

Quam graviter vexati sint eo tempore, qui fidem Nicæni concilii profitebantur: et de Agelio Novatianorum episcopo.

Eodem modo exagitati sunt etiam ii, qui Constantinopoli fidem

συνελθόντων. Σὺν αὐτοῖς δὲ καὶ οἱ τὰ Ναυάτου φρο-
νοῦντες· καὶ πάντας μὲν ἐλαύνεσθαι τῆς πόλεως,
Ναυατιανῶν δὲ καὶ τὰς ἐκκλησίας ἀποκλείεσθαι προσ-
έταξεν ὁ βασιλεύς· τῶν δὲ ἄλλων οὐκ εἶχεν ὅτι ἀπο-
κλείσειεν· ἤδη γὰρ πρότερον ἐπὶ τῆς Κωνσταντίου
2 βασιλείας ἀφῄρηντο. Οὐ μὴν ἀλλὰ καὶ Ἀγέλιον
τότε εἰς ὑπερορίαν φυγὴν κατεδίκασεν· ὃς ἐκ τῶν
Κωνσταντίου[r] χρόνων ἡγεῖτο ἐν Κωνσταντινουπόλει[s]
τῆς Ναυατιανῶν ἐκκλησίας. Ἐλέγετο δὲ ὅτι μάλιστα
θαυμασίως πολιτεύεσθαι κατὰ τοὺς ἐκκλησιαστικοὺς
νόμους· ὁ δὲ βίος ἦν αὐτῷ, τοῦτο δὴ τὸ προὖχον ἐν
φιλοσοφίᾳ, κτήσεως χρημάτων ἐλεύθερος· καὶ ἡ ἀγωγὴ
ἐδείκνυ· ἐνί τε γὰρ χιτωνίῳ ἐχρῆτο, καὶ δίχα ὑποδη-
μάτων ἀεὶ ἐβάδιζεν· οὐ πολλῷ δὲ ὕστερον αὐτὸς[t]
μετεκλήθη[u], καὶ τὰς ὑπ' αὐτὸν ἐκκλησίας ἀπέλαβε,
3 καὶ ἀδεῶς ἐκκλησίαζεν. Αἴτιος δὲ τούτων Μαρκιανός
τις· ὃς ἐπὶ βίῳ καὶ λόγοις θαυμαζόμενος, πάλαι μὲν
ἐν τοῖς βασιλείοις ἐστρατεύετο· τότε δὲ πρεσβύτερος

[r] Κωνσταντίνου Niceph. Socrat. iv.9. Cf. Adnott. ad Socr. v. 21, 1.

[s] ἐν Κωνσταντινουπόλει om. B. Steph. inseruit Christoph. Scal. Curt. quos secutus est Vales. agnoscit Cassiod. non autem Niceph.

[t] αὐτός τε C.

[u] μετεβλήθη B. Steph. corr. Christ. Vales.

Nicæni concilii sequebantur, et una cum illis Novatiani. Nam omnes quidem urbe ejici; Novatianorum vero etiam ecclesias claudi imperator præcepit. Alii enim non habebant quod clauderet: quippe jam pridem regnante Constantio ademptæ eis fuerant ecclesiæ. Sed et Agelium eo tempore exsilio damnavit: qui jam inde a Constantii temporibus, Novatianorum ecclesiæ præerat Constantinopoli, et mirabili quadam ratione juxta leges ecclesiasticas vivere dicebatur. Nam quod in philosophia præcipuum est, a pecuniarum possessione semper alienus vixit. Ejusque vivendi ratio id satis declarabat; utebatur enim simplici tunica, et absque calceis perpetuo incedebat. Idem tamen haud multo post ab exsilio revocatus, ecclesias suas recepit, et collectas libere celebravit. Cujus rei causam præbuit Marcianus quidam, vir tum ob vitæ integritatem, tum ob doctrinam admirabilis. Qui prius quidem in

ὢν τῆς Ναυατιανῶν αἱρέσεως, γραμματικοὺς λόγους ἐξεδίδασκε τὰς βασιλέως θυγατέρας, Ἀναστασίαν τε καὶ Καρῶσαν· ὧν εἰσέτι νῦν ἐπώνυμα λουτρὰ κατὰ τὴν Κωνσταντινούπολίν ἐστί· διὰ γὰρ τὴν πρὸς αὐτὸν αἰδῶ καὶ χάριν, μόνοις Ναυατιανοῖς τὰ εἰρημένα ὑπῆρξε.

ΚΕΦ. Ι'.

Περὶ Οὐαλεντινιανοῦ τοῦ νέου, καὶ Γρατιανοῦ· καὶ περὶ τοῦ κατὰ Οὐάλεντα διωγμοῦ· καὶ ὅτι οἱ τὸ ὁμοούσιον δοξάζοντες, ὑπὸ τῶν Ἀρειανῶν καὶ Μακεδονιανῶν ἐλαυνόμενοι, πρὸς τὴν Ῥώμην διαπρεσβεύονται.

1 Ὑπὸ δὲ τοῦτον τὸν χρόνον, ὁμώνυμος τῷ βασιλεῖ Οὐαλεντινιανῷ γίνεται παῖς κατὰ τὴν δύσιν· οὐ πολλῷ δὲ ὕστερον, καὶ Γρατιανὸς ὃν πρὸ τῆς ἀρχῆς εἶχε,
2 καθίστατο[x] βασιλεύς. Ἐν τούτῳ δὲ, καίπερ παρὰ τὸ εἰωθὸς χαλάζης ἐμφεροῦς λίθοις ἐν πολλοῖς τόποις καταρραγείσης, καὶ μεγίστων σεισμῶν ἄλλαις τε πόλεσι, καὶ Νικαίᾳ τῇ Βιθυνῶν εἰς ἄγαν λυμηναμένων, 231
οὐκ ἐπαύσαντο Οὐάλης τε ὁ βασιλεὺς καὶ Εὐδόξιος ὁ ἐπίσκοπος, τοὺς ἑτέρως αὐτοῖς δοξάζοντας Χριστια-

[x] καθίσταται C.

palatio militaverat: tunc vero Novatianorum sectæ presbyter factus, Anastasiam et Carosam imperatoris filias, artis grammaticæ præceptis erudiebat; quarum nomine balnea quædam Constantinopoli etiamnum appellantur. Ob hujus enim viri auctoritatem et gratiam, ea quæ modo dixi, Novatianis concessa sunt.

CAPUT X.

De Valentiniano juniore et Gratiano: et de persecutione a Valente excitata: et quomodo homousiani ab Arianis et Macedonianis exagitati, Romam legatos misere.

Per idem tempus imperatori Valentiniano in Occidentis partibus natus est filius ejusdem nominis. Nec multo post Gratianus, quem ante imperium susceperat, Augustus ab ipso est nuncupatus. Eodem tempore, licet grando inusitatæ magnitudinis instar lapidum multis in locis cecidisset, et gravissimi terræmotus tum alias urbes, tum præcipue Nicæam evertissent, Valens tamen imperator et Eudoxius episcopus, Christianos qui ab ipsis dissentirent, per-

νοὺς ἐκδιώκοντες. Καὶ πρὸς μὲν τοὺς ὁμοδόξους τοῖς
ἐν Νικαίᾳ συνελθοῦσιν, ἐδόκει πως αὐτοῖς κατωρθῶ-
σθαι[y] *τὸ σπουδαζόμενον. Ἐν γὰρ τῷ πλείονι τῆς*
ὑπὸ Οὐάλεντος ἀρχομένης, καὶ μάλιστα ἀνά τε Θρᾴ-
κην καὶ Βιθυνίαν καὶ Ἑλλήσποντον, καὶ ἔτι τούτων
3 *προσωτέρω, οὔτε ἐκκλησίας, οὔτε ἱερέας εἶχον. Πρὸς*
δὲ τοὺς τὰ Μακεδονίου φρονοῦντας, πολυπλασίους
αὐτῶν ὄντας κατὰ τόδε τὸ κλίμα, ἐχαλέπαινον· καὶ
τραπέντες ἐπ' αὐτοὺς, οὐ μετρίως ἐδίωκον. Οἱ δὲ, δέει
τῶν ἐπικειμένων κακῶν, διαπρεσβευόμενοι[z] *πρὸς ἀλ-*
λήλους κατὰ πόλεις ἄμεινον ἐδοκίμασαν ἐπὶ Οὐαλεν-
τινιανὸν καὶ τὸν Ῥωμαίων ἐπίσκοπον καταφυγεῖν,
κἀκείνοις[a] *μᾶλλον ἢ Εὐδοξίῳ καὶ Οὐάλεντι καὶ τοῖς*
4 *ἀμφ' αὐτοὺς κοινωνεῖν τῆς πίστεως. Καὶ ἐπεὶ τάδε*
καλῶς ἔχειν ἔδοξεν, αἱροῦνται ἐπὶ τούτοις τρεῖς ἐξ
αὐτῶν, Εὐστάθιόν τε τὸν ἐκ Σεβαστείας ἐπίσκοπον,
καὶ Σιλβανὸν τὸν Ταρσοῦ, καὶ Θεόφιλον τὸν Καστα-

[y] Ita C. *κατορθοῦσθαι* Niceph. xi. 6, qui *αὐτοῖς* om. *κατορθῶσαι* edd. Poterat vulgatum alio quoque modo corrigi, legendo *αὐτούς*.

[z] Ita B. C. *διαπρεσβευσάμενοι* editt.

[a] Rectius in Fuk. cod. scriptum est *κἀκείνοις*. Opponit enim Valentinianum ac Liberium, Valenti atque Eudoxio. VALESIUS. *κἀκείνῳ* Steph. Genev.

sequi non cessarunt. Et quidem adversus eos qui Nicænorum antistitum sententiam sequebantur, res ipsis videbatur ex sententia aliquatenus succedere. Etenim majore in parte imperii Valentis, ac præcipue in Thracia, Bithynia, Hellesponto, et in ulterioribus provinciis, hi nec ecclesias habebant nec sacerdotes. Adversus Macedonianos vero, qui in illis partibus ipsos multitudine superabant, vehementi indignatione commoti sunt; et impetu in illos converso, non mediocriter eos vexarunt. Qui impendentium malorum metu perterriti, missis inter se per singulas urbes legationibus, satius esse judicarunt, ut ad Valentinianum et ad episcopum urbis Romæ confugerent, eorumque communioni jungerentur, quam ut cum Eudoxio et Valente, eorumque asseclis, in doctrina fidei communicarent. Hæc cum illi e re sua fore statuissent, tres ad id episcopos ex suo numero delegerunt, Eustathium Sebastiæ, Silvanum Tarsi, et Theophilum episcopum Castabalo-

βάλων, καὶ πρὸς Οὐαλεντινιανὸν τὸν βασιλέα πέμπουσι, γράψαντες Λιβερίῳ τῷ Ῥωμαίων ἐπισκόπῳ καὶ τοῖς ἀνὰ τὴν δύσιν ἱερεῦσιν, οἷα δὴ πίστιν δόκιμον καὶ βεβαίαν ἀπὸ τῶν ἀποστόλων ἔχουσι καὶ πρὸ τῶν ἄλλων προνοεῖν τῆς θρησκείας ὀφείλουσι, παντὶ σθένει συλλαβέσθαι τοῖς αὐτῶν πρέσβεσι, καὶ σὺν αὐτοῖς περὶ τῶν πρακτέων βουλεύσασθαι, ἕως[b] ἂν δοκιμάσωσι διορθῶσαι τὰ τῆς ἐκκλησίας πράγματα.
5 Καὶ οἱ μὲν, εἰς Ἰταλίαν ἀφικόμενοι, ἔγνωσαν τὸν βασιλέα ἐν Γαλατίᾳ[c] διάγειν, τοῖς παρακειμένοις τῇδε[d] βαρβάροις μαχόμενον. Ἀπόρου δὲ φανείσης αὐτοῖς τῆς ἐπὶ Γαλάτας ὁδοῦ διὰ τὸν πόλεμον, ἔδωκαν Λι-
6 βερίῳ τὰ γράμματα. Κοινωσάμενοί τε περὶ ὧν ἐπρεσβεύοντο, καταγινώσκουσιν Ἀρείου, καὶ τῶν ὁμοίως αὐτῷ φρονούντων καὶ διδασκόντων[e]. Ἀποκηρύττουσι δὲ καὶ πᾶσαν αἵρεσιν ἐναντιουμένην τῇ πίστει τῆς ἐν Νικαίᾳ συνόδου· καὶ τὸ ὁμοούσιον ὄνομα δέχονται,

[b] Scribendum puto ὡς ἄν. Quam scripturam in versione mea secutus sum. Ita certe sensus longe apertior existit, qui in vulgata scriptura nullus est. VALESIUS. ὡς ἂν Christ.

[c] Ita J. Scal. εἰς Γαλατίαν ceteri.

[d] τῇδε παρακειμένοις B.

[e] διδασκόντων, supra scripto πρεσβευόντων per quod transversa linea inducitur, B.

rum, eosque ad Valentinianum imperatorem mittunt, cum literis ad Liberium Romanum episcopum et ad Occidentales antistites scriptis. Quibus eos hortabantur, ut legatos suos omni ope adjuvarent, et cum illis quid agendum esset perpenderent, et statum ecclesiæ prout ipsis visum esset corrigerent; quippe qui probam ac stabilem fidem ab apostolis traditam retinerent, ac præ cæteris omnibus religionis curam gerere deberent. Et legati quidem cum in Italiam venissent, imperatorem in Galliis morari didicerunt, bellum gerentem cum barbaris eas accolentibus. Cumque ipsis difficile visum esset iter in Gallias propter bellum, literas dederunt Liberio. Et inito cum illo consilio de rebus quarum causa missi fuerant, Arium eosque qui idem cum illo sentirent ac prædicarent, sententia sua damnarunt. Omnem præterea hæresim fidei Nicæni concilii adversantem rejecerunt: consubstantialis denique vocabu-

7 ὡς τῷ ὁμοίῳ κατ' οὐσίαν τὰ αὐτὰ σημαῖνον. Ὡς δὲ τούτων ἔγγραφον ὁμολογίαν αὐτῶν[f] ἔλαβε Λιβέριος, ἐκοινώνησεν αὐτοῖς· καὶ τοῖς ἀνὰ τὴν ἕω ἐπισκόποις ἔγραψε, τῆς ὁμονοίας καὶ τῆς περὶ τὸ δόγμα συμφωνίας ἐπαινῶν· καὶ τὰ πρὸς τοὺς πρέσβεις πεπραγμένα ἐμήνυσεν. Ἦν δὲ τῶν ἀμφὶ τὸν Εὐστάθιον, ἡ ὁμολογία ἥδε.

ΚΕΦ. ΙΑ'. 232

Ὁμολογία Εὐσταθίου, Σιλβανοῦ, Θεοφίλου, τῶν ἀπὸ Μακεδονίας[g], πρὸς Λιβέριον τὸν Ῥώμης ἐπίσκοπον.

1 Κυρίῳ ἀδελφῷ, καὶ συλλειτουργῷ Λιβερίῳ, Εὐστάθιος, Σιλβανὸς, Θεόφιλος[h], ἐν Κυρίῳ χαίρειν.

Διὰ τὰς τῶν αἱρετικῶν μανιώδεις ὑπονοίας, οἳ οὐ παύονται ταῖς καθολικαῖς ἐκκλησίαις σκάνδαλα[i] ἐπισπείρειν[k], τούτου χάριν πᾶσαν ἀφορμὴν αὐτῶν ἀναιροῦντες, ὁμολογοῦμεν τὴν σύνοδον τὴν γενομένην ἐν Λαμψάκῳ, καὶ

[f] αὐτῶν ὁμολογίαν B.

[g] In promptu erat corrigere ἀπὸ Μακεδονίου, vel ἀπὸ Μακεδονιανῶν. Suspicor tamen errorem ortum esse ex inscitia scribæ, qui τῶν Μακεδονιανῶν interpretari voluit per τῶν ἀπὸ Μακεδονίας.

[h] Θεόφιλος, Σιλβανὸς Socrat.

[i] σκάνδαλον C.

[k] ἐπισπείρειν Socrat.

lum susceperunt, quippe quod idem significaret quod similis secundum substantiam. Harum rerum confessionem scriptis proditam cum Liberius ab ipsis accepisset, cum eis communicavit: scripsitque literas ad Orientales episcopos, ob concordiam et fidei consensum eos laudans; et quæ cum legatis gesta erant, iisdem significavit. Porro Eustathii et collegarum confessio ejusmodi fuit.

CAPUT XI.

Eustathii, Silvani, ac Theophili, qui a Macedonianis ad Liberium missi fuerant, confessio.

Domino fratri et comministro Liberio, Eustathius, Silvanus, et Theophilus, in Domino salutem.

Propter insanas hæreticorum opiniones, qui ecclesiæ catholicæ offensionis causam præbere non cessant, nos omnem illis occasionem adimere cupientes, profitemur et adseveramus, synodum episcoporum orthodoxorum, quæ Lampsaci et Smyrnæ aliisque in

Σμύρνῃ[l], καὶ ἐν ἑτέροις διαφόροις τόποις τῶν ὀρθοδόξων
2 ἐπισκόπων· ἧς συνόδου πρεσβείαν ποιούμενοι, πρὸς τὴν
χρηστότητά σου καὶ πάντας τοὺς Ἰταλοὺς[m] καὶ Δυτικοὺς
ἐπισκόπους γράμματα κομίζομεν, τὴν πίστιν τὴν καθολι-
κὴν[n] κρατεῖν καὶ φυλάσσειν, ἥτις ἐν τῇ ἁγίᾳ Νικαέων
συνόδῳ ἐπὶ τοῦ μακαρίου Κωνσταντίνου ὑπὸ τριακοσίων
δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων[o] βεβαιωθεῖσα, ἀκεραίᾳ
καὶ ἀσαλεύτῳ τῇ[p] καταστάσει ἕως νῦν καὶ διηνεκῶς μένει[q],
ἐν ᾗ τὸ ὁμοούσιον ἁγίως καὶ εὐσεβῶς κεῖται, ὑπεναντίως
3 τῆς Ἀρείου διαστροφῆς· ὁμοίως καὶ ἡμᾶς μετὰ τῶν προ-
ειρημένων τὴν αὐτὴν πίστιν κεκρατηκέναι τε καὶ κρατεῖν,
καὶ ἄχρι τέλους φυλάσσειν, ἰδίᾳ χειρὶ ὁμολογοῦμεν· κατα-
κρίνοντες Ἄρειον καὶ τὴν ἀσεβῆ διδαχὴν αὐτοῦ σὺν τοῖς
μαθηταῖς αὐτοῦ, καὶ πᾶσαν αἵρεσιν Πατροπασιανοῦ, Μαρ-
κίωνος, Φωτινοῦ, Μαρκέλλου[r], καὶ Παύλου τοῦ Σαμοσα-
τέως, καὶ τούτων τὴν διδαχὴν καὶ πάντας τοὺς ὁμόφρονας
αὐτῶν· καὶ πάσας δὲ[s] τὰς αἱρέσεις τὰς ἐναντιουμένας τῇ
προειρημένῃ ἁγίᾳ πίστει, ἥτις εὐσεβῶς ἐξετέθη ὑπὸ τῶν

[l] ἐν Σμύρνῃ Socrat.
[m] Ἰταλούς τε C. Socrat.
[n] τὴν καθολικὴν πίστιν Socrat.
[o] ὀκτὼ ἐπισκόπων βεβ. B. Socrat.
[p] τῇ om. Socrat.
[q] διαμένει Socrat.
[r] καὶ τοὺς ὁμόφρονας αὐτοῦ, καὶ πᾶσαν αἵρεσιν Σαβελλίου, Πατροπασσιανούς, Μαρκιωνιστὰς, Φωτιανούς, Μαρκελλιανούς, καὶ Παύλου Socrat.
[s] δὲ om. Socrat.

locis habita est; cujus synodi legationem obeuntes, tum ad tuam benignitatem, tum ad universos Italiæ et Occidentis episcopos literas adferimus, catholicam fidem tenere et custodire, quæ in sacrosancta synodo Nicæna temporibus beatæ memoriæ Constantini, a trecentis decem et octo divinitus inspiratis episcopis comprobata, hactenus integra et inconcussa perpetuo permansit: in qua consubstantialis vocabulum adversus Arii pravitatem pie sancteque positum est. Similiter etiam nos una cum supradictis eandem fidem tenuisse ac tenere, et usque ad extremum spiritum servaturos esse, ipsi manu nostra profitemur: Arium et impiam ejus doctrinam, una cum discipulis illius, et eadem cum illo sentientibus condemnantes. Omnem præterea hæresim Patropassiani, Marcionis, Photini, Marcelli, et Pauli Samosateni. Horum doctrinam et universos qui idem cum illis sentiunt, omnes denique hæreses adversantes sanctæ fidei supradictæ, quæ pie a sanctis patribus

ἁγίων πατέρων[t] ἐν Νικαίᾳ, ἀναθεματίζομεν[u]· ἀναθεματίζοντες Ἄρειον[x] ἐξαιρέτως, καὶ τὰ ἐν τῇ Ἀριμίνῳ[y] συνόδῳ, ὅσα ὑπεναντίως[z] ταύτης τῆς προειρημένης[a] πίστεως τῆς ἁγίας συνόδου Νικαέων ἐπράχθη[b]· οἷς δόλῳ καὶ ἐπιορκίᾳ ὑποπεισθέντες ἐν[c] Κωνσταντινουπόλει κομισθεῖσιν ἀπὸ Νίκης τῆς Θρᾴκης, ὑπεγράψαμεν[d].

4 Ταῦτα ὁμολογήσαντες, καὶ τὴν ἐκτεθεῖσαν ἐν Νικαίᾳ πίστιν αὐτοῖς ῥητοῖς τῇ οἰκείᾳ[e] ὁμολογίᾳ συνῆψαν· καὶ περὶ τῶν πραχθέντων γράμματα Λιβερίου λαβόντες, ἔπλευσαν εἰς Σικελίαν.

ΚΕΦ. ΙΒʹ. 233

Περὶ τῆς ἐν Σικελίᾳ συνόδου, καὶ τῆς ἐν Τυάνοις, καὶ περὶ τῆς ἐν Κιλικίᾳ προσδοκωμένης ἔσεσθαι, ἣν διέλυσεν Οὐάλης· καὶ περὶ τοῦ τότε διωγμοῦ, καὶ ὡς Ἀθανάσιος ὁ μέγας πάλιν φυγὼν, ἀπεκρύβη· καὶ ὡς πάλιν γράμμασιν Οὐάλεντος ἀνεφάνη, καὶ τὰς κατ' Αἴγυπτον ἐκκλησίας διεῖπεν.

1 Γενομένης δὲ κακεῖσε συνόδου, καὶ τὰ αὐτὰ ψη-

[t] καὶ καθολικῶς ὑπὸ τῶν ἁγίων ἐξετέθη πατέρων Socrat.
[u] ἀναθεματίζομεν om. Socrat.
[x] Ἄρειον om. Socrat.
[y] Ἀριμήνῳ B.
[z] καὶ τὴν ἐν Ἀριμίνῳ συνόδῳ ἀναγνωσθεῖσαν ἔκθεσιν ὡς ὑπεν. Socrat.
[a] ταύτης post προειρημένης Socrat.
[b] τῆς ἐν Νικαίᾳ πραχθεῖσαν Socrat.
[c] οἱ ἐν Κωνστ. Socrat.
[d] ὑπεγράψαμεν Socrat.
[e] Ita B. C. οἰκίᾳ perperam editt.

Nicææ exposita est, anathemate damnamus: anathema præcipue dicentes Ario, et iis quæ in Ariminensi synodo gesta sunt contra prædictam fidem sancti concilii Nicæni. Quibus ab oppido Thraciæ Nice allatis, dolo ac perjurio circumventi, Constantinopoli subscripsimus. Cum hæc professi essent, fidem Nicææ editam iisdem plane verbis confessioni suæ subjunxerunt: et acceptis Liberii literis de rebus quæ gestæ fuerant, in Siciliam navigarunt.

CAPUT XII.

De synodo Siciliensi, et de concilio Tyanis celebrato, et de illo quod in Cilicia futurum sperabatur, quod a Valente discussum est. Item de persecutione quæ tunc grassabatur: et quomodo Athanasius denuo fugiens, sese occultavit; postea vero Valentis literis revocatus, processit in medium, et ecclesias Ægypti gubernavit.

Ibi congregato concilio, cum episcopi illius insulæ eadem de-

φισαμένων τῶν τῇδε ἐπισκόπων, ἐπεὶ τάδε ἔπραξαν,
2 ἐπανῆλθον. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν σύνοδον ἀγόντων ἐν Τυάνοις Εὐσεβίου τοῦ ἐπισκόπου τῆς Καππαδοκῶν Καισαρείας, Ἀθανασίου τε τοῦ Ἀγκύρας, καὶ Πελαγίου τοῦ Λαοδικείας, Ζήνωνός τε τοῦ Τυρίου, καὶ Παύλου τοῦ Ἐμέσης, Ὀτρέως[f] τε τοῦ Μελιτηνῆς, καὶ Γρηγορίου τοῦ Ναζιανζοῦ, καὶ πολλῶν ἄλλων, οἳ τὸ ὁμοούσιον πρεσβεύειν ἐψηφίσαντο ἐν Ἀντιοχείᾳ ἐπὶ τῆς Ἰοβιανοῦ βασιλείας, ἀναγινώσκεται τὰ Λιβερίου καὶ τῶν ἀνὰ τὴν δύσιν γράμ-
3 ματα. Περιχαρεῖς τε ἐπὶ τούτοις γενόμενοι, ἔγραψαν πάσαις ταῖς ἐκκλησίαις, ἐντυχεῖν τοῖς ψηφίσμασι τῶν ἀνὰ τὴν Ἀσίαν[g] ἐπισκόπων, καὶ τοῖς Λιβερίου γράμμασι καὶ Ἰταλῶν, καὶ Ἄφρων, καὶ Γαλατῶν τῶν πρὸς δύσιν, καὶ Σικελῶν· ἐκόμισαν[h] γὰρ καὶ τούτων γράμματα οἱ ἐκ Λαμψάκου πρέσβεις· καὶ ἀναλογίσασθαι τὸν πάντων ἀριθμόν· πολλῷ γὰρ τῷ

[f] Rectius Ὀτρηΐου. Vid. Annott.

[g] Ita B. ἐν τῇ Ἀσίᾳ Steph. Genev. *apud Asiam* Epiphan. *episcoporum Asiaticorum* Niceph. juxta Langi versionem, Græca enim hic non extant. ἀνὰ τὴν δύσιν Christoph. Scal. Curt. quos secutus est Vales. Conf. Annott.

[h] ἐκόμισαν et quæ sequuntur usque ad δηλῶσαι om. C.

crevissent, his rebus confectis, in patriam reversi sunt. Eodem tempore cum synodus episcoporum congregata esset Tyanis, cui intererant Eusebius Cæsareæ Cappadociæ episcopus, Athanasius Ancyræ, Pelagius Laodiceæ, Zeno Tyri, Paulus Emesæ, Otreius Melitinæ, Gregorius Nazianzi, et alii complures, qui regnante Joviano, Antiochiæ collecti, consubstantialis doctrinam retinendam esse decreverant: Liberii et Occidentalium literæ recitatæ sunt. Qua ex re ingenti gaudio affecti, scripserunt ad omnes ecclesias, ut Occidentalium episcoporum decreta perlegerent, et epistolas tum Liberii, tum episcoporum Italiæ, Africæ, Galliæ, et Siciliæ; nam et istorum literas attulerant legati a synodo Lampsacena missi: utque omnium illorum numerum considerarent. Multo enim plures erant iis qui in Ariminensi concilio sederant.

πλήθει τὴν ἐν Ἀριμίνῳ[i] σύνοδον ἐνίκων· καὶ ὁμο-
φρονας αὐτοῖς γενέσθαι καὶ κοινωνούς· καὶ ὅτι ταύ-
της εἰσὶ τῆς γνώμης, διὰ γραφῆς οἰκείας δηλῶσαι·
συνελθεῖν δὲ εἰς Ταρσὸν τῆς Κιλικίας ἔτι ἦρος ὄντος,
4 εἰς ῥητὴν ἡμέραν ἣν ὥρισαν. Καὶ οἱ μὲν, ὧδε ἀλ-
λήλους συνιέναι προετρέποντο. Ἤδη δὲ συνίστα-
σθαι μελλούσης τῆς ἐν Ταρσῷ συνόδου, συνελθόν-
τες ἐν Καρίᾳ τῆς Ἀσίας[k] ἀμφὶ τριάκοντα τέσσαρες
τῶν Ἀσιανῶν ἐπισκόπων, τὴν μὲν ἐπὶ τῇ ὁμονοίᾳ
τῶν ἐκκλησιῶν σπουδὴν ἐπῄνουν· παρῃτοῦντο δὲ τὸ
τοῦ ὁμοουσίου ὄνομα· καὶ τὴν ἐν Ἀντιοχείᾳ καὶ Σε-
λευκείᾳ ἐκτεθεῖσαν πίστιν χρῆναι κρατεῖν ἰσχυρί- 234
ζοντο, ὡς καὶ Λουκιανοῦ τοῦ μάρτυρος οὖσαν, καὶ
μετὰ κινδύνων καὶ πολλῶν ἱδρώτων παρὰ τῶν πρὸ
5 αὐτῶν δοκιμασθεῖσαν. Ὁ δὲ βασιλεὺς Εὐδοξίου
σπουδῇ, τὴν ἐν Κιλικίᾳ προσδοκωμένην διέλυσε
σύνοδον, γράψας περὶ τούτου καὶ ἀπειλὰς ἐπιθείς.
Ἐν μέρει δὲ τοῖς ἄρχουσι τῶν ἐθνῶν ἀπελαύνειν τῶν
ἐκκλησιῶν προσέταξε τοὺς ἐπὶ Κωνσταντίνου καθαι-

i Ἀριμήμῳ B.
k Legi oportet Ἀντιοχείᾳ τῆς Καρίας. Vid. Annott.

Præterea ut consentire cum illis et communicare vellent; seque ejusdem esse sententiæ per literas indicarent. Postremo ut ante exitum veris ad statutum diem quem ipsi præscripserant, Tarsum Ciliciæ convenirent. Et hi quidem sese invicem hoc modo ad faciendam synodum hortabantur. Porro cum synodus jamjam congreganda esset in urbe Tarso, quatuor circiter ac triginta Asiani episcopi in Caria Asiæ provincia collecti, studium quidem in restituenda ecclesiarum concordia positum magnopere laudarunt. Consubstantialis autem vocabulum admittere recusabant, affirmantes fidem quæ Antiochiæ et Seleuciæ promulgata fuerat, ratam esse oportere, quippe quæ et Luciani Martyris fides esset, et non sine multis periculis ac laboribus ab ipsorum antecessoribus fuisset comprobata. Imperator vero, Eudoxii impulsu, concilium quod in Cilicia futurum sperabatur, diremit, scriptis ea de re literis, et adjectis minis. Specialiter quoque rectoribus provincia-

ρεθέντας ἐπισκόπους, αὖθις δὲ τὴν ἱερωσύνην ἀναλα-
6 βόντας ἐπὶ τῆς Ἰουλιανοῦ βασιλείας. Ἐκ ταύτης δὲ
τῆς προστάξεως καὶ ταῖς ἀνὰ τὴν Αἴγυπτον ἀρχαῖς
σπουδὴ γέγονεν, ἀφελέσθαι τῶν αὐτόθι ἐκκλησιῶν
Ἀθανάσιον, καὶ τῆς πόλεως ἀπελάσαι. Οὐ τὸ τυχὸν
γὰρ ἐπιτίμιον ἐνέκειτο τῷ βασιλείῳ γράμματι, εἰ μὴ
ταῦτα γένοιτο, πάντων ἐπίσης ἀρχόντων τε καὶ τῶν
ὑπ' αὐτοὺς στρατιωτῶν, καὶ βουλευτηρίων, ἔκτισιν
πολλῶν χρημάτων καταδικάζον, καὶ σώματος αἰκι-
7 σμοὺς[l] ἀπειλούμενον. Συνελθὸν δὲ τὸ πλῆθος τῶν
Χριστιανῶν, ἐζήτουν τὸν ὕπαρχον ἀπερισκέπτως μὴ
ἀπελαύνειν τὸν ἐπίσκοπον· ἀκριβέστερον δὲ σκο-
πεῖν τὸν ὅρον τῶν βασιλείων[m] γραμμάτων, ὡς κατ'
ἐκείνων μόνων κρατοῦντα τῶν ἐπὶ Ἰουλιανοῦ κατελ-
8 θόντων μετὰ τὴν ἐπὶ Κωνσταντίου φυγήν. Τὸν δὲ
Ἀθανάσιον ἔλεγον, φυγεῖν μὲν ἐπὶ Κωνσταντίου,
μετακληθῆναι δὲ παρ' αὐτοῦ καὶ τὴν ἐπισκοπὴν ἀπο-
λαβεῖν· Ἰουλιανὸν δὲ πάντας καταγαγόντα, μόνον
αὐτὸν διῶξαι· πάλιν δ' αὖ Ἰοβιανὸν αὐτὸν μετακα-

[l] αἰκισμὸν B. [m] βασιλέως C.

rum mandavit ut episcopos qui Constantii temporibus depositi, postea regnante Juliano sacerdotium recuperaverant, ecclesiis expellerent. Ob hanc jussionem ii qui in Ægypto magistratum gerebant, Athanasium ecclesiis illius loci spoliare, et ex civitate ejicere studuerunt. Neque enim levis pœna inserta erat imperatoris edicto: sed omnibus ex æquo præsidibus, eorumque officialibus, et decurionibus, non modicæ pecuniæ mulcta irrogabatur, et corporis cruciatus intentabantur, nisi imperata fecissent. Verum multitudo Christianorum in unum collecta, rogavit præfectum, ne episcopum inconsulte expelleret: sed accuratius expenderet formam imperialium literarum, quæ adversus eos solos valerent, qui post exsilium Constantianis temporibus irrogatum, regnante Juliano reversi essent. Athanasium porro aiebant, relegatum quidem fuisse sub Constantio: sed eodem Constantio revocante, episcopatum suum recuperasse. Et Julianum quidem cum alios omnes ab exsilio revocasset, hunc solum persecutum esse: Jovianum vero denuo eum restituisse. Hæc cum dicerent, non per-

9 λέσασθαι. Ταῦτα λέγοντες, οὐκ ἔπειθον. Ἀντεῖχον
δὲ ὅμως, καὶ βιάζεσθαι οὐ συνεχώρουν. Πανταχόθεν
δὲ τοῦ δήμου συρρέοντος, καὶ πολλοῦ θορύβου καὶ
ταραχῆς ἀνὰ[m] τὴν πόλιν ὄντων, καὶ στάσεως προσδο-
κωμένης, ἐμήνυσεν ὁ ὕπαρχος βασιλεῖ τὰ γενόμενα,
10 συγχωρήσας αὐτὸν ἐν τῇ πόλει διάγειν. Ἤδη δὲ
πολλῶν διαγενομένων ἡμερῶν, καὶ τῆς κινηθείσης
στάσεως πεπαῦσθαι δοκούσης, ἑσπέρας λαθὼν Ἀθα-
νάσιος ἐξῆλθε τῆς πόλεως, καὶ εἴς τι χωρίον ἐκρύ-
11 πτετο. Ἀωρὶ δὲ τῆς αὐτῆς νυκτὸς ὁ ὕπαρχος Αἰ-
γύπτου, καὶ ὁ τῶν τῇδε στρατευμάτων ἡγεμὼν, κατέ-
λαβον τὴν ἐκκλησίαν, ἐν ᾗ τὸ καταγώγιον εἶχε· παν-
ταχοῦ τε καὶ εἰς τὰς ὑπερῴους οἰκήσεις ἀναζητή-
σαντες αὐτὸν, ὑπεχώρουν διαμαρτόντες τῆς βουλῆς·
ᾤοντο γὰρ λοιπὸν τοῦ πλήθους ἐπιλελησμένου τῆς
προτέρας κινήσεως, εἰ ἐπίθοιντο πάντων πρὸς ὕπνον
τετραμμένων, ῥᾳδίως τὴν βασιλέως πρόσταξιν ἐπιτε-
12 λέσειν, καὶ τὴν πόλιν ἀστασίαστον φυλάξειν. Θαῦμα
δὲ πάντας εἰκότως εἶχεν, Ἀθανασίου μὴ εὑρεθέντος.
Εἴτε γὰρ θείας δυνάμεως προειπούσης ὑπανεχώρησεν,

[m] ἐπὶ Steph. Genev. ἀνὰ Scal. Vales.

suaserunt præfecto: restiterunt nihilominus, nec passi sunt vim inferri Athanasio. Cumque multitudo vulgi conflueret, ingensque tumultus ac perturbatio totam urbem occuparet, ac seditio jamjam futura expectaretur, præfectus rem imperatori significavit, passus interim Athanasium in urbe remanere. Postea vero multis jam elapsis diebus, cum seditio extincta esse videretur, vespertino tempore Athanasius clam ex civitate digressus, in quodam loco sese occultavit. Eademque nocte præfectus Alexandriæ, et dux militum Ægypti, ecclesiam in qua diversorium erat Athanasii, occuparunt. Et cum illum ubique, in ipsis etiam tectis et culminibus perquisivissent, consilio suo frustrati discesserunt. Sic enim existimabant, populo jam prioris seditionis oblito, cunctisque somno oppressis, se, si impetum facerent, imperatoris jussa facile executuros, et urbem seditionis expertem servaturos esse. Ingens porro admiratio cunctos subiit, quod Athanasius inventus non

εἴτε τινῶν ἀναγγειλάντων, ἀμφότερα εἰς ταὐτὸν τε-
λεῖ. Καὶ προμηθείας ἢ κατὰ ἄνθρωπον ἐδόκει[n], εἰς
ἀναγκαῖον ὧδε καιρὸν προμαθεῖν τὴν ἐπιβουλὴν καὶ 235
φυλάξασθαι. Ἕτεροι δέ φασιν, ὡς τὴν τοῦ πλήθους
παράλογον κίνησιν προορῶν, δείσας τε μὴ τῶν ἐν-
τεῦθεν συμβησομένων δεινῶν αἴτιος εἶναι δόξει, πάντα
τοῦτον τὸν χρόνον ἐν πατρῴῳ μνήματι διέτριβε. Καὶ
13 ὁ μὲν ὧδε διαφυγὼν ἐλάνθανεν. Οὐ πολλῷ δὲ ὕστε-
ρον ἔγραψεν ὁ βασιλεὺς, αὐτὸν ἐπανελθεῖν καὶ τὴν
ἐκκλησίαν ἔχειν. Τεκμαίρομαι δὲ Οὐάλεντα παρὰ
σκοπὸν ἐπὶ ταύτην τὴν γραφὴν ἐλθεῖν, ἢ τὴν κρα-
τοῦσαν περὶ Ἀθανασίου δόξαν λογιζόμενον, καὶ ὅτι
τούτου χάριν εἰκὸς ἦν μέμψασθαι[o] Οὐαλεντινιανὸν,
ἐπειδὴ τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δόγμα ἐπρέ-
σβευσεν[p]· ἢ τῶν ἐπαινούντων αὐτὸν πολλῶν ὄντων,
τὴν κίνησιν ὑπορώμενον, μή τι νεωτερίσωσιν ἐπὶ

[n] Supplendus videtur hic locus in hunc modum, *καὶ προμηθείας μείζονος ἢ κατὰ ἄνθρωπον εἶναι δοκεῖ*, vel *ἐδόκει*. VALESIUS. [Post *προμηθείας* habent *μείζονος* Christ. et Curt.] Legitur vero similis ellipsis infra, *τοὺς αὐχένας ἑτοίμως ὑποβαλλόντων τοῖς ξίφεσι ἢ τῶν ἐν Νικαίᾳ δοξάντων ὑπεριδεῖν*, c. 20.

[o] Legendum est *μέμψεσθαι*· Quod confirmat Nicephorus Latine a Lango versus.

[p] *ἐπρέσβευεν* B.

esset. Nam sive divina revelatione, sive quorundam hominum indicio præmonitus effugerit, utrumque eodem recidit. Certe ut quis tam opportuno tempore prænoscere insidias et cavere possit, id majoris videtur esse providentiæ, quam quæ in hominem cadat. Alii dicunt, Athanasium, cum inconsultum populi tumultum prævideret, veritum ne malorum quæ ex eo eventura essent, auctor fuisse diceretur, toto hoc tempore in monumento patrio delituisse. Et Athanasius quidem hac ratione elapsus, sese occultavit. Imperator vero, non multo post scripsit ei, ut rediret, et ecclesiam suam reciperet. Cæterum suspicor, Valentem non ex animi sui sententia ista scripsisse: sed vel quod constantem omnium hominum existimationem de virtute Athanasii secum ipse reputaret, et ob hanc causam proculdubio Valentinianum id moleste laturum: quippe qui Nicæni concilii doctrinam amplexus esset: vel quod multitudinem eorum qui Athanasio favebant, for-

14 βλάβῃ τῶν κοινῶν πραγμάτων. Οἶμαι δὲ, ὡς εἰκὸς,
καὶ τοὺς προεστῶτας τῆς Ἀρείου αἱρέσεως μὴ λίαν
ἐπιθέσθαι τῇ περὶ τούτου σπουδῇ· λογισαμένους, ὡς
τῆς πόλεως ἐκβληθεὶς αὖθις ὀχλήσει τοῖς βασιλεῦσι,
καὶ ἀφορμὴν ἐντεῦθεν ἕξει τῆς πρὸς αὐτοὺς ὁμιλίας,
καὶ μεταπείσει Οὐάλεντα· Οὐαλεντινιανὸν δὲ καὶ εἰς
ὀργὴν κινήσει, ὡς ὁμόφρονα. Μάλιστα γὰρ περι-
δεεῖς ἦσαν ἐκ τῶν ἐπὶ Κωνσταντίου συμβάντων, πε-
15 πειραμένοι τῆς αὐτοῦ ἀρετῆς. Ἐπὶ τοσοῦτον γὰρ
καὶ τότε τῆς τῶν ἐναντίων ἐκράτησεν ἐπιβουλῆς, ὡς
ἀσμένως αὐτῷ παραχωρῆσαι τῶν ἀνὰ τὴν Αἴγυπτον
ἐκκλησιῶν, καὶ ἐπὶ τούτῳ μόλις εἶξαι[q] Κωνσταντίου
γράμμασιν, ἐκ τῆς Ἰταλίας ἐπανελθεῖν. Τὸ μὲν οὖν
αἴτιον, καθότι Ἀθανάσιος ἐπίσης τοῖς ἄλλοις οὐκ
16 ἀφῃρέθη τῆς ἐκκλησίας, τοῦτο εἰκάζω εἶναι. Τοῖς δὲ
λοιποῖς μονονουχὶ διωγμὸς συνέβη, Ἑλληνικῷ παρα-
πλήσιος· φυγαί τε γὰρ ὑπερόριοι ἐσπουδάζοντο τῶν

[q] Ante hæc verba finalis distinctio apposita est in cod. Fuk. Quare non dubito quin hoc loco scribendum sit εἶξε, quod est longe elegantius et clarius. Non enim refertur ad ὡς, sed ad verbum ἐκράτησε quod præcessit. VALESIUS. Vulgatum tuetur Latine Nicephorus.

midaret, ne quid in damnum reipublicæ molirentur. Arbitror etiam, id quod verisimile est, Arianorum antistites non ita vehementi studio in illum incubuisse: prævidentes futurum ut ille ex civitate pulsus, denuo imperatores interpellaret, et occasionem eos adeundi nancisceretur: ac Valentem quidem in suam sententiam pertraheret: Valentinianum vero, utpote ejusdem fidei sectatorem, ad iram excitaret. Nam cum virtutem ejus viri perspectam haberent ex iis quæ principatu Constantii acciderant, ingenti metu percellebantur. Etenim eo quoque tempore, adversariorum insidias tantopere superavit, ut ecclesias Ægypti libenter ei concesserint: ipse vero literis Constantii vix adductus fuerit, ut hac conditione ex Italia reverteretur. Et hanc quidem causam fuisse conjicio, cur Athanasio adempta non sit ecclesia, perinde ac reliquis episcopis. In reliquos vero persecutio incubuit, non dissimilis illi quæ a Gentilibus olim fuerat excitata. Nam qui doctrinam

τὰ αὐτὰ φρονεῖν ἀναινομένων· καὶ εὐκτήριοι οἶκοι, τῶν μὲν ἀφῃροῦντο, τοῖς δὲ παρεδίδοντο· ἡ δὲ Αἴγυπτος τέως τούτων ἀπείρατος ἦν, ἔτι Ἀθανασίου τῷ βίῳ περιόντος.

ΚΕΦ. ΙΓ'.

Ὡς μετὰ Εὐδόξιον Δημόφιλος Ἀρειανὸς Κωνσταντινουπόλεως γίνεται· τὸ δὲ εὐσεβὲς, Εὐάγριον προχειρίζονται· καὶ περὶ τοῦ γενομένου ἐντεῦθεν διωγμοῦ.

1 Τῷ δὲ βασιλεῖ Οὐάλεντι τὴν παρ' Ὀρρόντην Ἀν-
τιόχειαν καταλαβεῖν ἐδόκει. Ἐχομένου δὲ αὐτοῦ τῆς
ὁδοῦ, τελευτᾷ τὸν βίον Εὐδόξιος, ἐπὶ ἕνδεκα ἐνιαυτοῖς
κρατήσας τῶν ἐν τῇ Κωνσταντινουπόλει ἐκκλησιῶν.
Ἐπιτρέπεται δὲ ταύτας Δημόφιλος, χειροτονηθεὶς εἰς 236
τὴν αὐτοῦ διαδοχὴν παρὰ τῶν τὰ Ἀρείου φρονούν-
2 των. Οἱ δὲ τοῦ δόγματος τῆς ἐν Νικαίᾳ συνόδου,
νομίσαντες εἰς καιρὸν αὐτοῖς τάδε συμβεβηκέναι, ψη-
φίζονται Εὐάγριόν τινα ἐπισκοπεῖν αὐτῶν. Χειρο-
τονεῖ δὲ τοῦτον Εὐστάθιος, ὃς τὴν Ἀντιοχέων τῶν
Σύρων διεῖπεν ἐκκλησίαν. Μετακληθεὶς γὰρ ὑπὸ
Ἰοβιανοῦ ἐκ τῆς ὑπερορίας φυγῆς, λάθρα τότε ἐν

illorum sequi detrectarent, iis irrogabantur exsilia. Et ecclesiæ iis quidem adimebantur: illis autem tradebantur. Verum Ægyptus istarum calamitatum expers interim fuit, Athanasio adhuc superstite.

CAPUT XIII.

Quomodo Demophilus Arianus post Eudoxium factus sit episcopus Constantinopoleos: orthodoxi vero Evagrium elegerint. Et de persecutione ob eam rem excitata.

Interea imperator Valens Antiochiam ad Orontem sitam proficisci decrevit. Qui dum in itinere esset, Eudoxius ex hac vita discessit, undecim annis episcopatu Constantinopolis perfunctus. Demophilus vero, ejus loco ab Arianis ordinatus, ecclesias urbis regiæ administrandas suscepit. Verum Nicænæ fidei propugnatores, opportunum sibi tempus oblatum rati, Evagrium quendam sibi episcopum delegerunt. Hunc Eustathius, is qui olim Antiochenam ecclesiam rexerat, ordinavit. Namque is, cum Jovianus

Κωνσταντινουπόλει διέτριβε, τοὺς ὁμοδόξους αὐτῷ διδάσκων, καὶ προτρέπων ἐπὶ τῆς αὐτῆς μένειν περὶ
3 τὸ θεῖον γνώμης. Ἐντεῦθεν οἱ μὲν ἀπὸ τῆς Ἀρείου αἱρέσεως πρὸς στάσιν ἀνακινηθέντες, χαλεπῶς ἐδίωκον τοὺς σπουδαστὰς τῆς Εὐαγρίου χειροτονίας. Ὁ δὲ βασιλεὺς ταῦτα γνοὺς, ἐν Νικομηδείᾳ τέως τὴν ὁδὸν ἐπέσχε· δείσας δὲ περὶ τῆς πόλεως μή τι πάθῃ ὑπὸ στάσεως, σύνοιδε πέμψαι στρατιώτας εἰς Κων-
4 σταντινούπολιν, οὓς ἱκανοὺς ἐνόμισεν εἰς τοῦτο. Εὐστάθιον δὲ συλληφθέντα, προσέταξεν ἐν Βιζύῃ[r] πόλει τῆς Θρᾴκης διάγειν, καὶ Εὐάγριον ἑτέρωθι ἀπάγεσθαι. Καὶ τὰ μὲν ὧδε ἔσχε.

ΚΕΦ. ΙΔ'.

Περὶ τῶν πρεσβέων[s] τῶν εὐσεβῶν ὀγδοήκοντα, οὓς Οὐάλης σὺν πλοίῳ μέσης θαλάσσης κατέκαυσεν ἐν Νικομηδείᾳ.

1 Θρασύτεροι δὲ, ὡς φιλεῖ συμβαίνειν τοῖς εὐτυχοῦσιν, οἱ τὰ Ἀρείου φρονοῦντες γενόμενοι, οὐκ

[r] Ita B. et Valesius e cod. Fuk. et Socrat. Κιζύῃ Steph. Genev. [Βιζύῃ Scal. quod Christ. in marg. libri sui adnotaverat, quamvis in versione reddidit *Cyziam*.]

[s] Rectius πρεσβυτέρων Socrates. πρέσβεων Genev. πρέσβειον Vales. Conf. Annott.

ipsum ab exsilio revocasset, clam eo tempore Constantinopoli morabatur, homusianos docens, atque exhortans ut in eadem de divinitate sententia permanerent. Hinc igitur Ariani ad seditionem commoti, fautores ordinationis Evagrii acerbe persequi cœperunt. Quibus cognitis, imperator Nicomediæ aliquantisper substitit. Ac veritus ne quid mali urbi regiæ per seditionem accideret, milites eo mittere decrevit, quantos ad eam rem satis esse judicabat. Et Eustathium quidem comprehensum, in oppidum Thraciæ Bizuam relegari jussit: Evagrium vero alio abduci. Atque hæc quidem gesta sunt in hunc modum.

CAPUT XIV.

De octoginta orthodoxis presbyteris, quos Valens medio in mari combussit Nicomediæ.

Ariani vero, ut in rebus secundis evenire solet, insolentiores facti, eos qui ab ipsis dissentiebant, acerbissime persequi institu-

ἀνεκτὰ ἐπεβούλευον τοῖς ἀπὸ τῆς ἐναντίας δόξης. Οἱ
δὲ, εἴς τε τὸ[t] σῶμα ὑβριζόμενοι, ἄρχουσί τε καὶ
δεσμωτηρίοις παραδιδόμενοι, καὶ τὰς οὐσίας κατ' ὀλί-
γον δαπανώμενοι ταῖς ἐνθένδε συχνῶς συμβαινούσαις
ζημίαις, ἔγνωσαν δεηθῆναι τοῦ βασιλέως, ὅπως τινὰ
2 τῶν δεινῶν εὕροιεν ἀπαλλαγήν. Καὶ ἐκκλησιαστι-
κοὺς ὀγδοήκοντα ἄνδρας ἐπὶ τοῦτο εἵλοντο, ὧν ἡγοῦντο
Οὐρβασὸς[u] καὶ Θεόδωρος καὶ Μενέδημος. Ὡς δὲ εἰς
Νικομήδειαν ἀφίκοντο, βιβλίον ἐπέδωκαν τὰ κατ' αὐ-
τοὺς ἐγράψαντες. Ὁ δὲ, σφόδρα θυμωθεὶς, ὅσον
ὠργίσθη οὐκ ἐγένετο δῆλος· λάθρα δὲ ὑπάρχῳ προσ-
3 έταξε συλλαβεῖν αὐτοὺς καὶ ἀνελεῖν. Ὁ δὲ ὕπαρχος
δείσας μὴ στασιάσῃ τὸ πλῆθος, τοσούτων εὐλαβῶν
ἀνδρῶν καὶ μηδὲν ἠδικηκότων παραλόγως ἀναιρου-
μένων, πλάττεται καταδικάζειν αὐτῶν ὑπερορίαν φυ-
γήν. Ὡς ἐπὶ τοῦτο δὲ πέμπων αὐτοὺς, εἰς πλοῖον
ἐνεβίβασεν, οὐκ ἀγεννῶς τάδε παθεῖν ὑπομένοντας.
4 Ἐπεὶ δὲ πλέοντες κατὰ μέσον τοῦ Ἀστακίου[x] καλου-

[t] Ita C. τὸ om. ceteri.

[u] Ita B. Steph. Genev. Nicephorus Latine. Οὐρβανὸς Socrat. et tacite Valesius.

[x] Ἀστακηνοῦ Socrat.

erunt. Qui cum et cruciatus corporis sustinerent, et ad præsidum tribunalia et carceres traherentur, et ob crebra quæ inde ipsis eveniebant damna, facultatibus suis paulatim nudarentur, imperatori supplicare decreverunt, ut his calamitatibus aliqua ex parte liberarentur. Hujus rei causa octoginta viros ecclesiasticos delegerunt, inter quos Urbanus, Theodorus ac Menedemus principem locum obtinebant. Qui cum Nicomediam venissent, libellum Valenti obtulerunt, in quo ea perscripserant quæ ad causam ipsorum pertinerent. At Valens, quamvis supra modum indignaretur, iræ tamen suæ gravitatem non prodidit: sed clam mandavit præfecto, ut eos comprehensos interficeret. Præfectus vero, timens ne vulgus seditionem crucitaret, si tot pii viri qui nihil deliquerant, præter jus ac rationem occiderentur, simulat se exsilio eos addicere. Et tanquam in exsilium mittendos, navigio imponi jubet, quod quidem illi forti animo ferre parati erant. Porro cum ad medium Astaceni sinus navigando pervenissent,

μένου κόλπου ἐγένοντο, οἱ μὲν ναῦται πυρὶ τὸ σκάφος ὑφάψαντες, ὡς ἦν αὐτοῖς προστεταγμένον, ὑπεχώρουν εἰς τὸ ἐφόλκιον μεταπηδήσαντες. Ἡ δὲ ναῦς ὑπὸ ἐπιφόρου ἀνέμου ἐλαυνομένη, ἄχρι Δακιβίζης[y], χωρίον 237 δὲ τοῦτο τῆς παραλίου Βιθυνίας, διήρκεσε[z] πρὸς τὸν ἔκπλουν· ἅμα δὲ τῇ γῇ προσέσχε, καὶ διελύθη, σὺν αὐτοῖς ἀνδράσι καταφλεγεῖσα.

ΚΕΦ. ΙΕ'.

Περὶ τῆς διαφορᾶς Εὐσεβίου τοῦ Καισαρείας, καὶ Βασιλείου τοῦ μεγάλου, καὶ ὡς ἐντεῦθεν οἱ Ἀρειανοὶ θάρσος λαβόντες, τῇ Καισαρέων ἐπιφοιτῶσι, καὶ ἀποκρούονται.

1 Οὐάλης δὲ καταλιπὼν τὴν Νικομήδειαν, ἐπὶ τὴν Ἀντιόχειαν τὴν[a] ὁδὸν ἐποιεῖτο. Ἐν τούτῳ δὲ, Καππαδόκαις ἐνδημήσας, ὅπερ εἰώθει ποιεῖν, ἐσπούδαζε κακοῦν τοὺς ὀρθόφρονας, καὶ τὰς ἐνθάδε ἐκκλησίας
2 παραδιδόναι τοῖς τὰ Ἀρείου φρονοῦσι. Ῥᾳδίως τε τοῦτο κατορθώσειν ᾤετο, ἐκ τοῦ ἐκ[b] διαφορᾶς τινὸς

[y] Δακιβίζης correct. in Δακιδίζης, uti videtur, B. Δακίδης Steph. corr. Christ. Scal. Conf. Adnott. ad Socrat. iv. 16, 6.
[z] Ita B. et Valesius e cod. Fuk. διήρκει Steph. Genev.
[a] Ita B. C. τὴν om. ceteri.
[b] Ita B. ut conjecerat Valesius post Christophorsonum et Savilium.

nautæ, succensa nave, sicut ipsis fuerat imperatum, in scapham desilientes abscedunt. Navis vero ipsa secundo vento impulsa, Dacibizam usque, qui locus est in Bithynia ad mare situs, valuit pervenire. Sed simul atque ad terram appulit, dissoluta una cum ipsis hominibus conflagravit.

CAPUT XV.

De dissensione inter Eusebium Cæsariensem episcopum et Basilium magnum; et quomodo Ariani sumpta ex eo fiducia, Cæsariensem ecclesiam adorti sunt, ac repulsi.

At Valens, relicta Nicomedia, Antiochiam versus iter fecit. Quo quidem tempore cum in Cappadociam venisset, orthodoxos, ut solebat, exagitare, et illius provinciæ ecclesias Arianis tradere studuit. Idque eo facilius se consecuturum sperabat, quod dis-

εἰς λύπην καταστῆναι Βασίλειον Εὐσεβίῳ τῷ[c] τότε
ἐπιτροπεύοντι τὴν Καισαρέων ἐκκλησίαν· διὸ καὶ
πρὸς τὸν Πόντον ὑπεχώρησε, καὶ τοῖς ἐνθάδε φιλοσο-
2 φοῦσι μοναχοῖς συνῆν. Τὸ δὲ πλῆθος, καὶ μάλιστα
οἱ κράτιστοι καὶ σοφώτεροι, ἐν ὑπονοίᾳ τὸν Εὐσέβιον
εἶχον· καὶ ὡς φυγῆς αἴτιον γενόμενον ἀνδρὸς εὐδοκι-
μωτάτου ἐν τῷ βιοῦν καὶ λέγειν, ἀπολιπεῖν αὐτὸν
3 ἐβουλεύοντο, καὶ καθ' ἑαυτοὺς ἐκκλησιάζειν. Ἀλλ'
ὁ μὲν, ἵνα μὴ καὶ τὸ καθ' ἑαυτὸν ἐπιτρίψῃ τὴν ἐκκλη-
σίαν, οὐκ ἐνδεᾶ θορύβων διὰ τῆς ἐπαναστάσεις τῶν
ἑτεροδόξων, ἐν τοῖς περὶ[d] τὸν Πόντον φροντιστηρίοις
ἡσυχίαν ἦγε. Βασιλέα δὲ καὶ τοὺς ἀμφ' αὐτὸν ἐπι-
σκόπους, ἀεὶ γὰρ αὐτῷ συνῆσαν τῆς Ἀρείου αἱρέσεως,
προθυμοτέρους εἰς τὴν ἐπιχείρησιν ἐποίει ἡ Βασιλείου
ἀπουσία, καὶ τὸ περὶ Εὐσέβιον τοῦ λαοῦ μῖσος.
4 Ἀπέβη δὲ παρὰ γνώμην αὐτοῖς. Ἅμα γὰρ ἠγγέλ-
θησαν ἐπὶ Καππαδοκίαν ἐλαύνειν, καταλιπὼν τὸν
Πόντον Βασίλειος, ἐθελοντὴς εἰς Καισάρειαν ἧκε·
καὶ Εὐσεβίῳ σπεισάμενος, εὔνους ἦν· τῇ δὲ ἐκκλησίᾳ

[c] Ita B. C. τῷ om. ceteri. [d] παρὰ τὸν C.

sensio quædam ac simultas intercederet inter Basilium et Eusebium, qui tunc Cæsariensem ecclesiam administrabat. Qua de causa Basilius se in Pontum receperat; et cum monachis illic philosophantibus versabatur. Populus vero, ac præcipue optimi quique ac prudentissimi, Eusebium suspectum habere cœperunt: eique fugam viri, tum ob vitam, tum ob eloquentiam celeberrimi assignantes, deserere illum, et seorsum collectas agere meditabantur. Verum Basilius quidem, ne ecclesia ipsius causa perturbaretur, quæ alioqui ob hæreticorum insultus tumultibus nequaquam vacua erat, in monasteriis Ponti quiete degebat. Imperatori vero et episcopis qui cum illo erant, secum enim perpetuo habebat Arianæ sectæ antistites, animos addiderat absentia Basilii, et odium multitudinis adversus Eusebium. Verum conatus præter sententiam ipsis successit. Etenim simulatque nuntiatum est eos in Cappadociam contendere, Basilius Ponto decedens, suopte motu venit Cæsaream. Et cum Eusebio quidem in gratiam reversus est:

εἰς καιρὸν τοῖς λόγοις ἐπήμυνεν. Ὁ δὲ Οὐάλης ἀποτυχὼν τῆς σπουδῆς, ἄπρακτος ἅμα τοῖς σὺν[e] αὐτῷ ἐπισκόποις ἀπεχώρησε τότε.

ΚΕΦ. ΙϚʹ.

Ὡς μετὰ Εὐσέβιον Βασίλειος[f] τὴν Καππαδοκῶν ἐπετράπη, καὶ περὶ τῆς πρὸς Οὐάλεντα παρρησίας αὐτοῦ.

1 Μετὰ χρόνον δὲ πάλιν εἰς Καππαδοκίαν ἐλθών, καταλαμβάνει Βασίλειον τὰς τῇδε ἐκκλησίας ἐπιτραπέντα μετὰ τὴν Εὐσεβίου τελευτήν. Βουλευσάμενος δὲ αὐτὸν ἐξελάσαι, οὐχ ἑκὼν ἀπέσχετο τῆς ἐπιβουλῆς. 238
2 Ἅμα γὰρ τῇ ἐπιχειρήσει λέγεται τῆς ἐχομένης νυκτὸς τὴν αὐτοῦ γαμετὴν περιπεσεῖν δείμασι, καὶ Γαλάτην, τὸν υἱὸν ὃν μόνον εἶχε, ταχείᾳ νόσῳ ἀποθανεῖν. Ἐδόκει δὲ πᾶσι, τιμωρὸν γενόμενον τὸν Θεὸν τῶν κατὰ Βασιλείου βεβουλευμένων, ἐπὶ κακώσει τῶν τεκόντων,
3 ἀπολέσαι τὸν παῖδα. Ταῦτα δὲ καὶ Οὐάλης ὑπελάμβανεν. Ἀμέλει ἀποθανόντος μὲν τοῦ υἱέος, οὐκέτι

[e] σὺν suprascript. B.
[f] Βασίλεος ἐπετράπει, et mox παρρησίας editt.

ecclesiam vero opportune admodum eloquentiæ suæ subsidio adjuvit. Valens itaque una cum episcopis quos secum habebat conatu suo depulsus, tum quidem re infecta discessit.

CAPUT XVI.

Quomodo post Eusebium Basilius ecclesiam Cappadocum regendam suscepit: et de insigni ejus adversus Valentem in dicendo libertate.

Verum aliquanto post Valens in Cappadociam reversus, Basilium post mortem Eusebii ecclesiis illius provinciæ regendis præfectum reperit. Quem cum inde expellere constituisset, ab incœpto desistere coactus est. Nam simulatque id aggressus fuisset, insequenti nocte uxor ejus in somnis terrefacta dicitur, et Galates filius quem unicum habebat, repentina morte præreptus. Omnesque ita censuerunt, Deum ulciscentem insidias quæ adversus Basilium structæ essent, ad puniendos parentes, filium e medio sustulisse. Ipse etiam Valens ita judicavit. Certe mortuo filio, nullam

αὐτὸν ἠνώχλησεν· ἐν ᾧ δὲ περιῆν, καὶ κακῶς ἔχων
ἔμελλε τελευτᾷν, πέπομφε πρὸς αὐτὸν ἀντιβολῶν ὑπὲρ
4 αὐτοῦ τοῦ κάμνοντος εὔξασθαι. Ἅμα γὰρ ἀφίκετο
εἰς Καισάρειαν, μετακαλεσάμενος ὁ ὕπαρχος[g] τὸν
Βασίλειον, ἐκέλευσε τὰ βασιλέως φρονεῖν· ἀπει-
θοῦντι δὲ, ἠπείλησε θάνατον. Τὸν δὲ φάναι, πολλοῦ
ἄξιον ἔσεσθαι αὐτῷ, καὶ μεγίστην δώσειν χάριν, ὡς
ἐν τάχει τῶν δεσμῶν τοῦ σώματος[h] ἀπαλλάξειεν.
5 Ἐπεὶ δὲ τὴν τότε ἡμέραν καὶ τὴν ἑξῆς νύκτα ἐκέ-
λευσεν αὐτὸν ὁ ὕπαρχος βουλεύεσθαι[i], καὶ μὴ ἀπερι-
σκέπτως εἰς προῦπτον ἀλέσθαι[k] κίνδυνον, εἰς δὲ τὴν
ὑστεραίαν παρεῖναι, καὶ τὴν ἑαυτοῦ γνώμην δήλην
ποιεῖν, Ἐμοὶ μὲν, ἔφη, οὐ δεῖ βουλῆς· αὐτὸς γὰρ
ἔσομαι καὶ τῇ ὑστεραίᾳ· κτίσμα γὰρ ὢν[l], οὐκ ἀν-
έξομαι τὸν ὅμοιον προσκυνεῖν καὶ Θεὸν ὁμολογεῖν,
οὐδὲ κοινωνὸς σοί τε καὶ βασιλεῖ τῆς θρησκείας εἶναι.
6 Εἰ γὰρ καὶ λίαν ἐπίσημοι τυγχάνετε, καὶ οὐκ ὀλίγης

[g] ὁ ὕπαρχος om. B. Steph. inseruit Christ. Scal. Vales.

[h] σώματος λέγων αὐτὸν C.

[i] βουλεύσασθαι C.

[k] Ita Vales. et Scal. ἐλέσθαι B. Steph. Genev. ἀλεσθαι Christ. Curt., tanquam ἀλλεσθαι vellent.

[l] ὂν B., male: nam Θεοῦ τε κτίσμα τυγχάνων habet Gregor. Naz.

amplius molestiam exhibuit Basilio. Dum autem superesset, et morbo oppressus jamjam moriturus crederetur, misit ad Basilium, rogans atque obtestans ut pro ægroto Deum precari vellet. Cum enim venisset Cæsaream, statim præfectus prætorio evocatum ad se Basilium, eandem cum principe fidei doctrinam amplecti jussit; mortem minatus nisi obtemperaret. Basilius vero respondisse fertur, magno id sibi lucro fore, seque ingentia largiturum, ut quam citissime corporis vinculis liberaretur. Cumque præfectus jussisset, ut eo die et insequenti nocte consilium caperet, neve inconsiderate in apertum rueret periculum, sed ut postridie adesset, suamque sententiam promeret: Mihi vero, inquit Basilius, deliberatione opus non est. Idem enim qui nunc sum, cras etiam ero. Nam cum ipse creatura sim, numquam adduci potero ut mei similem adorem, Deumque confitear, utque ejusdem tecum et cum imperatore cultus particeps sim. Etsi enim admodum conspicui,

ἡγεῖσθε τῆς οἰκουμένης μοίρας, οὐ παρὰ τοῦτο τοῖς ἀνθρώποις χαριστέον, ὀλιγωρῆσαι δὲ τῆς εἰς τὸ θεῖον πίστεως, ἣν οὐκ ἄν ποτε προδοίην, οὔτε δήμευσιν οὐσίας, οὔτε ὑπερορίαν φυγὴν, οὔτε θάνατον καταδικασθείς. Ἐπεὶ τούτων οὐδέν με ἀνιᾷν δυνήσεται· εἴγε[1] οὐσίαν μὲν οὐκ ἔχω, ῥάκη[m] τε καὶ βιβλία ὀλίγα· οἰκῶ δὲ τὴν γῆν, ὡς ἀεὶ παροδεύων· σῶμα δὲ δι' ἀσθένειαν, μετὰ τὴν πρώτην πληγὴν, αἰσθήσεως καὶ
7 βασάνων κρεῖττον. Τοιαῦτα Βασιλείου παρρησιασαμένου, θαυμάσας τοῦ ἀνδρὸς τὴν ἀρετὴν ὁ ὕπαρχος ἀνήγγειλε τῷ βασιλεῖ. Ὁ δὲ, ἐπιτελουμένης τῆς τῶν Θεοφανίων ἑορτῆς, σὺν τοῖς ἄρχουσι καὶ δορυφόροις εἰς τὴν ἐκκλησίαν παραγενόμενος, δῶρά τε τῇ ἱερᾷ τραπέζῃ προσήνεγκεν, καὶ εἰς λόγους αὐτῷ ἦλθε, καὶ σοφίας, καὶ τοῦ περὶ τὸ ἱερᾶσθαι καὶ ἐκκλησιάζειν
8 κόσμου τε καὶ εὐταξίας ἐπῄνεσεν. Ἐκράτει δὲ ὅμως οὐκ εἰς μακρὰν ἐκ διαβολῆς τῶν ἐναντίων, ὑπερορίαν

[1] Correxi ex cod. Fuk. εἴ γε. Mallem tamen scribere ῥᾶκος δέ. Porro de hac secunda interrogatione Basilii coram Modesto præfecto prætorio, vide quæ notavi ad Socratis lib. iv. cap. 26. Neque enim opus est hic repetere ea quæ illic observata sunt. VALESIUS. εἰ γὰρ Steph. Genev. εἰ γὰρ correctum in εἴ γε habere videtur B. καὶ γὰρ Christ.

[m] ῥάκη B. Steph. Genev. ῥάκια ταῦτα τρίχινα Niceph. ῥᾶκος tacite Vales.

nec modicæ orbis terrarum parti imperatis, non ideo tamen hominibus gratificari decet, fidem vero in Deum negligere: quam ego quidem nunquam prodiderim, nec si bonorum proscriptione, aut exsilio, aut capitali sententia damnatus fuero. Nihil enim horum me dolore afficere poterit. Nam opes quidem nullas habeo, sed pallium duntaxat et paucos libros. In terris autem ita dego, quasi peregrinus. Corpus vero præ imbecillitate, post primam inflictam plagam, sensu doloris et cruciatibus superius erit. Quæ cum libere dixisset Basilius, præfectus virtutem viri admiratus, rem imperatori nuntiavit. Ille, cum festus Theophaniorum dies ageretur, una cum comitibus suis et protectoribus ad ecclesiam processit: et muneribus suis ad altare oblatis, in colloquium venit cum Basilio, eumque tum ob prudentiam, tum ob decorem atque gravi-

αὐτὸν οἰκεῖν. Καὶ ἡ νὺξ παρῆν, καθ' ἣν ἐδόκει τοῦτο
γίνεσθαι· ἐξαπίνης δὲ πυρετὸς ἐπιλαβὼν τοῦ βασι-
λέως τὸν υἱὸν, εἰς ἀθρόαν καὶ σφαλερὰν νόσον κατ-
9 έβαλε. Καὶ ὁ πατὴρ κατὰ τοῦ ἐδάφους ἐρρίπτετο,
ἔτι ζῶντα τὸν παῖδα πενθῶν· ἀμηχανῶν δὲ καὶ παν-
ταχόθεν σῶον αὐτὸν σπουδάζων ἔχειν, ἐπιτρέπει τοῖς
οἰκείοις μετακαλέσασθαι Βασίλειον εἰς ἐπίσκεψιν τοῦ
κειμένου· ἔναγχος γὰρ ὑβρισμένῳ ᾐδεῖτο αὐτὸς περὶ
τούτου κελεύειν. Ἅμα δὲ παρῆν, καὶ ὁ παῖς ῥᾷον 239
ἔσχεν, ὡς πολλοὺς[n] τότε ἰσχυρίζεσθαι, ὡς οὐκ ἂν
ἀπολώλει, εἰ μὴ καὶ ἑτεροδόξους ἅμα Βασιλείῳ συν-
10 εκάλεσεν, ὑπὲρ τοῦ[o] παιδὸς εὐξομένους. Λόγος δὲ
καὶ τὸν ὕπαρχον νόσῳ τότε περιπεσεῖν· ἀντιβολοῦντα
δὲ καὶ παραιτούμενον αὐτὸν ὑγιᾶ γενέσθαι. Ἀλλὰ
ταῦτα μὲν οὐ θαυμαστὰ ἴσως δόξειεν ἐπὶ Βασιλείῳ
σκοπούμενα, ἀνδρὶ φιλοσοφωτάτῳ[p] τε καὶ[q] λόγοις
ὑπερφυῶς εὐδοκιμήσαντι.

[n] πολλὰ J. Scal.
[o] τῷ B. C.
[p] Βασιλείου σκοπουμένῳ ἀνδρὸς φιλοσοφωτάτου C.
[q] φιλοσοφωτάτῳ ἔργοις τε καὶ B.

tatem qua sacerdotii munus obibat, et conventus agebat, magnopere suspexit. Paulo post tamen adversariorum calumniis effectum est, ut in exsilium mitteretur. Jamque aderat nox qua id perficiendum videbatur. Cum repente febris imperatoris filium corripiens, ancipiti ac periculoso morbo oppressit. Pater ipse humi provolutus, filium adhuc superstitem lugebat. Cumque ad inopiam consilii redactus esset, et omnibus modis incolumem sibi filium restitui studeret, permisit familiaribus, ut Basilium accerserent ad visendum ægrum. Id enim ipse ei mandare non audebat, quem paulo ante contumelia affecisset. Simulatque adfuit Basilius, puer melius habere cœpit: adeo ut multi affirmaverint, puerum omnino moriturum non fuisse, nisi una cum Basilio hæreticos etiam advocasset Valens, qui pro filio precarentur. Quinetiam præfectus eodem tempore in morbum incidisse fertur: cumque supplicaret ac veniam peteret, salutem recuperasse. Verum hæc minus admirabilia fortasse videbuntur in Basilio, viro excellenti philosophia prædito, et ob doctrinam atque eloquentiam ubique celebrato.

ΚΕΦ. ΙΖʹ.

Περὶ τῆς συμμαχίας Βασιλείου καὶ Γρηγορίου τοῦ θεολόγου· καὶ ὡς ἄκροι γενόμενοι ἐπὶ σοφίᾳ, τοῦ ἐν Νικαίᾳ δόγματος ὑπερίσταντο.

1 Σύγχρονοι δὲ ὄντες αὐτός τε καὶ Γρηγόριος, ὁμό-
ζηλοι ταῖς ἀρεταῖς, ὡς εἰπεῖν, ἐγνωρίζοντο. Ἄμφω
μὲν[r] γὰρ νέοι ὄντες, Ἱμερίῳ καὶ Προαιρεσίῳ, τοῖς
τότε δοκιμωτάτοις σοφισταῖς ἐν Ἀθήναις ἐφοίτησαν·
μετὰ ταῦτα δὲ, ἐν Ἀντιοχείᾳ Λιβανίῳ τῷ Σύρῳ· σο-
φιστεύειν δὲ καὶ δίκας ἀγορεύειν ὑπεριδόντες, φιλο-
2 σοφεῖν ἔγνωσαν κατὰ τὸν τῆς ἐκκλησίας νόμον. Ἐπί
τινα δὲ χρόνον τοῖς μαθήμασι τῶν παρ' Ἕλλησι φι-
λοσόφων ἐνδιατρίψαντες, καὶ τὰς ἐξηγήσεις τῶν ἱερῶν
λόγων ἐξακριβώσαντες ἐκ τῶν Ὠριγένους, καὶ τῶν
πρὸ αὐτοῦ καὶ μετ' ἐκεῖνον ἐν ταῖς ἑρμηνείαις[s] τῶν
ἱερῶν[t] βίβλων εὐδοκιμησάντων, μέγα ὄφελος κατὰ
τὸν παρόντα καιρὸν ἐγένοντο τοῖς ὁμοδόξοις τῶν ἐν
3 Νικαίᾳ συνελθόντων. Ἑκάτερος γὰρ ἀνδρείως συν-

[r] Ita B. C. μὲν om. ceteri.
[s] ἐξηγήσεσι B. Steph. corr. Christ. Scal.
[t] τῶν ἐκκλησιαστικῶν C. J. Christ. Scal.

CAPUT XVII.

De societate inter Basilium et Gregorium Theologum: et quomodo ambo excellenti doctrina præditi, Nicænam fidem defenderunt.

Iste porro et Gregorius, pari virtutis studio dediti, iisdem temporibus floruerunt. Ambo enim adhuc adolescentes, Himerium et Proæresium, sophistas ea tempestate celeberrimos, Athenis audierunt: postea vero Libanium Syrum Antiochiæ. Sed cum sophisticam professionem et causidicinam tandem sprevissent, juxta sacras ecclesiæ leges philosophari decreverunt. Porro cum aliquantum temporis in disciplinis philosophorum Gentilium consumpsissent, et sacrarum literarum expositionem partim ex commentariis Origenis, partim ex aliis, qui vel ante Origenem, vel post illum, in sacris voluminibus interpretandis non mediocrem laudem adepti sunt, accurate didicissent, maximo adjumento fuerunt iis qui eo tempore fidem Nicæni concilii sequebantur. Uterque enim eam doctrinam fortiter asserebat adversus Arianos.

ίστατο τούτῳ τῷ δόγματι πρὸς τοὺς τὰ Ἀρείου φρονοῦντας· καὶ διήλεγχεν ὡς μήτε τὰ ἄλλα ὀρθῶς φρονοῦντας[u], μήτε τὰς Ὠριγένους δόξας, αἷς μάλιστα
4 ἐπηρείδοντο. Κοινῇ δὲ συνθήκῃ, ἢ κλήρῳ, ὡς πρός τινων ἐπυθόμην, τοὺς κινδύνους ἐμερίσαντο. Καὶ Βασίλειος μὲν, τὰς πρὸς τὸν Πόντον περιϊὼν πόλεις, συνοικίας τε μοναχῶν πολλὰς ἐκεῖσε κατεστήσατο, καὶ τὰ πλήθη διδάσκων, ὁμοίως αὐτῷ φρονεῖν ἔπειθε.
5 Γρηγόριος δὲ, Ναζιανζοῦ πόλεως μικρᾶς ἐπισκοπεῖν[x] μετὰ τὸν αὐτοῦ πατέρα λαχὼν, ἀλλαχῇ τε τούτου χάριν καὶ μάλιστα τῇ Κωνσταντινουπόλει συνεχῶς ἐπεδήμει. Οὐ πολλῷ δὲ ὕστερον τοῦ τῇδε λαοῦ προστατεῖν[y] ἐπετράπη ψήφῳ πολλῶν ἱερέων· μήτε γὰρ ἐπισκόπου μήτε ἐκκλησίας οὔσης ἐνθάδε, ἐκινδύνευε 240
μηκέτι εἶναι λοιπὸν ἐν Κωνσταντινουπόλει τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου.

[u] Scribendum puto νοοῦντας. Verbum enim φρονοῦντας, ex superiore linea repetitum hic esse videtur ab oscitante librario. VALESIUS.

[x] ἐπισκοπὴν J. Christ. Curt. Scal.

[y] Ita Scal. Vales. quod Christ. in marg. libri sui adnotavit. ἐπισκοπεῖν B. Steph. Genev.

Eosque coarguebat, quod neque alia recte intelligerent, nec ipsas Origenis opiniones, quibus præcipue nitebantur. Ex communi autem consensu, sive, ut a nonnullis accepi, sortito, pericula inter se partiti sunt. Et Basilius quidem urbes Ponto finitimas circumiens, multa illic monachorum domicilia constituit, et populis prædicans, ut eandem cum ipso doctrinam fidei sequerentur persuasit. Gregorius vero episcopatum Nazianzi, quod est oppidum Cappadociæ, post parentis obitum sortitus, ejusdem rei causa tum aliis in locis, tum præcipue Constantinopoli, diu multumque versatus est. Nec multo post ejus civitatis episcopus multorum antistitum suffragio est constitutus. Nam cum nec episcopus, nec ecclesia illic esset, parum aberat quin doctrina Nicænæ fidei Constantinopoli in posterum extingueretur.

ΚΕΦ. ΙΗ΄.

Περὶ τοῦ γενομένου ἐν τῇ πρὸς Ὀρρόντην Ἀντιοχείᾳ διωγμοῦ· καὶ περὶ τοῦ ἐν Ἐδέσῃ εὐκτηρίου τοῦ ἀποστόλου Θωμᾶ, καὶ περὶ τῆς ἐκεῖσε συνάξεως, καὶ ὁμολογίας τῶν Ἐδεσηνῶν.

1 Ἐπεὶ δὲ[y] εἰς Ἀντιόχειαν παρεγένετο ὁ βασιλεὺς, παντελῶς ἐξήλασε τῶν ἐκκλησιῶν τῶν τῇδε, ἀνά τε τὰς πέριξ πόλεις, τοὺς ὁμοίως[z] φρονοῦντας τοῖς ἐν Νικαίᾳ συνελθοῦσι, καὶ παντοδαπαῖς ἐπέτριβεν αὐτοὺς τιμωρίαις· ὡς καί τινας ἰσχυρίζεσθαι, πολλοὺς αὐτῶν ἀνελεῖν ἄλλοις τε τρόποις, καὶ εἰς τὸν Ὀρρόν-
2 την ποταμὸν ἐμβάλλεσθαι προστάξαντα. Μαθὼν δὲ ἐν Ἐδέσῃ εὐκτήριον ἐπιφανὲς εἶναι Θωμᾶ τοῦ ἀποστόλου ἐπώνυμον, ἦλθε τοῦτο ἱστορῆσαι. Ἀφαιρεθέντων δὲ κἀνταῦθα τῶν εὐκτηρίων οἴκων, θεασάμενος ἐν πεδίῳ πρὸ τοῦ ἄστεος συνηγμένους τοὺς ἀπὸ τῆς καθόλου ἐκκλησίας, λέγεται τὸν καθόλου[a] ὕπαρχον λοιδορήσασθαι, καὶ πὺξ κατὰ τῆς σιαγόνος πλῆξαι, ὡς παρὰ τὴν αὐτοῦ πρόσταξιν συγχωρήσαντα γενέ-

[y] Ἐπειδὴ δὲ C.
[z] οὐχ ὁμοίως B.
[a] Vox καθόλου delenda est, utpote superflua, et ex priore linea perperam repetita. VALESIUS.

CAPUT XVIII.

De persecutione quæ facta est Antiochiæ ad Orontem: et de Basilica beati Thomæ apostoli Edessæ; et de collecta; deque confessione Edessenorum.

Porro imperator cum Antiochiam venisset, cunctos qui Nicænorum patrum doctrinæ adhærebant, tum ex illius civitatis, tum ex vicinarum urbium ecclesiis ejecit, omnique suppliciorum genere oppressit. Adeo ut nonnulli affirment, multos ejus jussu variis modis interfectos, quosdam etiam in Orontem fluvium præcipitatos fuisse. Cumque didicisset in urbe Edessa insignem esse Basilicam, Thomæ apostoli nomine nuncupatam, ejus spectandæ causa eo perrexit. Porro cum plebem ecclesiæ catholicæ in campo juxta civitatem collectas agere vidisset, nam et illic catholicis ademptæ erant ecclesiæ, præfectum graviter objurgavisse, et pugno maxillam ejus percussisse dicitur, quod contra ipsius præceptum, hujus-

3 σθαι τοιαύτας συνόδους. Ὁ δὲ Μόδεστος, τοῦτο γὰρ
ὄνομα τῷ ὑπάρχῳ ἦν, καίπερ ἑτερόδοξος ὤν, λάθρα
τοῖς Ἐδεσηνοῖς ἐμήνυσε, φυλάξασθαι τὴν ὑστεραίαν
μὴ συνελθεῖν εἰς τὸν εἰωθότα τόπον εὐξομένους[b]·
εἶναι γὰρ αὐτῷ προστεταγμένον παρὰ τοῦ βασιλέως,
τιμωρεῖσθαι τοὺς ἁλισκομένους. Καὶ ὁ μὲν ταῦτα
ἠπείλει, ἢ ὀλίγους, ἢ μηδένα προνοῶν κινδυνεῦσαι,
καὶ αὐτὸν παραιτεῖσθαι σπουδάζων πρὸς τὴν τοῦ κρα-
4 τοῦντος ὀργήν. Οἱ δὲ Ἐδεσηνοὶ, παρ' οὐδὲν ποιησά-
μενοι τὴν ἀπειλὴν, σπουδαιότερον ἢ προτοῦ, συνέρ-
ρεον ἕωθεν, καὶ τὸν εἰωθότα τόπον ἐπλήρουν. Ὁ δὲ
Μόδεστος, ἀγγελθέντος τούτου, οὐκ εἶχεν ὅ, τι καὶ
ποιήσειεν, ἀμηχανῶν δὲ τοῖς παροῦσιν, ὅμως ἐπὶ τὸ
5 πεδίον ᾔει. Γυνὴ δέ τις παιδάριον ἕλκουσα, καὶ τὸ
φᾶρος εἰκῇ ἐπισυρομένη παρὰ τὸν πρέποντα γυναικὶ
κόσμον, ὡς ἐπί τι σπουδαῖον ἐπειγομένη, τὴν ἡγου-
μένην τοῦ ὑπάρχου στρατιωτικὴν στίχα διέτεμεν.
Ἰδὼν δὲ Μόδεστος, προσέταξεν αὐτὴν συλληφθῆναι.

[b] Ita B., uti conjecerant Christoph. Savil. Muscul. et Vales. εὐξαμένους editt.

modi conventus fieri permisisset. At Modestus, hoc enim nomine vocabatur præfectus; licet alterius sectæ esset, clam tamen Edessenos submonuit, ut caverent ne postero die ad consuetum locum precandi causa convenirent. Sibi namque ab imperatore præceptum esse, ut in eos qui deprehensi essent animadverteret. Ac præfectus quidem ista minabatur, prospiciens ut nemo eorum, vel certe quam paucissimi in discrimen venirent, utque ipsemet imperatoris iram effugeret. Verum Edesseni spretis hujusmodi minis, primo diluculo, majore quam antea studio confluxerunt, et consuetum locum occuparunt. Ea re nuntiata, Modestus quid ageret nesciebat. Et quamvis in hoc rerum statu inops consilii esset, nihilominus ad campum perrexit. Interea mulier quædam puerum manu raptans, secus quam mulierem decet, pallium incomposite trahens militarem manum quæ præfectum anteibat perrupit, quasi ad magni momenti negotium festinans. Quod cum vidisset Modestus, mulierem comprehendi jussit Et accersitam ad se inter-

Καὶ προσκαλεσάμενος, ἀπῄτει λέγειν τοῦ δρόμου τὴν
6 αἰτίαν. Τῆς δὲ εἰπούσης, ἵνα θᾶττον καταλάβοι τὸ πεδίον ἔνθα συνιᾶσιν οἱ ἀπὸ τῆς καθόλου ἐκκλησίας, Μόνη οὖν[c], ἔφη Μόδεστος, οὐκ ἔγνως αὐτίκα μέλλειν ἐκεῖσε τὸν ὕπαρχον ἰέναι, καὶ οὓς ἂν εὕροι, πάντας ἀναιρήσειν; Ναίχι ἀκήκοα, φησί, καὶ διὰ τοῦτο μάλιστα δρόμου δεῖ μοι, ἵνα μὴ τοῦ καιροῦ κατόπιν γένωμαι, καὶ ἁμάρτω τῆς περὶ[d] Θεοῦ μαρτυρίας. Ἀτάρ, 241
τί γε τοῦτο τὸ παιδίον μεθ' ἑαυτῆς ἄγεις, ἤρετο ὁ ὕπαρχος· Ὡς ἄν γε καὶ αὐτὸ, ἔφη, τοῦ κοινοῦ πάθους
7 μετάσχῃ, καὶ τῶν ἴσων ἀξιωθείη. Θαυμάσας δὲ ὁ Μόδεστος τὴν γυναῖκα τῆς ἀνδρείας, ἀνέστρεψεν[e] εἰς τὰ βασίλεια. Καὶ κοινωσάμενος τῷ κρατοῦντι περὶ αὐτῆς, ἔπεισε μὴ χρῆναι τὸ δόξαν ἐπιτελεῖν, αἰσχρὸν

[c] γοῦν B.

[d] Christophorsonus et Savilius emendarunt τῆς παρὰ Θεοῦ. Sic enim vertit Christophorsonus: *Et propterea cursu mihi opus est, ne post tempus veniam, et ita martyrio a Deo oblato destituar.* Ita quoque legisse videtur Musculus, ut ex interpretatione ejus apparet. Sic enim ille, *ne tardius illo veniam, et a testimonio Dei deficiam.* Nicephorus quoque xi. 22, παρὰ legit in hoc Sozomeni loco. Sic enim habet: ἵνα μὴ κατόπιν γεγενημένη, τῆς παρὰ Θεῷ δόξης ἁμαρτῶ. Atque hæc lectio mihi quidem non displicet, modo μαρτυρίαν intelligamus confessionem illam, qua Deus in evangelio pollicetur confessurum se eos, qui ipsum coram hominibus confessi fuerint. Malim tamen hæc Sozomeni verba intelligere de confessione illa, qua martyres Deum confitentur. Sic περὶ Θεοῦ, idem erit ac ὑπὲρ Θεοῦ. VALESIUS.

[e] ἀνέτρεχεν cod. Fuk. VALESIUS. Christoph. Scal. idem habent.

rogavit, quæ causa cursus tam contenti esset. Respondit illa: Ut citius perveniam ad campum, in quo populus ecclesiæ catholicæ congregatur. Tum Modestus: Tune sola, inquit, ignoras præfectum eo statim venturum esse, et quotquot invenerit, simul omnes interfecturum? Immo vero, ait mulier, audivi. Atque idcirco cursu mihi opus est, ne tardius eo veniam, et martyrii gloria priver. Tum præfectus interrogavit. Cur vero puerum hunc tecum ducis? Ut et ipse, inquit mulier, particeps sit communis mali, et pari cum aliis præmio afficiatur. Admiratus mulieris fortitudinem Modestus, ad palatium recurrit. Cumque mulieris facinus

τοῦτο καὶ ἀσύμφορον ἐπιδείξας. Ἡ μὲν δὴ τῶν Ἐδεσηνῶν πόλις, πανδημεὶ τὸν εἰρημένον τρόπον ὑπὲρ τοῦ δόγματος ὡμολόγησεν.

ΚΕΦ. ΙΘʹ.

Τελευτὴ τοῦ μεγάλου Ἀθανασίου, καὶ Λουκίου τοῦ Ἀρειονόφρονος ἄνοδος εἰς τὸν θρόνον, καὶ ὅσα κακὰ τὰς ἐν Αἰγύπτῳ ἐκκλησίας κατέλαβε· καὶ ὡς Πέτρος ὁ μετὰ Ἀθανάσιον, διαδρὰς εἰς Ῥώμην διέβη.

1 Ὑπὸ δὲ τοῦτον τὸν χρόνον, ἐτελεύτησεν Ἀθανά-
σιος ὁ[f] τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπίσκοπος, ἀμφὶ
τεσσαράκοντα καὶ ἓξ ἐνιαυτοὺς τὴν ἀρχιερωσύνην
2 ἀνύσας. Τῶν δὲ τὰ Ἀρείου φρονούντων ἐν τάχει
τὴν αὐτοῦ τελευτὴν δηλωσάντων, οὐκ εἰς μακρὰν Εὐ-
ζώϊος παραγενόμενος, ὃς ἐν Ἀντιοχείᾳ τῆς Ἀρείου
αἱρέσεως προΐστατο, σὺν αὐτῷ δὲ καὶ Μάγνος ὁ τῶν
θησαυρῶν ταμίας παρὰ τοῦ βασιλέως ἀποσταλεὶς,
Πέτρον μὲν ᾧ τὴν ἐπισκοπὴν ἐπετρεψεν[g] Ἀθανάσιος,
συλλαβόμενοι καθεῖρξαν· Λουκίῳ δὲ τὴν Ἀλεξαν-

[f] Ita B. ὁ Ἀθαν. τῆς editt.

[g] προέτρεψεν B Steph. Genev. ἀνέτρεψεν Christ. ἐπέτρεψεν Scal. Vales. quæ tamen emendatio sola conjectura niti videtur, nisi quod nulla variatio in C. et J. notetur a collatore.

principi retulisset, persuasit ut ab incœpto desisteret; nec honestum, nec utile id esse ostendens. Ad hunc modum Edessenorum civitas universa Christi cultum confessa est.

CAPUT XIX.

De obitu magni Athanasii, cujus sedem invasit Lucius Arianus: et quot malis afflictæ sint Ægypti ecclesiæ: et quomodo Petrus successor Athanasii, fuga elapsus, Romam perrexit.

Sub idem tempus Athanasius Alexandrinæ ecclesiæ episcopus, fato functus est, cum sex et quadraginta circiter annos sacerdotium obtinuisset. Cumque mors ejus celeriter ab Arianis nuntiata fuisset, haud multo post Euzoïus Arianæ partis in urbe Antiochia episcopus, et una cum illo Magnus comes sacrarum largitionum ab imperatore missus, Petrum quidem, cui Athanasius episcopatum commiserat, comprehensum custodiæ mandarunt: Lucio vero Alexandrinam ecclesiam tradiderunt. Hinc factum est ut Ægyptii

3 δρέων ἐκκλησίαν παρέδωκαν. Ἐντεῦθεν δὲ, παρὰ[h]
τοὺς ἀλλαχόσε χαλεπώτερον συνέβη διατεθῆναι τοὺς
ἐν Αἰγύπτῳ· συμφοραί τε συμφοραῖς ἐπιγινόμεναι,
τοὺς ἀπὸ τῆς καθόλου ἐκκλησίας ἐπίεζον. Ἅμα γὰρ
τῇ Ἀλεξανδρέων ἐνεδήμησε, καὶ τὰς ἐκκλησίας κατα-
4 σχεῖν ἐπεχείρησεν. Ἀντιπεσόντος δὲ τοῦ πλήθους,
στάσεως αἰτία τοῖς κληρικοῖς ἐπλάκη καὶ ταῖς ἱεραῖς
παρθένοις· ὡς πολεμίων δὲ καταδραμόντων τὴν πόλιν,
οἱ μὲν ἔφυγον· οἱ δὲ, διωκόμενοι κατελαμβάνοντο, καὶ
δεσμῶται ἐφρουροῦντο· καὶ ἀπὸ τοῦ δεσμωτηρίου
προαγόμενοι[i], ἐτιμωροῦντο, οἱ μὲν, ὄνυξι καὶ βοείαις
αἰκιζόμενοι· οἱ δὲ, ὑπὸ λαμπάσι πυρὸς φλεγόμενοι.
Παράδοξον δὲ ἦν, ταῖς τιμωρίαις ἐπιβιῶναι· ἀποθα-

[h] Miror profecto, tres interpretes corruptionem hujus loci non animadvertisse, Langum scilicet, Musculum, et Christophorsonum. Sic enim vertit Langus: *Itaque Ægyptii longe graviores animos in exteros concepere.* Atque ita fere alii duo posteriores. Atqui facile erat locum restituere hoc modo, παρὰ τοὺς ἀλλαχόσε. Id est *hinc factum est ut Ægyptii, præ reliquis provinciis male vexati fuerint.* Jam supra observavimus non semel, has duas præpositiones confundi inter se solere in manuscriptis codicibus. Quoties igitur occurrit dubitandi locus de duabus præpositionibus, eam eligere debemus quæ sensui magis accommodata est. Verbi gratia, hoc in loco, si præpositionem περὶ retineas, nullus erit sensus, nec oratio cum præcedentibus cohærebit. Restituenda est ergo altera præpositio, quæ optimum et apertissimum habet sensum. Certe Henricus Savilius ad latus sui codicis notavit, *forte* παρά. VALESIUS. περὶ B. Steph. Genev. Niceph.

[i] Ita quoque legitur apud Nicephorum. Mallem tamen scribere προσαγόμενοι. VALESIUS.

acerbius vexati sint quam reliquæ provinciæ; et calamitates aliæ super alias ingruentes populum ecclesiæ catholicæ oppresserint. Nam simul atque Lucius Alexandriam venit, ecclesias occupare aggressus est. Sed cum vulgus palam ei restitisset, clerici et sacratæ virgines velut seditionis auctores in crimen vocati sunt. Prorsus autem quasi civitas ab hostibus occupata esset, alii fugiebant, alii a persequentibus capiebantur, et in vincula conjecti custodiebantur. Alii e carcere producti, pars ungulis ferreis et loris bubulis, pars ardentibus facibus perusti, cruciabantur. Instarque miraculi videbatur, post tormenta supervivere. Mori vero ante-

νεῖν δὲ πρὸ τῆς τούτων πείρας, ἢ ὑπερορίαν οἰκεῖν 5 καταδικασθῆναι, ζηλωτὸν ἐνομίζετο. Καὶ τὰ μὲν ὧδε ἐγίνετο. Πέτρος δὲ ὁ ἐπίσκοπος, διαδρὰς ἀπὸ τοῦ δεσμωτηρίου, ὡς πρὸς ὁμόδοξον τὸν Ῥωμαίων ἐπίσκοπον, νηὸς ἐπιτυχὼν, ἀνέπλευσεν. Οἱ δὲ Ἀρείου, καίπερ οὐ πολλοὶ ὄντες, τῶν ἐκκλησιῶν ἐκράτησαν.

6 Ἐν αὐτῷ δὲ καὶ βασιλέως ἐπηκολούθησε πρόσταγμα, 242 τῶν ὁμοδόξων τοῖς ἐν Νικαίᾳ συνελθοῦσιν Ἀλεξανδρείας τε καὶ αὐτῆς Αἰγύπτου ἀπελαῦνον ὅσους ἐκέλευε Λούκιος· ὧδε γὰρ ἦν προστεταγμένον τῷ ἡγουμένῳ τοῦ ἔθνους. Εὐζώϊος δὲ κατωρθωμένων ὧν ἐσπούδαζεν, ἐπὶ τὴν Ἀντιόχειαν ἀνέστρεψεν.

ΚΕΦ. Κ'.

Περὶ τοῦ διωγμοῦ τῶν ἐν Αἰγύπτῳ μοναχῶν, καὶ τῶν μαθητῶν τοῦ ἁγίου Ἀντωνίου· ὡς διὰ τὸ ὀρθὸν δόγμα ἔν τινι νησιδίῳ περιωρίσθησαν, καὶ τῶν θαυμάτων ἃ διεπράττοντο.

1 Ὁ δὲ Λούκιος παραλαβὼν τὸν ἡγεμόνα τῶν ἐν Αἰγύπτῳ στρατιωτῶν, σὺν πλήθει ἐπεστράτευσε τοῖς ἐν ταῖς ἐρήμοις μοναχοῖς. Ὤιετο γὰρ ἴσως εἰ διε-

quam hujusmodi cruciatus inferrentur, aut exsilio damnari, optabile censebatur. Et hæc quidem fiebant in hunc modum. Episcopus autem Petrus e carcere elapsus, conscensa nave, ad episcopum urbis Romæ, utpote ejusdem cum ipso fidei sectatorem, se contulit. Ariani vero, licet numero pauci, ecclesias obtinuerunt. Eodem tempore imperatoris rescriptum supervenit, ut ex concilii Nicæni sectatoribus, quotquot jussisset Lucius, Alexandria et universa Ægypto expellerentur. Sic enim mandatum fuerat præfecto Ægypti. Porro Euzoïus, rebus quas instituerat ad exitum perductis, Antiochiam reversus est.

CAPUT XX.

De persecutione monachorum Ægypti, et discipulorum sancti Antonii, qui ob rectæ fidei doctrinam in quandam insulam deportati fuerant, et de miraculis quæ perpetrarunt.

At Lucius, adjuncto sibi duce Ægypti, cum magna militum manu, adversus monachos in solitudine degentes expeditionem

νοχλήσειεν αὐτοὺς ἡσυχίας ἐρῶντας, πειθηνίους ἕξειν,
καὶ ταύτῃ μάλιστα τοὺς ἐν ταῖς πόλεσι Χριστιανοὺς
2 πρὸς αὐτὸν μεταστήσειν[k]· καθότι πολλοὶ καὶ θε-
σπέσιοι ἄνδρες προΐσταντο τότε τῶν αὐτόθι μονα-
στηρίων, καὶ πάντες τὴν Ἀρείου δόξαν ἀπεστρέφοντο·
τῇ δὲ τούτων μαρτυρίᾳ καὶ τὸ πλῆθος ἑπόμενον,
ὁμοίως ἐφρόνει· διαλέγεσθαι μὲν καὶ περὶ δογμάτων
ἀδολεσχεῖν οὔτε θέλον, οὔτε ἐπιστάμενον· παρ' ἐκεί-
νοις δὲ πειθόμενον[l] εἶναι τὴν ἀλήθειαν, οἳ τοῖς ἔργοις
3 τὴν ἀρετὴν ἐπεδείκνυντο· ὁποίους τότε τῶν Αἰγυ-
πτίων ἀσκητῶν ἡγεμόνας γενέσθαι ἀκούομεν, τοὺς
δύο Μακαρίους, οὓς ἐν τοῖς πρόσθεν ἔγνωμεν· καὶ
Πάμβω, καὶ Ἡρακλείδην, καὶ λοιποὺς Ἀντωνίου
4 μαθητάς. Λογισάμενος οὖν Λούκιος, ὡς οὐκ ἐγγενή-
σεται τοῖς Ἀρείου βεβαίως κρατῆσαι τῶν ἀπὸ τῆς
καθόλου ἐκκλησίας, εἰ μὴ τοὺς μοναχοὺς τούτους
ὁμόφρονας σφίσιν ἀποδείξειεν, ἐπεχείρει βιάζεσθαι·
5 πείθειν γὰρ οὐκ ἠδύνατο. Διημάρτανε δὲ καὶ οὕτως
τοῦ σκοποῦ. Εἰ καὶ ἀποθανεῖν δέοι, παρεσκευασμένων

[k] μετ' αὐτὸν καταστήσειν J. κατ' αὐτὸν καταστήσειν Vulc.
[l] πειθόμενος C.

suscepit. Sic enim existimabat, si homines tranquillitatis amantes molestius exagitaret, fore ut illos sibi morigeros haberet, eaque potissimum ratione Christianos in urbibus agentes ad suas partes traduceret. Multi enim tunc temporis admirabiles viri regionum illarum monasteriis præerant, omnesque pariter opinionem Arii adversabantur. Quorum testimonio adhærens multitudo vulgi, eandem cum illis doctrinam fidei profitebatur: quippe quæ de dogmatibus disputare et garrire, neque vellet, neque nosset: penes illos autem veritatem esse crederet, qui virtutem factis ipsis profiterentur. Cujusmodi tunc monachorum præfectos fuisse accepimus, Macarios duos, de quibus jam antea dictum est; et Pambo atque Heraclidem, et cæteros Antonii discipulos. Lucius igitur, cum animadverteret fieri non posse ut Ariani superiores essent catholicis, nisi istos monachos in Arianorum sententiam pertraxisset, vi eos cogere aggressus est, quando verbis persuadere non poterat. Sed ne sic quidem voti sui compos factus est:

αὐτῶν, καὶ τοὺς αὐχένας ἑτοίμως ὑποβαλλόντων τοῖς
5 ξίφεσιν, ἢ τῶν ἐν Νικαίᾳ δοξάντων ὑπεριδεῖν. Λέγεται δὲ τότε προσδοκωμένων αὐτοῖς ἐπιθήσεσθαι τῶν στρατιωτῶν, διακομισθῆναι τινὰ πρὸς αὐτοὺς ἐκ πολλοῦ τὰ ἄρθρα ἀπεσκληκότα, καὶ ἐπὶ ποδῶν στῆναι μὴ δυνάμενον. Ἐπεὶ δὲ ἐλαίῳ τοῦτον ἔχρισαν, παρεκελεύσαντο, ἐπ' ὀνόματι Χριστοῦ, ὃν Λούκιος διώκει, ἐξανίστασθαι, καὶ οἴκαδε ἀπιέναι· ἐξαπίνης δὲ ὑγιὴς γενόμενος ὁ ἄνθρωπος, ἀναφανδὸν ἀπέδειξε παραπλήσια χρῆναι δοξάζειν τούτοις, οἷς καὶ Θεὸς αὐτὸς ἀλήθειαν ἐπεψηφίσατο, κατηγορουμένου[m] Λουκίου, καὶ καλούντων ἐπακούσας καὶ τὸν κάμνοντα ἰασάμενος.
6 Ἀλλ' οὐ παρὰ τοῦτο μετεμελήθησαν οἱ τούτοις τοῖς μοναχοῖς ἐπιβουλεύοντες· εἰσότε δὴ νύκτωρ αὐτοὺς συλλαβόμενοι, διήγαγον εἰς Αἰγυπτίαν

[m] Rectius in cod. Fuk. κατηγορουμένου. Et post Λουκίου apposita est media distinctio seu mora. Quam lectionem ac distinctionem confirmat Nicephorus in xi. 27. Sic enim hunc Sozomeni locum expressit, οἷς καὶ Θεὸς τὴν χάριν ἐπιψηφίζεται τῇ κατηγορίᾳ Λουκίου. Quem locum ita vertit Langus, *quibus Deus Lucium accusantibus gratiam suam concederet.* Optime Langus interpretatus est verba Sozomeni. Neque enim alius potest esse sensus horum Sozomeni verborum. Sed Nicephorus non idem dicit quod Sozomenus. Vult enim dicere, quantum quidem ex verbis illius conjicio, Deum monachis illis gratiam sanandi ægri ideo concessisse, quod Lucium tanquam impium accusassent. VALESIUS. κακηγορουμένου B.

illis mori quoque, si opus esset, paratis, et cervices suas gladiis ultro subjicientibus potius, quam ut synodi Nicænæ decreta violarent. Porro eo ipso tempore quo milites in eos impetum facturi erant, quidam ad eos perlatus esse dicitur, cujus artus jamdudum ita arefacti erant atque extenuati, ut pedibus insistere non posset. Quem cum oleo unxissent, jusserunt ut in nomine Christi quem Lucius persequebatur, exsurgeret ac domum rediret. Ille autem repente sanatus, perspicue demonstravit, illorum doctrinæ assentiendum esse, penes quos Deus veritatem esse testatus fuisset: etiam cum accusatione Lucii invocantes ipsum exaudiens, et ægrotum sanitati restituens. Nec idcirco tamen resipuerunt ii qui monachis istis insidiabantur: sed noctu eos comprehensos, in

τινὰ νῆσον ὑπὸ λιμνῶν κυκλουμένην. Ὤικουν δὲ
ταύτην ἄνδρες ἀμύητοι τοῦ Χριστιανῶν δόγματος, 243
καὶ δεισιδαίμονες· καθότι καὶ παλαιοτάτου ναοῦ παρ'
7 αὐτοῖς ὄντος, πολὺ τούτου σέβας εἶχον. Ὡς δὲ κατῆ-
ραν ἐνταῦθα[n], φασὶν ἅμα τῇ ἐπιβάσει τῶν ἀνδρῶν,
δαίμονι κρατηθεῖσαν τὴν θυγατέρα τοῦ ἱερέως εἰς
ἀπάντησιν αὐτοῖς ἐλθεῖν· θεούσης δὲ καὶ βοώσης
τῆς κόρης, καταπλαγέντες οἱ τῇδε ἄνθρωποι τῷ αἰ-
8 φνιδίῳ καὶ παραδόξῳ τοῦ πράγματος, εἵποντο. Ὡς
δὲ πρὸς τῇ νηὶ ἐγένετο[o], ἣ τοὺς ἱεροὺς πρεσβύτας
ἔφερε, ποτνιωμένη καὶ εἰς γῆν[p] κυλινδουμένη ἱκέτευε
καὶ μέγα ἀνέκραγε· Τί δὴ καὶ πρὸς ἡμᾶς ἥκετε, ὦ
τοῦ μεγάλου Θεοῦ θεράποντες; νησίον γὰρ τοῦτο
παλαιὸν ἡμῖν ἐστὶν οἰκητήριον· ὀχλοῦμεν δὲ οὐδενί·
πᾶσι δὲ τοῖς ἀνθρώποις ἀγνῶτες, αὐτόθι λανθάνομεν,
ταύταις ταῖς λίμναις περικεκλεισμένοι πάντοθεν· εἰ
δὲ τοῦτο φίλον ὑμῖν, δέχεσθε τὸ ἡμέτερον κτῆμα,
9 καὶ οἰκεῖον ποιήσατε· ἡμεῖς δὲ ὑπείκομεν. Καὶ ἡ μὲν
τοιαύτας ἠφίει φωνάς· ἐπιτιμησάντων δὲ τῷ δαι-

[n] *ἐντεῦθεν* B. Steph. Christ. Scal.

[o] *ἐγένοντο* B. non male, nam *perveniunt* habet Rufinus.

[p] Ita C. Niceph. *ἐπὶ γῆν* ceteri. Tum *καλινδουμένη* B.

quandam Ægypti insulam quæ paludibus undique cincta est, abduxerunt. Incolæ ejus insulæ, religionis Christianæ penitus expertes erant, et dæmonum cultui dediti. Templum enim quod apud ipsos erat vetustissimum, summa religione venerabantur. Eo cum appulissent, fertur filiam sacerdotis quæ a dæmone obsessa erat, illis e nave egredientibus obviam venisse. Quæ cum curreret clamaretque, insulani repentina et improvisa re stupefacti, puellam sequebantur. Postquam vero accessit ad navem quæ sanctos senes vehebat, ejulans et humi provoluta supplicare cœpit, altaque voce clamare: Quid ad nos venistis, o famuli magni Dei? Hæc enim insula nobis vetus domicilium est. Nemini molesti sumus: sed cunctis mortalibus ignoti, hic delitescimus, paludibus istis undique circumclusi. Quod si vobis ita placet, hanc nostram possessionem accipite, et vestro juri vindicate: nos ea cedimus.

μονίῳ τῶν ἀμφὶ Μακάριον, ἡ παῖς ἐσωφρόνησεν[q]·
ἐντεῦθεν[r] δὲ ὁ ταύτης πατὴρ σὺν τοῖς οἰκείοις, καὶ
ἡ νῆσος πανδημεὶ εἰς Χριστιανισμὸν μετέβαλλε[s]·
καὶ ἀμελλητὶ[t] καθελόντες τὸν παρ' αὐτοῖς ναὸν, εἰς
10 ἐκκλησίαν μετεσκεύασαν. Ταῦτα δὲ τοῖς ἐν Ἀλε-
ξανδρείᾳ ἀγγελλόμενα, οὐ μετρίως ἐλύπει τὸν Λού-
κιον· ἐκινδύνευε γὰρ καὶ παρὰ τῶν ἰδίων μισεῖσθαι[u],
ὡς οὐκ ἀνθρώποις, ἀλλὰ αὐτῷ τῷ Θεῷ πόλεμον προ-
φανῆ καταγγέλλων[x]· αὐτίκα τε λάθρα τοὺς ἀμφὶ
Μακάριον ἐπὶ τὰ ἴδια ἤθη καὶ τὴν ἔρημον ἐπανελθεῖν
11 προσέταξεν. Ὁ μὲν οὖν Λούκιος ὧδε τὴν Αἴγυπτον
ἐδόνει. Ὑπὸ δὲ τοῦτον τὸν χρόνον, οὐ μόνῳ[y] Διδύμῳ
τῷ φιλοσόφῳ κατ' ἐκεῖνο καιροῦ ἀκμάζοντι, ἀλλὰ καὶ
ἄλλοις ἐλλογίμοις διέπρεπεν· ὧν εἰς τὴν ἀρετὴν
ἀποβλέπουσα καὶ τῶν αὐτόθι μοναχῶν, ἐναντίως
εἶχε τοὺς ἀμφὶ Λούκιον. Παρευδοκίμει[z] δὲ τοὺς

[q] Ita B. ἐσοφρόνησεν editt.
[r] ἐνταῦθα C.
[s] μετέβαλε B.
[t] Ita correxi vulgatum ἀμελητὶ: *statim* Rufinus.
[u] καὶ περὶ τῶν δύο μισ. C. Scal.
[x] καταγγελῶν C. mendose καταγγέλων Reading.
[y] μόνον C.
[z] Mallem scribere παρηυδοκίμει τε etc. ut hæc uno contextu scribantur, junganturque cum præcedentibus. VALESIUS.

Et puella quidem hæc vociferabatur. Sed cum Macarius ejusque comites dæmonem objurgassent, puella ad sanam mentem rediit. Quo facto, et pater virginis illius cum omni familia, et universa insula ad Christianam religionem conversa est: et fanum, quod apud ipsos erat, demoliti, in ecclesiam commutarunt. Hæc cum Alexandriæ nuntiata essent, Lucium non mediocri dolore affecerunt. Verebatur enim ne ipse in suorum odium incurreret, quippe qui non hominibus, sed Deo ipsi bellum indixisset. Statim igitur occulte mandavit, ut qui cum Macario erant, ad suas sedes et in solitudinem reverterentur. Ac Lucius quidem Ægyptum hoc modo perturbavit. Quæ quidem per id tempus non Didymo solum philosopho, qui ea tempestate floruit, sed et aliis doctissimis viris emicabat. Ad istorum igitur virorum, et ad monachorum de quibus dixi virtutem oculos adjiciens ecclesia

Ἀρείου πολλῷ τοῖς πλήθεσι, καὶ διωκομένη ἡ κατ' Αἴγυπτον ἐκκλησία.

ΚΕΦ. ΚΑ'.

Κατάλογος τῶν τόπων, ἔνθα τὸ δόγμα τῶν ἐν Νικαίᾳ ἐπρεσβεύετο· καὶ περὶ τῆς τῶν Σκυθῶν πίστεως, καὶ περὶ Βρετανίωνος τοῦ ἡγουμένου τοῦ ἔθνους.

1 Τοῦτο δὲ τότε συνέβαινε καὶ παρὰ Ὀσροηνοῖς· οὐ μὴν ἀλλὰ καὶ Καππαδόκαις, οἷά γε[a] ξυνωρίδα τινὰ θείαν καὶ λογιωτάτην λαχοῦσι, Βασίλειον τὸν Καισαρείας τῆς παρ' αὐτοῖς ἐπίσκοπον, καὶ Γρηγόριον τὸν Ναζιανζοῦ. Συρία δὲ καὶ τὰ πέριξ ἔθνη, καὶ μάλιστα ἡ τῶν Ἀντιοχέων πόλις, ἐν ἀταξίαις καὶ ταραχαῖς ἦσαν, πλειόνων μὲν ὄντων τῶν τὰ Ἀρείου
2 φρονούντων, καὶ τὰς ἐκκλησίας ἐχόντων. Οὐκ ὀλίγων δὲ ὄντων καὶ τῶν ἀπὸ τῆς καθόλου ἐκκλησίας, οὓς Εὐσταθιανοὺς καὶ Παυλιανοὺς[b] ὠνόμαζον, ὧν 244
ἡγεῖτο Παυλῖνός τε καὶ Μελέτιος, ὡς ἐν τοῖς πρόσθεν

[a] Ita B.C. τε editt.

[b] Apparet scribendum esse Παυλινιανούς, a Paulino presbytero partis Eustathii, quem Lucifer episcopum Antiochenum ordinaverat. Atque ita legitur apud Niceph. xi. 29. VALESIUS.

Ægypti, Lucio ejusque asseclis repugnabat. Et quanquam persecutionem sustineret, Arianos tamen multitudine longe superabat.

CAPUT XXI.

Enumeratio provinciarum in quibus Nicæna fides prædicabatur: et de Scytharum fide, deque Vetranione ejus gentis episcopo.

Idem quoque tunc temporis apud Osdroenos accidit; et apud Cappadoces, quippe quibus par quoddam mirabile prorsusque divinum obtigerat, Basilius scilicet primariæ apud ipsos urbis Cæsareæ episcopus, et Gregorius Nazianzi. Syria vero et finitimæ provinciæ, ac præcipue civitas Antiochia, in maxima perturbatione ac tumultu versabantur: cum Ariani quidem numero plures essent et ecclesias obtinerent: catholici tamen haudquaquam pauci essent; quos Eustathianos et Paulinianos vocabant; quibus Paulinus præerat ac Meletius, ut supra retulimus. Horum ope

ἔγνωμεν· διὰ δὲ τούτους, ἡ Ἀντιοχέων ἐκκλησία
πᾶσα κινδυνεύσασα γενέσθαι τῆς Ἀρείου αἱρέσεως,
μόλις ὑπερέσχεν ἐναντίον τῆς βασιλέως σπουδῆς, καὶ
τῶν ἀμφ' αὐτὸν δυναμένων. Ὡς ἔοικε γὰρ, εἰ συνέβη
ἀνδρείους τὰς ἐκκλησίας ἰθύνειν, οὐ μετεβάλοντο[c]
3 τῆς προτέρας δόξης τὰ πλήθη. Ἀμέλειτοι καὶ Σκύ-
θας λόγος διὰ τοιαύτην[d] αἰτίαν ἐπὶ τῆς αὐτῆς μεῖναι
πίστεως. Τοῦτο δὲ τὸ ἔθνος, πολλὰς μὲν ἔχει καὶ
πόλεις καὶ κώμας, καὶ φρούρια· μητρόπολις δέ ἐστι[e]
Τόμις, πόλις μεγάλη καὶ εὐδαίμων, παράλιος ἐξ εὐω-
νύμων εἰσπλέοντι τὸν Εὔξεινον καλούμενον[f] πόντον.
Εἰσέτι δὲ καὶ νῦν ἔθος παλαιὸν ἐνθάδε κρατεῖ, τοῦ
παντὸς ἔθνους ἕνα τὰς ἐκκλησίας ἐπισκοπεῖν· κατὰ
δὴ τὸν παρόντα καιρὸν, ἐπετρόπευε τούτων Βρεττα-
4 νίων· καὶ Οὐάλης ὁ βασιλεὺς ἧκεν εἰς Τόμιν. Ἐπεὶ
δὲ εἰς τὴν ἐκκλησίαν ἀφίκετο, καὶ ὡς εἰώθει ἔπειθεν
αὐτὸν κοινωνεῖν τοῖς ἀπὸ τῆς ἐναντίας αἱρέσεως, ἀν-
δρείως μάλα πρὸς τὸν κρατοῦντα παρρησιασάμενος

[c] Ita B. μετεβάλλοντο ceteri.
[d] Ita B. Steph. ταύτην tacite Genev. Vales.
[e] δὲ αὐτῇ, linea in transversum inducta. B.
[f] καλούμενον om. B. Steph. inseruit Christoph. Curt. Vales.

Antiochensis ecclesia, cum parum abfuisset quin universa Arianam amplecteretur hæresim, ægre admodum imperatoris conatibus et eorum qui apud imperatorem plurimum poterant, resistere valuit. Ubicumque enim a generosis et fortibus viris ecclesiæ regebantur, populi, ut verisimile est, priorem sententiam non mutabant. Certe Scythas hanc ob causam in pristina fide permansisse narrant. Hæc autem provincia multas urbes et vicos continet et castella. Metropolim autem habet Tomes, urbem magnam et opulentam, ad mare sitam, in sinistro latere ponti Euxini. Porro vetus illic consuetudo etiamnum manet, ut totius provinciæ ecclesias unus tantum regat episcopus. Per id tempus ecclesiis præerat Vetranio, tunc cum imperator Valens ad urbem Tomes advenit. Qui cum ecclesiam ejus loci ingressus esset, et ut solebat suaderet episcopo, ut cum Arianis communicaret, Vetranio constanter et libere coram imperatore locutus de doctrina fidei

περὶ τοῦ δόγματος τῶν ἐν Νικαίᾳ συνελθόντων, κατέ-
λιπεν αὐτὸν, καὶ εἰς ἑτέραν ἦλθεν ἐκκλησίαν· καὶ ὁ
5 λαὸς ἐπηκολούθησε. Σχεδὸν δὲ πᾶσα ἡ πόλις συνε-
ληλύθεισαν, βασιλέα τε[g] ὀψόμενοι, καὶ νεώτερον ἔσε-
σθαί τι προσδοκήσαντες· ἀπολειφθεὶς δὲ Οὐάλης
σὺν τοῖς ἀμφ' αὐτὸν, χαλεπῶς ἤνεγκε τὴν ὕβριν·
καὶ συλληφθέντα Βρεττανίωνα, εἰς ὑπερορίαν ἄγε-
6 σθαι προσέταξε. Καὶ οὐκ εἰς μακρὰν αὖθις ἐπανά-
γεσθαι ἐπέτρεψε. Χαλεπαίνοντας γὰρ οἶμαι πρὸς τὴν
φυγὴν τοῦ ἐπισκόπου ἰδὼν τοὺς Σκύθας, ἐδεδίει μή
τι νεωτερίσωσιν, ἀνδρείους τε ἐπιστάμενος, καὶ τῇ
θέσει τῶν τόπων ἀναγκαίους τῇ Ῥωμαίων οἰκουμένῃ,
καὶ τῶν κατὰ τόδε τὸ κλίμα βαρβάρων προβεβλη-
μένους. Βρεττανίων μὲν οὖν ὧδε κρείττων ἀνεφάνη
τῆς τοῦ κρατοῦντος σπουδῆς· ἀνὴρ τά τε ἄλλα ἀγα-
θὸς, καὶ ἐπὶ ἀρετῇ βίου ἐπίσημος, ὡς καὶ αὐτοὶ Σκύ-
7 θαι μαρτυροῦσιν. Ὡς ἐπίπαν δὲ πᾶς κλῆρος ἐπειράθη
διὰ ταῦτα τῆς τοῦ βασιλέως ὀργῆς, πλὴν τῶν πρὸς
ἑσπέραν τῆς ἀρχομένης τῶν ἐκκλησιῶν· καθότι τῶν

g Ita B. τε om. ceteri.

Nicænæ, ab eo discessit, et ad aliam ecclesiam se contulit: quem populus quoque secutus est. Universa autem fere civitas confluxerat, imperatoris videndi causa, et quia novi quidpiam eventurum credebatur. At Valens una cum suis derelictus contumeliam iniquo animo tulit. Quocirca Vetranionem comprehensum, in exsilium abduci jubet: nec multo post redeundi ei copiam fecit. Nam cum Scythas, ut opinor, ob exsilium episcopi sui indignantes videret, metuere cœpit ne quid novarum rerum molirentur. Norat enim eos forti animo præditos esse, et ob situm locorum utiles ac necessarios esse imperio Romano, valli instar objectos finitimis barbaris. Hunc in modum Vetranio conatus principis superavit: vir et in reliquis rebus eximius, et vitæ integritate conspicuus, sicut ipsimet Scythæ testantur. His de causis omnes fere ubique clerici imperatoris iram experti sunt, exceptis Occidentalium partium ecclesiis. In illis enim regionibus regnabat

ἐπέκεινα Ῥωμαίων ἦρχεν Οὐαλεντινιανὸς, ἐπαινέτης τε ὢν τοῦ δόγματος τῆς ἐν Νικαίᾳ συνόδου, καὶ εὐλαβῶς εἰς ἄγαν περὶ τὸ θεῖον ἔχων· ὡς μήτε ἐπιτάττειν τοῖς ἱερεῦσι μηδὲν, μήτε ἄλλως αἱρεῖσθαι νεωτερίζειν ἐπὶ χείρονι ἢ ἀμείνονι δοκοῦντι παρὰ[h] τοὺς τῆς ἐκκλησίας θεσμούς· τάδε γὰρ κρείττω τῆς αὐτοῦ δοκιμασίας ἡγεῖτο, καίπερ βασιλεὺς ἄριστος γεγονὼς, καὶ ἱκανὸς ἄρχειν διὰ τῶν πραγμάτων φανείς.

ΚΕΦ. ΚΒʹ.

Ὅτι κατ' ἐκεῖνο καιροῦ κινηθέντος τοῦ περὶ τοῦ ἁγίου πνεύματος λόγου, ἐκυρώθη ὁμοούσιον λέγεσθαι πατρί τε καὶ υἱῷ.

1 Ἐν τούτῳ δὲ πάλιν, ἤδη μὲν πρότερον ἀρξαμένη
νῦν δὲ πλέον ἐπιδοῦσα, ζήτησις[i] ἦν, εἰ καὶ τὸ ἅγιον
Πνεῦμα Πατρί τε καὶ Υἱῷ ὁμοούσιον δοξάζειν προσ-
ήκεν. Ἐριστικαί τε περὶ τούτου πολλαὶ διαλέξεις
οὐχ ἧττον ἢ πρότερον περὶ τοῦ Θεοῦ Λόγου συνέβη-
2 σαν. Κατὰ τοῦτο δὲ ἀλλήλοις συνεφέροντο οἵ τε
ἀνόμοιον καὶ ὁμοιοούσιον τὸν υἱὸν εἶναι λέγοντες·

[h] παρὰ τὰ καθάπαξ νομοθετηθέντα Niceph. xi. 30. περὶ codd. et editt.
[i] ἡ ζήτησις tacite Valesius.

Valentinianus, qui et Nicænæ synodi doctrinam sequebatur, et erga divinum numen adeo pie erat affectus, ut neque imperaret quidquam sacerdotibus, neque omnino novare aliquid in ecclesiasticis sustineret, si quid sibi deterius aut rectius visum fuisset. Has enim res, examine ac judicio suo præstantiores esse existimabat, quamvis eximius esset imperator, et ad res gerendas, ut experimento patuit, aptissimus.

CAPUT XXII.

Quomodo tunc temporis cum de Spiritu sancto mota esset quæstio, eum Patri et Filio consubstantialem esse decretum est.

Eodem tempore rursus mota est quæstio, utrum Spiritus sanctus ejusdem cum Patre et Filio substantiæ censendus esset: quæ quidem quæstio cum jam pridem cœpta fuisset, tunc maximum incrementum acceperat. Multæ igitur hac de re disputationes magna contentione factæ, non minus quam antea de Deo Verbo. Porro in hac controversia Anomœani, et ii qui Filium Patri si-

ἀμφότεροι γὰρ διακονικὸν, καὶ τρίτον τῇ τάξει καὶ
τῇ τιμῇ, καὶ τῇ οὐσίᾳ ἀλλοῖον τὸ Πνεῦμα ἰσχυρί-
ζοντο· ὅσοι δὲ ὁμοούσιον τῷ Πατρὶ τὸν υἱὸν ἐδόξα-
3 ζον, τὰ αὐτὰ καὶ περὶ τοῦ Πνεύματος ἐφρόνουν. Οὐκ
ἀγεννῶς δὲ τούτῳ τῷ λόγῳ συνίσταντο, ἐν μὲν τῇ
Συρίᾳ Ἀπολινάριος ὁ Λαοδικεύς· ἐν Αἰγύπτῳ δὲ
Ἀθανάσιος ὁ ἐπίσκοπος· παρὰ δὲ Καππαδόκαις καὶ
ταῖς ἀνὰ τὸν Πόντον ἐκκλησίαις, Βασίλειος καὶ Γρη-
4 γόριος. Ἀνακινουμένης δὲ τῆς τοιαύτης ζητήσεως,
καὶ ὡς εἰκὸς ταῖς φιλονεικίαις ὁσημέραι πλέον ἐπιδι-
δούσης, μαθὼν ὁ Ῥώμης ἐπίσκοπος, ἔγραψε ταῖς ἀνὰ
τὴν ἕω ἐκκλησίαις, σὺν τοῖς ἀπὸ τῆς δύσεως ἱερεῦσι,
Τριάδα ὁμοούσιον καὶ ὁμόδοξον πρεσβεύειν. Τούτου
δὲ γενομένου, ὡς ἐπικεκριμένοις ἅπαξ παρὰ τῆς Ῥω-
μαίων ἐκκλησίας, ἡσυχίαν ἦγον ἕκαστοι, καὶ τέλος
ἔχειν ἔδοξεν ἡ τοιαύτη ζήτησις.

ΚΕΦ. ΚΓʹ.

Περὶ τελευτῆς Λιβερίου Ῥώμης, καὶ Δαμάσου καὶ Συρικίου[k] τῶν μετ' αὐτόν· καὶ ὡς ἐν ἑσπέρᾳ, πᾶσα τὸὀ ρθὸν ἐδόξαζε, πλὴν Μεδιολάνων, καὶ Αὐξεντίου τοῦ ταύτης ἀρχιερέως· καὶ περὶ τῆς ἐν Ῥώμῃ συνόδου, ἥτις καθεῖλεν Αὐξέντιον, καὶ τοῦ ὅρου ὃν ἔγραψε.

1 Περὶ δὲ τοῦτον τὸν χρόνον Λιβερίου τελευτήσαντος,

[k] Corrige Οὐρσίκιος et mox ὡς ἡ ἑσπέρα.

milem quoad substantiam asserebant, inter se consenserunt. Utrique enim Spiritum sanctum ministrum esse, ut ordine atque honore tertium, et substantia dissimilem asseverabant. Quicumque vero Filium Patri consubstantialem esse profitebantur, idem quoque sentiebant de Spiritu. Quam doctrinam in Syria quidem Apollinaris Laodicenus: in Ægypto autem Athanasius episcopus; in Cappadocia vero et in ecclesiis Ponti, Basilius et Gregorius acerrime tutati sunt. Porro cum hæc quæstio agitaretur, et contendendi studio magis magisque in dies cresceret, episcopus urbis Romæ, re comperta scripsit ad Orientis ecclesias, ut Trinitatem consubstantialem, et honore gloriaque æqualem, una cum Occidentalibus episcopis confiterentur. Quo facto, utpote controversia judicio Romanæ ecclesiæ terminata, singuli quievere: eaque quæstio finem tandem accepisse videbatur.

ἐπιτρέπεται Δάμασος τὸν Ῥωμαίων θρόνον. Ὑπό-
ψηφος δὲ ὢν τῇ χειροτονίᾳ καὶ Οὐρσίκιός[1] τις διά-
κονος, ἀποτυχὼν οὐκ ἤνεγκε· λάθρα δὲ ὑπό τινων
ἀσήμων ἐπισκόπων χειροτονηθεὶς, διασπᾶν τὸν λαὸν
2 ἐσπούδαζε, καὶ καθ' ἑαυτὸν ἐκκλησιάζειν. Μερισθέν- 246
τος δὲ τοῦ πλήθους, οἱ μὲν τοῦτον, οἱ δὲ Δάμασον
ἐπίσκοπον ἠξίουν· καὶ πολλὴ τὸν δῆμον, ὡς εἰκὸς,
ἔρις εἶχε καὶ στάσις, ὡς μέχρι καὶ τραυμάτων καὶ
φόνων τὸ κακὸν προελθεῖν, εἰσότε δὴ ὁ τῆς Ῥώμης
ὕπαρχος πολλοὺς τοῦ δήμου καὶ τοῦ κλήρου τιμω-
ρίαις ὑπολαβὼν, ἔπαυσε τὴν Οὐρσικίου ἐπιχείρησιν.
3 Δογμάτων δὲ πέρι, καθὰ πρότερον, οὔτε Ῥωμαῖοι
διεφέροντο, οὔτε ἕτεροι τῶν ἀνὰ τὴν δύσιν· ἀλλὰ
πάντες τὰ δόξαντα τοῖς ἐν Νικαίᾳ συνελθοῦσιν ἐπῄ-
νουν, καὶ Τριάδα ἰσότιμόν τε καὶ ἰσοδύναμον ἐδόξα-
4 ζον. Πλὴν τῶν ἀμφὶ τὸν Αὐξέντιον· ὃς προεστὼς

[1] Οὐρσῖνος Socrat. Οὐρσάκιος editt. Conf. Annott.

CAPUT XXIII.

De morte Liberii episcopi Romani: deque Damaso et Ursino qui post illum fuerunt. Et quod universus Occidens præter Mediolanum et Auxentium ejus episcopum, recte sentiebat. Item de synodo Romana quæ Auxentium deposuit, et de regula quam promulgavit.

Per idem tempus mortuo Liberio, Damasus Romanæ sedis administrationem suscepit. Qua in ordinatione Ursinus quidam diaconus quorundam suffragiis nominatus, cum repulsam passus esset, ferre non potuit: sed clam ab obscuris quibusdam episcopis ordinatus, ecclesiam discerpere, et separatim collectas agere conabatur. Diviso igitur populo, alii quidem istum, alii vero Damasum præferebant episcopum. Hinc, ut verisimile est, ingens contentio ac seditio multitudinis exarsit: adeo ut malum ad vulnera et cædes usque prorumperet. Donec præfectus urbis, multis tum ex plebe, tum ex clero supplicio affectis, Ursini conatum repressit. Quod vero ad doctrinam fidei pertinet, nec Romani, nec ulli alii in Occidentis partibus, tunc temporis, sicut nec antea, inter se dissidebant: sed universi sententiam Nicænæ synodi approbabant, et Trinitatem æqualis honoris ac potentiæ venerabantur.

τότε τῆς ἐν Μεδιολάνοις ἐκκλησίας, ἅμα τισὶν ἐπε-
χείρει νεωτερίζειν, καὶ παρὰ τὴν κοινὴν συνθήκην τῶν
πρὸς δύσιν ἱερέων, τὸ Ἀρείου δόγμα κρατύνειν, καὶ τὰ
ἴσα φρονεῖν τοῖς ἀνόμοιον τὸν Υἱὸν[m] καὶ τὸ Πνεῦμα
δοξάζουσι κατὰ τὴν ὕστερον ἐπιγενομένην ζήτησιν.
5 Καταμηνυσάντων δὲ τῶν ἀπὸ τῆς Γαλλίας καὶ Βενε-
τίας, καὶ παρ' ἑτέρων τινων ταῦτα σπουδάζεσθαι παρ'
αὐτοῖς, οὐ πολλῷ ὕστερον συνελθόντες εἰς Ῥώμην
ἐπίσκοποι πολλῶν ἐθνῶν, ἐψηφίσαντο τῆς αὐτῶν
κοινωνίας ἀλλότριον εἶναι Αὐξέντιον, καὶ τοὺς ὁμοίως
αὐτῷ δοξάζοντας· βεβαίαν δὲ μένειν τὴν παραδοθεῖ-
σαν πίστιν παρὰ τῆς ἐν Νικαίᾳ συνόδου· τῶν ἐν
Ἀριμίνῳ[n] δοξάντων ὑπεναντίων ταύτης, ἀκύρων ὄν-
των, ὡς μήτε τοῦ[o] Ῥωμαίων ἐπισκόπου, μήτε τῶν
ἄλλων συνθεμένων αὐτοῖς· καὶ ὡς πολλῶν τῶν αὐτόθι
συνελθόντων ἀπαρεσθέντων τοῖς τότε παρ' αὐτῶν
6 δεδογμένοις. Ταῦτα δὲ οὕτω[p] γενέσθαι καὶ δόξαι,
μαρτυρεῖ καὶ ἡ ἐπιστολὴ Δαμάσου τοῦ Ῥωμαίων

[m] τὸν υἱὸν om. B. Steph. Genev. inseruit Christ. [Vulc. at Scal. tantum τὸν, mendose ;] Vales.

[n] Ἀριμήνῳ B.

[o] Ita B. τοῦ om. Steph. τοῦ τῶν Christoph. Vales. Conf. τῆς Ῥωμαίων infra.

[p] οὕτως B.

Excepto duntaxat Auxentio; qui tunc Mediolanensi præsidens ecclesiæ cum paucis quibusdam res novas moliebatur, et contra communem consensum Occidentalium episcoporum, Arii opinionem stabilire, et cum iis qui Filium et Spiritum sanctum, juxta controversiam recens exortam, Patri dissimilem esse sensebant, [censebant] consentire nitebatur. Sed cum episcopi Galliæ et Venetiæ idem quoque tentari a quibusdam aliis retulissent, brevi post tempore episcopi ex multis provinciis Romam convenientes, Auxentium eosque qui idem cum illo sentirent, alienos esse a communione sua decreverunt : utque fides quæ a concilio Nicæno tradita erat, firma ac stabilis permaneret; infirmatis iis quæ in Ariminensi synodo contra illam fidem decreta erant, eo quod nec Romanus episcopus, nec alii gestis illis consensissent, multique etiam ex iis qui huic synodo interfuerant, decreta ejus improbavissent. Hæc porro ita gesta constitutaque esse testatur

ἐπισκόπου, καὶ τῶν ἅμα αὐτῷ τότε συνελθόντων, πρὸς τοὺς Ἰλλυριῶν ἐπισκόπους γραφεῖσα. Ἔχει δὲ ὧδε.

7 Οἱ ἐπίσκοποι οἱ ἐπὶ τῆς Ῥωμαίων εἰς τὸ ἱερὸν συνέδριον συνελθόντες[q], τοῖς ἐν τῷ Ἰλλυρικῷ[r] καθεστῶσιν ἐπισκόποις, Δάμασος, καὶ Οὐαλέριος, καὶ οἱ λοιποὶ, τοῖς ἀγαπητοῖς ἀδελφοῖς ἐν Κυρίῳ χαίρειν[s].

8 Πιστεύομεν τὴν ἁγίαν πίστιν ἡμῶν[t], τὴν ἐν τῇ διδασκαλίᾳ τῶν ἀποστόλων θεμελιωθεῖσαν, ταύτην κατέχειν, 247
καὶ ταύτην τῷ λαῷ ὑφηγεῖσθαι· ἥτις ἀπὸ τῶν ὁρισθέντων παρὰ τῶν πατέρων, οὐδενὶ λόγῳ διαφωνεῖ. Οὐδὲ γὰρ ἄλλως ἁρμόζει διανοεῖσθαι τοὺς τοῦ[u] Θεοῦ ἱερεῖς, ὑφ' ὧν

q συνελθόντες συνέδριον Δάμασος καὶ Οὐαλεριανὸς, καὶ οἱ λοιποὶ, τοῖς ἀγαπητοῖς ἀδελφοῖς τοῖς ἐν Theodoret.

r Ἰλλυριῷ B.

s ἐν Θεῷ χ. Thdrt.

t ἡμῶν om. Steph. inscr. Christ. Vales. ἡμῶν ἐν τῇ Thdrt.

u οὐδὲ γὰρ ἄλλως ἁρμόζει διανοεῖσθαι τοὺς τοῦ om. Thdrt.

epistola Damasi, quam ille una cum episcopis qui tunc Romam convenerant, scripsit ad episcopos Illyrici. Sic autem habet.

Episcopi ad sacrum concilium Romæ congregati, episcopis in Illyrico constitutis, Damasus, Valerius et reliqui, dilectis fratribus in Domino salutem.

Credimus vos sacro-sanctam fidem nostram, quæ super doctrina apostolorum fundata est, retinere, eamque populo prædicare: quæ a patrum decretis nulla ratione dissentit. Neque enim decet aliter sentire sacerdotes Dei, a quibus etiam sapientes erudiri debent.

[E Mansi Collect. Concil. t. iii. col. 459.]

Excerptum synodi habitæ Romæ episcoporum xciii. ex rescripto imperiali.

Damasus, Valerianus, Vitalianus, Aufidius, Pacianus, Victor, Priscus, Innocentius, Abundius, Theudulus, et ceteri, qui ad audiendam causam Auxentii, exponendamque fidem in urbe Roma convenerunt, episcopis catholicis per Orientem constitutis in Domino salutem.

Confidimus quidem sanctitatem vestram apostolorum instructione fundatam, eam tenere fidem, eamque plebibus intimare, quæ a majorum institutis nulla ratione dissentiat. Neque enim aliter Dei sentire convenit sacerdotes, quorum pars est ceteros erudire.

9 δίκαιόν ἐστι τοὺς σοφοὺς παιδεύεσθαι. Ἀλλὰ δι᾽ ἀναφο-
ρᾶς τῶν ἐν Γαλλίᾳ καὶ Βενετίᾳ ἀδελφῶν, ἔγνωμέν τινας
αἵρεσιν σπουδάζειν. Ὅπερ κακὸν οὐ μόνον παραφυλάτ-
τεσθαι ὀφείλουσιν οἱ ἐπίσκοποι, ἀλλὰ καὶ ὅσα ἀπειρίᾳ
τινῶν ἢ ἁπλότητι[x] οἰκείαις ἑρμηνείαις ἀνθίσταντο· ἀπὸ
οὖν τῶν διαφόρους διδασκαλίας διανοουμένων μὴ παρολι-
σθαίνειν, ἀλλὰ μᾶλλον[y] τῶν πατέρων ἡμῶν κατέχειν τὴν
γνώμην, ὁσάκις ἂν διαφόροις βουλαῖς περιφέρωνται[z]. Τοι-
γαροῦν Αὐξέντιον τὸν Μεδιολάνων[a] ἐξαιρέτως ἐν τούτῳ
10 τῷ πράγματι κατακεκρίσθαι προγέγραπται. Δίκαιον οὖν
ἐστὶ, πάντας τοὺς ἐν τῷ Ῥωμαίων κόσμῳ διδασκάλους
ὁμοφρονεῖν[b], καὶ μὴ διαφόροις διδασκαλίαις τὴν πίστιν
μιαίνειν· καὶ γὰρ ἡνίκα πρῶτον ἡ κακία τῶν αἱρετικῶν

[x] ἁπλότητι τῶν σκαιαῖς κεχρημένων ἑρμηνείαις γέγονεν ἀνθίστασθαι ἀπὸ τοῦ νῦν διαφόροις διδασκαλίαις διανοουμένους μὴ πάλιν ὀλισθαίνειν Thdrt. εἰκαίαις ἑρμηνείαις ἀνθίστανται cod. Fuk. Vid. Annott.

[y] Ita B. Niceph. Thdrt. καὶ μᾶλλον editt.

[z] διάφοροι βουλαὶ ταῖς ἀκοαῖς αὐτῶν ἐπεισφέρωνται Thdrt.

[a] Μεδιολάνου Thdrt.

[b] διδασκάλους τοῦ νόμου τὰ περὶ τοῦ νόμου φρονεῖν Thdrt.

Verum fratrum ex Gallia et Venetia relatione didicimus, nonnullos hæresim inducere studere. Quod malum non solum præcavere debent episcopi, sed quæcumque seu per imperitiam, seu per simplicitatem quorundam, veris ac propriis interpretationibus adversantur: nec ab illis qui diversa dogmata comminiscuntur, abripi in errorem, sed potius patrum nostrorum decreta retinere, quoties illi variis consiliis temere circumferuntur. Quapropter Auxentium Mediolanensem præcipue in hoc negotio damnatum esse perscribunt. Æquum igitur est, ut omnes in orbe Romano ecclesiarum doctores inter se consentiant, nec discrepantibus doctrinis fidem

---

Sed Gallorum atque Venetensium fratrum relatione comperimus, nonnullos non hæresis studio; neque enim hoc tantum mali cadere in Dei antistites potest; sed inscitia vel ex simplicitate quadam sævis [scævis] interpretationibus æstuantes, non satis dispicere, quæ magis patrum nostrorum sit tenenda sententia, cum diversa consilia eorum auribus ingerantur. Denique Auxentium Mediolanensem hac præcipue causa damnatum esse perscribunt. Par est igitur universos magistros legis per orbem Romanum paria de lege sentire, nec diversis magisteriis fidem dominicam violare. Nam cum dudum hæreticorum virus, ut nunc iterum

ἀκμάζειν ἤρξατο, ὡς καὶ νῦν μάλιστα, ὅπερ ἀπείη, τῶν[c] Ἀρειανῶν ἡ βλασφημία, οἱ πατέρες ἡμῶν τριακόσιοι δέκα καὶ ὀκτὼ ἐπίλεκτοι, ἐν Νικαίᾳ γενομένου[d] σκέμματος, τοῦτο τὸ τεῖχος ὑπεναντίον τῶν ὅπλων τοῦ διαβόλου ὥρισαν, καὶ ταύτῃ τῇ ἀντιδότῳ τὰ θανάσιμα φάρμακα ἀπεώσαντο· ὥστε τὸν Πατέρα καὶ τὸν Υἱὸν, μιᾶς θεότητος, μιᾶς ἀρετῆς, καὶ ἑνὸς χρήματος πιστεύεσθαι· χρὴ δὲ[e] τῆς αὐτῆς ὑποστάσεως[f] καὶ τὸ Πνεῦμα τὸ ἅγιον πιστεύειν[g]. Τὸν δὲ ἄλλως φρονοῦντα, ἀλλότριον εἶναι τῆς ἡμετέρας
11 κοινωνίας ἐκρίναμεν[h]. Ὅνπερ σωτηριώδη ὅρον, καὶ τὴν προσκυνητὴν σκέψιν[i] τινὲς μιάναι ἠθέλησαν. Ἀλλὰ ἐν αὐτῇ τῇ ἀρχῇ, ἀπ' αὐτῶν τούτων οἵ τινες τοῦτο[k] ἐν Ἀρι-

[c] μάλιστα ὑφέρπει τῶν Thdrt.

[d] ὀκτὼ ἐπίσκοποι καὶ οἱ ἐκ τῆς Ῥωμαίων ἁγιωτάτης ἐπίλεκτοι εἰς Νίκαιαν γενομένου τοῦ Thdrt.

[e] ἀρετῆς, μίας δυνάμεως, καὶ ἑνὸς χαρακτῆρος πιστεύεσθαι χρὴ, καὶ Thdrt.

[f] ὑποστάσεως καὶ οὐσίας Thdrt.

[g] πιστεύειν om. Thdrt.

[h] κρίναντες Thdrt.

[i] σκέψιν διαφθεῖραι μετὰ ταῦτα ἄλλαις σκέψεσι τινὲς καὶ Thdrt.

[k] τοῦτο om. Thdrt.

contaminent. Nam cum hæreticorum improbitas vigere primum cœpisset, quemadmodum nunc, quod quidem Deus avertat, Arianorum viget blasphemia; patres nostri trecenti decem et octo selecti, habito apud Nicæam tractatu, adversus arma diaboli hunc murum erexerunt, et hac antidoto letalia venena repulerunt: ut Pater et Filius, unius divinitatis, unius virtutis, uniusque figuræ esse crederentur. Spiritum autem sanctum ejusdem quoque esse substantiæ credere debemus. Eum vero qui aliter sentiat, a communione nostra alienum esse decrevimus. Quam salutarem regulam et adorandam sanctionem, nonnulli violare conati sunt. Verum in ipso statim exordio, ab iis ipsis qui Arimini istud innovare aut

---

cœpit obrepere, ac præcipue Arianorum blasphemia, pullulare cœpisset, majores nostri cccxviii episcopi, atque ex urbe sanctissimi episcopi urbis Romæ directi apud Nicæam confecto concilio hunc murum adversus arma diabolica statuerunt, atque hoc antidoto mortalia pocula propulsarunt, ut Patrem, Filium, Spiritumque sanctum unius deitatis, unius virtutis, unius figuræ, unius credere oporteret substantiæ; contra sentientem alienum a nostro consortio judicantes. Quam definitionem salutarem postea aliis tractatibus quidam pervertere et violare tentaverunt. Sed et in ipso exordio ab iisdem ipsis, qui hoc apud Ariminum retractare coge-

μίνῳ[l] ἀνανεώσασθαι[m], ἢ ψηλαφῆσαι ἠναγκάζοντο, μέχρι τούτου διωρθώθη ὡς ὁμολογεῖν αὐτοὺς ἑτέρᾳ τινὶ[n] διαλέξει ὑφηρπᾶσθαι[o], ὅτι οὐκ ἐνενόησαν[p] τῇ τῶν πατέρων
12 γνώμῃ τῇ ἐν Νικαίᾳ ἀρεσάσῃ ἐναντίον εἶναι. Οὐδὲ γὰρ πρόκριμά τι ἠδυνήθη γενέσθαι ἀπὸ τοῦ ἀριθμοῦ τῶν ἐν Ἀριμίνῳ[q] συναχθέντων, ὁπότε συνέστηκε, μήτε τοῦ Ῥωμαίων ἐπισκόπου, οὗ πρὸ πάντων ἔδει τὴν γνώμην ἐκδέξασθαι[r], οὔτε Βικεντίου[s], ὃς ἐπὶ τοσούτοις ἔτεσι τὴν ἐπισκοπὴν ἀσπίλως[t] ἐφύλαξεν, οὔτε τῶν ἄλλων τοῖς τοιούτοις συγκαταθεμένων· ὁπότε μάλιστα[u], καθὼς προειρήκαμεν, αὐτοὶ οὗτοι οἵ τινες κατὰ συσκευὴν ὑποκλίνεσθαι ἔδοξαν, οὗτοι[x] καλλίονι γνώμῃ χρησάμενοι, ἀπαρέσκειν αὐτοῖς
13 ταῦτα ἐμαρτύραντο. Συνορᾷ οὖν ἡ ὑμετέρα καθαρότης, ταύτην μόνην τὴν πίστιν, ἣ ἐν Νικαίᾳ κατὰ τὴν αὐθεν-

[l] Ἀριμήνῳ B. Niceph.
[m] ἀνανεῶσαι Thdrt.
[n] τινὶ om. Thdrt.
[o] Ita C. Thdrt. ὑφαρπάσαι Niceph. ὑφαρπᾶσθαι ceteri.
[p] Ita C. Thdrt. ἐνόησαν ceteri.
[q] Ἀριμήνῳ B. Niceph.
[r] ἐκδείξασθαι B. Niceph.
[s] Οὐϊκεντίου Thdrt.
[t] ἀσύλως ἐφ. Niceph.
[u] καὶ μάλιστα Thdrt.
[x] οἱ αὐτοὶ Thdrt.

attentare coacti fuerant, eo usque emendatum est, ut confessi sint se alia quadam disputatione deceptos esse, quam sententiæ a Nicænis patribus promulgatæ contrariam esse minime advertissent. Neque enim præjudicium ullum afferri potuit ex numero eorum qui Arimini convenere: quandoquidem [*plura desunt in interpretatione Valesianâ*] uti supra diximus, illi ipsi qui per fraudem cedere aliquantulum visi sunt, postea meliore judicio usi, ea sibi displicere testati sunt. Perspicit igitur sinceritas vestra, hanc solam fidem quæ juxta auctoritatem apostolorum in urbe Nicæna fundata

---

bantur, emendatum hactenus est, ut subreptum sibi alia disputatione faterentur, idcirco quod non intellexissent patrum sententiam apud Nicæam formatam esse contrariam. Neque enim præjudicium aliquod nasci potuit ex numero eorum, qui apud Ariminum convenerunt: cum constet, neque Romanum episcopum, cujus ante omnes fuit expetenda sententia, neque Vincentium, qui tot annos sacerdotium inlibate servavit, neque alios hujusmodi statutis consensum aliquem commodasse: cum præsertim, ut diximus, iidem ipsi qui per impressionem succubuisse videbantur, iidem consilio meliore displicere sibi fuerint protestati. Unde advertit sinceritas vestra, hanc solam fidem, quæ apud Nicæam

τίαν τῶν ἀποστόλων ἐθεμελιώθη, διηνεκεῖ βεβαιότητι καθεκτέον[y] εἶναι, καὶ μεθ' ἡμῶν τοὺς ἀνατολικοὺς οἵ τινες ἑαυτοὺς τῆς καθολικῆς εἶναι[z] ἐπιγινώσκουσι, τοὺς δὲ[a] δυτι- 248
14 κοὺς καυχᾶσθαι. Πιστεύομεν δὲ οὐκ εἰς μακρὰν τοὺς ἄλλα νοοῦντας[b], αὐτῇ τῇ ἐπιχειρήσει ἀπὸ τῆς ἡμετέρας κοινωνίας χωρισθήσεσθαι[c] αὐτῶν τὸ τοῦ ἐπισκόπου ὄνομα· ὥστε τοὺς λαοὺς αὐτῶν τῆς πλάνης[d] ἐλευθερωθέντας, ἀναπνεῦσαι. Οὐδενὶ γὰρ τρόπῳ διορθῶσαι[e] δυνήσονται τὴν πλάνην τῶν ὄχλων, ὁπότε αὐτοὶ ὑπὸ τῆς πλάνης κατέχονται.
15 Συμφωνείτω[f] οὖν μετὰ πάντων τῶν τοῦ Θεοῦ ἱερέων, καὶ τῆς ὑμετέρας τιμιότητος ἡ γνώμη, ἐν ᾗ ὑμᾶς ἁγίους καὶ βεβαίους[g] πιστεύομεν[h]. Ὅτι δὲ οὕτως ἡμεῖς μεθ' ὑμῶν[i]

[y] καθεκτέαν Thdrt.
[z] εἶναι om. Thdrt.
[a] τούς τε emendare voluit Vales.
[b] νοσοῦντας Thdrt.
[c] χωρισθήσεσθαι καὶ περιαιρεθήσεσθαι ἀπ' Thdrt.; quod prætulit Vales.
[d] Ita tacite Vales. αὐτῶν om. Steph. τῆς πλάνης αὐτῶν B. Christ. Thdrt.
[e] διορθοῦσθαι Thdrt.
[f] συμφωνεῖται B. Tum τοίνυν Thdrt.
[g] παγίους καὶ βεβαίους εἶναι Thdrt.; quod prætulit Vales.
[h] πιστεύομεν. οὕτω καὶ Thdrt.
[i] Mendum est in Latino ex-

est, perpetua firmitate retinendam esse: eaque gloriari nobiscum tum Orientales qui se catholicos esse profitentur, tum Occidentales. Credimus autem, futurum brevi, ut qui alia sentiunt, a nostra communione separentur, ablato ipsis episcoporum nomine: ita ut populi ab errore ipsorum liberati respirare possint. Nullo enim modo errorem multitudinis corrigere poterunt, cum ipsi errore implicentur. Vestræ igitur reverentiæ judicium cum omnium sacerdotum judicio consentiat: in qua fide vos stabiles et firmos manere confidimus. Nos vero ita vobiscum credere oportere, mutuis caritatis vestræ literis ad nos datis ostendite.

---

apostolorum auctoritate fundata est, perpetua firmitate esse retinendam: hac nobiscum orientales, qui se catholicos recognoscunt, occidentalesque gloriari. Non longe autem fieri posse credimus, ut qui secus sentiunt, licet hoc ipso conatu a nostra communione exui possint, plebesque eorum erroribus liberatæ respirant. Quemadmodum enim poterunt corrigere errata populorum, si ipsos error obsederit? Concinat ergo cum omnibus Dei sacerdotibus et vestræ sententia caritatis: in quo vos fixos atque firmatos ut bene credimus, ita etiam nos vobiscum recte sentire debemus reciprocis sanctitatis vestræ literis approbare. [Ego Sabinus diaconus Mediolanensis legatus de authentico dedi.]

πιστεύειν ὀφείλομεν, τοῖς ἀμοιβαίοις τῆς ὑμετέρας ἀγάπης ἐπιδείξασθαι[k].

ΚΕΦ. ΚΔ'.

Περὶ τοῦ ἁγίου Ἀμβροσίου, ὅπως εἰς ἀρχιερέα προεβλήθη, καὶ εὐσεβεῖν τοὺς λαοὺς ἀνέπεισεν· ἔτι δὲ καὶ περὶ τῶν ἐν Φρυγίᾳ Ναυατιανῶν, καὶ τοῦ Πάσχα.

1 Οἱ μὲν οὖν πρὸς δύσιν ἱερεῖς ὧδε φθάσαντες τοὺς
παρ' αὐτοῖς νεωτερίζοντας, ἐπιμελῶς ἐφύλαττον τὴν
ἀρχῆθεν παραδοθεῖσαν αὐτοῖς πίστιν· ὡς κομιδῆ
ὀλίγους ἐνθάδε ἑτεροδόξους γενέσθαι, καὶ σχεδὸν μό-
2 νους τοὺς ἀμφὶ τὸν Αὐξέντιον. Οὐκ εἰς μακρὰν δὲ
καὶ οὗτος ἐκποδὼν ἐγένετο· τελευτήσαντος δὲ αὐτοῦ,
ἐστασίαζε τὸ πλῆθος, οὐ[l] τὸν αὐτὸν αἱρούμενοι τὴν
Μεδιολάνων ἐκκλησίαν ἐπισκοπεῖν· καὶ ἡ πόλις ἐκιν-
δύνευεν. Ἕκαστοι γὰρ ἀποτυχόντες, ἠπείλουν ποιεῖν

emplari hujus epistolæ, quod Græcum interpretem fefellit: sed neque a Luca Holstenio animadversum est. Sic enim habet Latinum exemplar: *In qua vos fixos atque firmatos ut bene credimus, ita etiam nos vobiscum recte sentire debemus reciprocis sanctitatis vestræ litteris approbare.* In quibus verbis nullus omnino sensus est. Nos vero ope ac subsidio criticæ nostræ, locum ita sanandum esse affirmamus: *Ita etiam vos nobiscum recte sentire, debetis reciprocis sanctitatis vestræ litteris approbare.* Jam clarus et manifestus est sensus. Nec erit, ut opinor, quisquam, qui non fateatur hunc locum ita a Damaso scriptum fuisse. VALESIUS.

[k] Ita B. Niceph. ἀγάπης εὐφράνατε ἡμᾶς. Ἔρρωσθε ἀδελφοὶ τιμιώτατοι Thdrt. ἐπιδείξασθαι editt.

[l] καὶ τὸν J.

CAPUT XXIV.

De Sancto Ambrosio, qua ratione ad episcopatum promotus sit, et populos pie sentire docuerit. Item de Novatianis in Phrygia, et de die Paschæ.

Hoc modo Occidentales episcopi, cum eos qui rebus novis apud ipsos studebant prævenissent, fidem sibi ab initio traditam studiose conservarunt. Adeo ut pauci admodum in illis partibus novæ doctrinæ sectatores fuerint, ac solus fere cum suis Auxentius. Quo quidem mortuo, ingens populi seditio exorta est, cum non eundem omnes Mediolanensis ecclesiæ antistitem eligerent: totaque civitas in gravissimum periculum adducta est. Nam qui re-

ἃ φιλεῖ γίνεσθαι ἐν ταῖς τοιαύταις ταραχαῖς. Δείσας δὲ τὴν τοῦ δήμου κίνησιν Ἀμβρόσιος, ὁ τότε τοῦ ἔθνους ἡγούμενος, ἐλθὼν εἰς τὴν ἐκκλησίαν, συνεβούλευε παύεσθαι τῆς ἔριδος, νόμων ὑπομιμνήσκων, ὁμο-
3 νοίας τε καὶ τῶν ἀπὸ τῆς εἰρήνης ἀγαθῶν. Οὔπω δὲ αὐτοῦ παυσαμένου περὶ τούτων δημηγορεῖν, ἐξαπίνης πάντες ἀφέμενοι τῆς πρὸς ἀλλήλους ὀργῆς, ἐπ' αὐτὸν τὸν σύμβουλον τῆς ὁμονοίας ἄγουσι τὴν τῆς ἐπισκοπῆς ψῆφον· καὶ βαπτίζεσθαι παρεκελεύοντο· ἔτι γὰρ ἀμύητος ἦν· καὶ τὴν ἱερωσύνην παραλαμβάνειν 249
4 ἐδέοντο. Ἐπεὶ δὲ ὁ μὲν παρῃτεῖτο, καὶ ἀνεβάλλετο[m], καὶ ἀτεχνῶς τὸ πρᾶγμα ἀπέφευγεν, ὁ δὲ δῆμος ἐπέκειτο, καὶ τῆς ἔριδος οὐκ ἄλλως ἀνήσειν ἰσχυρίζετο, μηνύεται τάδε ταῖς ἐν τοῖς βασιλείοις ἀρχαῖς. Ἅμα 5
δὲ τῇ περὶ τούτων ἀγγελίᾳ, λέγεται Οὐαλεντινιανὸς ὁ βασιλεὺς εὔξασθαι, καὶ φάναι χάριν[n] ὁμολογεῖν τῷ Θεῷ, ὡς ἱερᾶσθαι ἐπιλεγομένῳ, οὓς[o] αὐτὸς ἄρχειν προβάλλεται. Μαθὼν δὲ τὴν τοῦ πλήθους ἔνστασιν, καὶ

[m] In cod. Fuk. ἀπεμάχετο. Quod certe magis placet, licet Nicephorus vulgatam lectionem confirmet. VALESIUS.

[n] Ita B. Steph. Genev. χάριν φάναι Vales.

[o] ὃν Christ.

pulsam passi fuerant, ea se facturos quæ in hujusmodi perturbationibus fieri solent, singuli minabantur. Ambrosius igitur qui tunc provinciæ rector erat, tumultum populi veritus, cum ad ecclesiam venisset, suadere cœpit ut a contentione desisterent, leges illis in memoriam revocans, et concordiam pacisque bona eis ob oculos proponens. Vix ille finem dicendi fecerat, cum repente omnes abjecto mutuæ contentionis studio, ipsi concordiæ suasori episcopatum communibus suffragiis deferunt, hortantes ut sacrum baptismum susciperet: nondum enim erat initiatus: rogantesque ut sacerdotii onus subiret. Sed cum ille quidem recusaret ac reluctaretur, prorsusque sacerdotium refugeret: populus vero instaret, nec alia conditione quieturum se affirmaret, res ad proceres palatii refertur. Imperator autem Valentinianus eo nuntio accepto, Deum precatus esse dicitur, eique gratias egisse, quod eos ad sacerdotii munus obeundum eligeret, quos ipse regendis provinciis

τὴν[o] Ἀμβροσίου παραίτησιν, συνέβαλεν ἐπὶ ὁμονοίᾳ
τῆς ἐν Μεδιολάνῳ ἐκκλησίας ταῦτα βραβεύειν τὸν
Θεόν· καὶ τὴν ταχίστην αὐτὸν χειροτονεῖσθαι προσ-
5 έταξεν. Ἅμα δὲ ἐμυήθη καὶ τὴν χειροτονίαν[p] παρ-
έλαβεν, ὁμοφρονεῖν πέπεικε περὶ τὰ θεῖα τὴν ὑπ' αὐτὸν
ἐκκλησίαν, ἐπὶ πολλῷ χρόνῳ διχονοίᾳ καμοῦσαν ἐκ
τῆς προστασίας Αὐξεντίου. Ἀλλ' οἷος μὲν Ἀμβρό-
σιος οὗτος μετὰ τὴν χειροτονίαν ἐγένετο, καὶ ὡς ἀν-
δρείως καὶ μάλα θείως τὴν ἱερωσύνην διήνυσεν, ἐν
6 τοῖς ἑξῆς κατὰ χώραν λελέξεται. Περὶ δὲ τοῦτον
τὸν χρόνον οἱ ἀμφὶ τὴν Φρυγίαν Ναυατιανοὶ, παρὰ
τὸ πρότερον εἰωθὸς, ἤρξαντο μετὰ τῶν Ἰουδαίων τὴν
τοῦ Πάσχα ἑορτὴν ἐπιτελεῖν. Ναυάτος μὲν γὰρ ὃς
ἀρχηγὸς ἐγένετο τῆς αἱρέσεως, τοὺς μεταμελουμένους
ἐπὶ τοῖς ἁμαρτήμασιν εἰς κοινωνίαν οὐ προσίετο· καὶ
τοῦτο μόνον ἐκαινοτόμει· παραπλησίως δὲ τῇ Ῥω-
μαίων ἐκκλησίᾳ μετὰ τὴν ἐαρινὴν ἰσημερίαν διετέ-
λεσεν αὐτός τε καὶ οἱ μετ' αὐτὸν ταύτην ἄγοντες
7 τὴν ἑορτήν. Εἰσότε δὴ ἐπὶ ταύτης τῆς ἡγεμονίας,

o καὶ τοῦ Ἀμβρ. B. Steph. Genev. καὶ τὴν Ἀμβρ. Niceph. et tacite Vales.

p ἱερωσύνην παρέλ. Christ. Scal.

præfecisset. Cumque populi pertinax studium, et Ambrosii detrectationem didicisset; ad conciliandam Mediolanensis ecclesiæ concordiam Deum hæc ita disponere conjecit, eumque quamprimum episcopum ordinari jussit. Qui cum baptismum ac sacerdotium simul suscepisset, statim ecclesiam suam, quæ ob administrationem Auxentii diuturno discidio laboraverat, ad concordem de Deo sententiam reduxit. Verum qualem se Ambrosius iste post ordinationem præstiterit, et quam constanter ac pie sacerdotium administraverit, infra suo loco dicturi sumus. Per idem tempus Novatiani qui in Phrygia degunt, contra veterum morem Pascha una cum Judæis celebrare cœperunt. Nam Novatus qui ejus sectæ auctor fuit, pœnitentes quidem ad communionem minime admisit: idque solum ab illo innovatum est. Cæterum tam ipse, quam successores ejus, non aliter quam ecclesia Romana, post æquinoctium vernum festum Paschæ diem perpetuo celebra-

τινὲς τῶν ἀνὰ τὴν Φρυγίαν Ναυατιανῶν ἐπισκόπων
συνελθόντες ἐν Παζουκώμῃ[q], χωρίον δὲ αὕτη Φρυγῶν,
ὅθεν Σαγγαρίου τοῦ[r] ποταμοῦ αἱ πηγαὶ ῥέουσι· ὡς
οὐδὲ ταύτῃ κοινωνεῖν ἀξιοῦντες τοῖς ἑτέρως αὐτοῖς
δοξάζουσιν, ἴδιον ἔθεντο νόμον· ὥστε τὴν τῶν Ἀζύ-
μων ἐπιτηρεῖν ἑορτήν, καὶ σὺν τοῖς Ἰουδαίοις τὸ
8 Πάσχα ἐπιτελεῖν. Οὐκ ἐκοινώνει δὲ ταύτῃ τῇ συνόδῳ,
οὔτε Ἀγέλιος ὁ τῶν ἐν Κωνσταντινουπόλει Ναυατια-
νῶν ἐπίσκοπος, οὔτε ὁ Νικαίας, ἢ ὁ Νικομηδείας, ἢ ὁ
Κοτυαείου[s]· πόλις δὲ αὕτη Φρυγίας οὐκ ἄσημος· οὓς
δὴ κυρίους καὶ κολοφῶνας, ὡς εἰπεῖν, οἱ Ναυατιανοὶ
νομίζουσι τῶν περὶ τὴν οἰκείαν αἵρεσιν καὶ τὰς αὐτῶν
9 ἐκκλησίας πραττομένων. Ἐκ ταύτης δὲ τῆς αἰτίας,
ὅπως καὶ οὗτοι εἰς διαφορὰν κατέστησαν, καὶ σφᾶς αὐ-
τοὺς διατεμόντες χωρὶς ἐκκλησίαζον, κατὰ καιρὸν ἐρῶ.

q Apud Socratem et Nicephorum Pazi vicus hic dicitur, situs in Phrygia ad Sangarium amnem. Sed non possum assentiri Baronio, qui hunc Pazi vicum confundit cum Pepuza. Porro συνελθόντες hoc loco restitui ex codice Fuketiano. VALESIUS. Παζουκώμῃ infra, vii. 18, ubi ad hunc locum respicitur. Πάζῳ κώμῃ Socrates. *Pazo vico* Vers. Lat. Nicephori. Γάζου codd. et editt. ἐλθόντες Steph. Genev.

r δὲ τοῦτο C.

s Rectius cod. Fuk. Κοτυαείου. VALESIUS. Vid. Annott. Κοτυλείου Steph. Genev. Κοιτυείου B. *Cotyæi* Vers. Lat. Nicephori.

runt. Tandem vero circa hæc tempora, quidam per Phrygiam episcopi Novatianorum, congregati in Pazi vico, qui locus est in Phrygia, unde Sangarii fluminis fontes erumpunt; cum ne hac quidem in parte cum iis a quibus dissentiebant communicare vellent, peculiarem regulam constituerunt, ut Azymorum festum in posterum observarent, et cum Judæis Pascha celebrarent. Verum huic synodo neque Agelius interfuit, qui Novatianorum episcopus erat Constantinopoli; neque is qui Nicææ, nec qui Nicomediæ, nec qui Cotuaii episcopatum gerebant: est autem Cotuaium, Phrygiæ urbs non ignobilis. Quos tamen Novatiani velut arbitros ac moderatores habent eorum quæ in ecclesia et in secta ipsorum geruntur. Qualiter vero etiam isti hanc ob causam inter se dissenserint, seque ipsos a reliquis præcidentes, separatim collectas celebraverint, dicam suo tempore.

3

ΚΕΦ. ΚΕ΄. 250

Περὶ τῶν Ἀπολιναρίων, τοῦ πατρὸς καὶ υἱοῦ· καὶ τοῦ πρεσβυτέρου Βιταλιανοῦ· καὶ ἐκ ποίας αἱρέσεως κινηθέντες, εἰς αἱρέσεις ἐξέκλιναν.

1 Ἐν τούτῳ δὲ εἰς τὸ προφανὲς προΐστατο Ἀπολι-
νάριος τῆς ἀπ' αὐτοῦ ὀνομαζομένης αἱρέσεως· καὶ
πολλοὺς ἀποτεμὼν τῆς ἐκκλησίας, καθ' ἑαυτὸν συν-
ῆγε. Συνελάβετο δὲ αὐτῷ πρὸς τὴν τοῦ οἰκείου δό-
γματος σύστασιν καὶ Βιτάλιος, πρεσβύτερος Ἀντιο-
χεὺς τῶν ὑπὸ Μελίτιον ἱερωμένων· ἀνὴρ, εἰ καί τις
ἄλλος, ἐκ τοῦ βίου καὶ τῆς πολιτείας ἐπιφανὴς, καὶ
περὶ τοὺς ὑπ' αὐτὸν ἀγομένους σπουδαῖος, καὶ τούτου
2 χάριν τῷ λαῷ σεβάσμιος. Μετ' οὐ πολὺ γὰρ ἀπο-
σχίσας ἑαυτὸν τῆς Μελιτίου κοινωνίας, Ἀπολιναρίῳ
προσέθετο· καὶ τῶν τὰ αὐτὰ δοξαζόντων ἐπὶ τῆς Ἀν-
τιοχέων ἡγεῖτο· αἰδοῖ τῆς αὐτοῦ πολιτείας πλῆθος
οὐκ ὀλίγον πειθόμενον ἔχων, οἳ καὶ ἀπ' αὐτοῦ τὴν
προσηγορίαν ἔλαχον, Βιταλιανοὶ παρὰ Ἀντιοχεῦσιν
3 εἰς ἔτι νῦν ὀνομαζόμενοι. Λέγεται δὲ τοῦτο παθεῖν
ὑπὸ λύπης, ὡς ὑπεροφθεὶς παρὰ Φλαβιανοῦ, ὃς ὕστε-

CAPUT XXV.

De duobus Apollinaribus patre et filio, et de Vitale presbytero: qua occasione moti, in hæreses prolapsi sint.

Eodem tempore Apollinaris, hæresis ab ipso cognominatæ ducem palam se præbuit: multosque ab ecclesiæ corpore abducens, seorsum collegit. Quem quidem in stabilienda hæresi adjuvit Vitalis, presbyter Antiochenus ex Meletii clero: vir præ cæteris ob vitæ ac disciplinæ severitatem illustris, et in regendis iis quibus præerat sedulus, eaque de causa plebi venerabilis. Verum paulo post, cum se a communione Meletii abjunxisset, Apollinari adhæsit: iisque qui Antiochiæ eandem opinionem sectabantur præfuit, ob vitæ suæ sanctimoniam haud paucos auditores habens, qui ab ipso cognomentum sortiti, Vitaliani etiamnum ab Antiochensibus appellantur. Huc autem prolapsus esse dicitur ex offensione animi, eo quod despectus fuisset a Flaviano, tunc compresbytero, postea vero Antiochensis ecclesiæ episcopo: a quo prohibitus fue-

*ρον ἐπετράπη τὸν Ἀντιοχέων θρόνον, συμπρεσβυτέρου
τότε ὄντος αὐτῷ, κωλυθεὶς συνήθως ἰδεῖν τὸν ἐπί-
σκοπον· παρευδοκιμεῖσθαι γὰρ νομίσας, ἀνθρώπινον
ὑπέστη· καὶ πρὸς Ἀπολινάριον ἐλθὼν, ἐκοινώνησε, καὶ
4 φίλον αὐτὸν εἶχεν. Ἐκ τούτου δὲ καὶ ἐν ἄλλαις πό-
λεσι χωρὶς ἐκκλησίαζον ὑπὸ ἐπισκόποις ἰδίοις, καὶ
θεσμοῖς ἐχρῶντο ἀλλοτρίοις τῆς καθολικῆς ἐκκλησίας,
παρὰ τὰς νενομισμένας ἱερὰς ᾠδὰς ἔμμετρά τινα
μελύδρια ψάλλοντες, παρ' αὐτοῦ Ἀπολιναρίου εὑρη-
5 μένα. Πρὸς γὰρ τῇ ἄλλῃ παιδεύσει καὶ ποιητικὸς
ὢν, καὶ παντοδαπῶν μέτρων εἰδήμων, καὶ τοῖς ἐντεῦ-
θεν ἡδύσμασι τοὺς πολλοὺς ἔπειθεν αὐτῷ προσέχειν.
Ἄνδρες τε παρὰ τοὺς πότους καὶ ἐν ἔργοις, καὶ γυ-
ναῖκες παρὰ τοὺς ἱστοὺς τὰ αὐτοῦ μέλη ἔψαλλον.
Σπουδῆς γὰρ καὶ ἀνέσεως, καὶ ἑορτῶν, καὶ τῶν ἄλ-
λων, πρὸς τὸν ἑκάστου καιρὸν εἰδύλλια[t] αὐτῷ πεπό-
6 νητο, πάντα εἰς εὐλογίαν Θεοῦ τείνοντα. Μαθὼν οὖν
ταύτην τὴν αἵρεσιν εἰς πολλοὺς ἕρπειν πρῶτος Δά-
μασος ὁ Ῥωμαίων ἐπίσκοπος, καὶ Πέτρος ὁ Ἀλεξαν-*

[t] ἠδύλλια B.

rat ne episcopum more solito videret. Contemni enim se arbitratus, humani quidpiam passus est: et ad Apollinarem transgressus, societatem et amicitiam cum eo junxit. Abhinc in aliis quoque civitatibus separatim conventus agere cœperunt sub episcopis suæ sectæ, et ritibus usi sunt ab ecclesia catholica alienis: præter sacros hymnos qui in ecclesia cani solent, cantica quædam numeris astricta psallentes, quæ ab Apollinare erant excogitata. Namque hic præter reliquam eruditionem, poëtices quoque et omnis generis carminum gnarus, multis ejusmodi oblectamento captis, ut ipsi adhærerent persuasit. Denique viri in conviviis, et dum opus facerent: mulieres vero inter texendum, cantica ejus psallebant. Etenim pro labore atque otio, pro diebus festis ac reliquis omnibus, brevia quædam composuerat carmina, cuncta ad laudem divini numinis spectantia. Primus autem Damasus episcopus urbis Romæ, et una cum illo Petrus Alexandrinus antistes,

δρείας, συνόδου γενομένης ἐν Ῥώμῃ, ἀλλοτρίαν τῆς 251
7 καθόλου ἐκκλησίας ἐψηφίσαντο. Λέγεται δὲ καὶ Ἀ-
πολινάριος ὁμοίως ὑπὸ μικροψυχίας νεωτερίσαι περὶ
τὸ δόγμα, ἐξ αἰτίας τοιᾶσδε. Ἡνίκα γὰρ Ἀθανάσιος
ὁ τὴν Ἀλεξανδρέων ἐκκλησίαν ἐπιτροπεύσας, μετὰ
τὴν ἐπὶ Κωνσταντίου φυγὴν προσετάχθη ἐπανελθεῖν
εἰς Αἴγυπτον, διοδεύοντι τὴν Λαοδίκειαν, συνήθης
8 αὐτῷ ἐγένετο καὶ εἰς τὰ μάλιστα φίλος. Ἀπωμότου
δὲ οὔσης τῆς πρὸς αὐτὸν κοινωνίας τοῖς ἀπὸ τῆς ἐναν-
τίας αἱρέσεως, ὧν ἦν καὶ Γεώργιος ὁ ἐνθάδε ἐπίσκο-
πος, ὑβριστικῶς ἐκβάλλεται τῆς ἐκκλησίας, ὡς παρὰ
κανόνας καὶ τοὺς τῶν ἱερέων νόμους Ἀθανασίῳ συγ-
γενόμενος. Ἐπῃτιᾶτο δὲ αὐτὸν διὰ ταῦτα, καὶ εὐθύνας
παλαιῶν ἁμαρτημάτων μεταμελείᾳ[u] λελυμένων, ὠνεί-
9 διζεν. Ἔτι γὰρ Θεοδότου τοῦ πρὸ αὐτοῦ τὴν Λαοδι-
κέων ἐκκλησίαν ἰθύναντος, κατ' ἐκεῖνο καιροῦ δια-
πρέπων Ἐπιφάνιος ὁ σοφιστής, ὕμνον εἰς τὸν Διό-
νυσον παρῄει· διδασκάλῳ δὲ αὐτῷ χρώμενος Ἀπο-

[u] μετανοίᾳ tacite Vales.

cum hanc hæresim latius serpere intellexissent, concilio Romæ congregato, eam ab ecclesia catholica alienam esse decreverunt. Cæterum ipse quoque Apollinaris, ex infirmitate animi ad dogmatum novitatem simili modo prolapsus esse dicitur, ob hujusmodi causam. Nam cum Athanasius episcopus ecclesiæ Alexandrinæ, post exsilium quod regnante Constantio pertulerat, redire in Ægyptum jussus esset, ei per Laodiceam transeunti familiaris et amicus factus est Apollinaris. Sed quoniam communicare cum Athanasio scelestum habebatur ab Arianis, ex quorum numero erat Georgius urbis illius episcopus; idcirco Apollinaris cum contumelia pulsus est ecclesia, utpote qui contra regulas legesque ab episcopis latas, cum Athanasio congressus fuisset. Hæc igitur illi objecit Georgius; simulque alia delicta quæ per pœnitentiam obliterata erant, exprobravit. Nam quo tempore Theodotus decessor Georgii, Laodicenam regebat ecclesiam, cum Epiphanius sophista nobilis hymnum in laudem Bacchi recitaret, Apollinaris qui eo præceptore utebatur, erat enim adhuc adolescens, ei reci-

λινάριος, ἔτι γὰρ νέος ἦν, παρεγένετο τῇ ἀκροάσει σὺν τῷ πατρί· ὁμώνυμος δὲ ἦν αὐτῷ, γραμματικὸς
10 *οὐκ ἄσημος. Ἐπεὶ δὲ τοῦ λόγου ἀρχόμενος Ἐπιφάνιος, ὡς ἔθος τοῖς τοιάδε ἐπιδεικνυμένοις λέγειν, τοὺς ἀμυήτους καὶ βεβήλους ἐξιέναι θύραζε ἐκέλευεν· οὔτε δὲ Ἀπολινάριος ὁ νέος, οὔτε ὁ πρεσβύτης, οὔτε ἕτερός τις τῶν παρόντων Χριστιανῶν τῆς ἀκροάσεως ἀπε-*
11 *χώρησε. Μαθὼν ταῦτα Θεόδοτος ὁ ἐπίσκοπος, χαλεπῶς ἤνεγκε· καὶ τοῖς μὲν ἄλλοις ἐν λαῷ τεταγμένοις μετρίως ἐγκαλέσας, συγγνώμην ἔνειμεν· Ἀπολιναρίῳ δὲ ἄμφω τὴν ἁμαρτίαν δημοσίᾳ ἐλέγξας, τῆς ἐκκλησίας ἀφώρισεν· ἤστην γὰρ κληρικὼ, ὁ μὲν πατὴρ, πρεσβύτερος· ὁ δὲ παῖς, ἀναγνώστης ἔτι τῶν ἱερῶν γραφῶν. Χρόνου δέ τινος διαγενομένου, ἐν δάκρυσι καὶ νηστείαις ἐπαξίως τῆς ἁμαρτίας μετα-*
12 *μεληθέντας, προσίεται πάλιν Θεόδοτος. Ὡς δὲ τὴν αὐτὴν ἐπισκοπὴν ἔλαχε Γεώργιος, καὶ ἡ πρὸς Ἀθανάσιον συνουσία γέγονεν Ἀπολιναρίῳ ὡς εἴρηται, ἀκοινώνητον αὐτὸν ἀποφαίνει, καὶ τῆς ἐκκλησίας ἀλ-*

tationi interfuit una cum parte ejusdem cum ipso nominis, qui grammaticus erat non obscurus. Cumque Epiphanius in ipso carminis exordio, sicut moris est iis qui ejusmodi hymnos publice recitant, cunctos prophanos homines nec sacris illis initiatos, foras abire jussisset, nec junior Apollinaris, nec senior, nec ullus omnino ex Christianis qui aderant, discessit ex auditorio. Id cum rescivisset Theodotus episcopus, graviter commotus est. Ac reliquis quidem qui ex plebe erant, leviter objurgatis veniam concessit. Utrumque autem Apollinarem publice convictum, ecclesia ejecit. Erant enim clerici: pater quidem presbyter; filius vero lector sacrarum scripturarum. Aliquanto post tempore elapso, cum in lacrymis ac jejuniis pœnitentiam delicto suo congruentem egissent, Theodotus eos denuo suscepit. Ubi vero Georgius episcopatum illum sortitus est, et Apollinaris, ut jam dixi, congressum illum habuit cum Athanasio, a communione eum exclusit Georgius, et alienum ab ecclesia pronuntiavit. Et Apollinaris quidem sæpenumero eum rogasse dicitur, ut in communionem reciperetur.

λότριον. Ὁ δὲ λέγεται μὲν πολλάκις αὐτοῦ δεηθῆναι
13 τὴν κοινωνίαν ἀπολαβεῖν. Ὡς δὲ οὐκ ἔπειθε, λύπῃ 40
κρατηθεὶς ἐτάραξε τὴν ἐκκλησίαν, καὶ δογμάτων και- 252
νότητι[x] τὴν εἰρημένην αἵρεσιν εἰσήγαγεν· ὅπερ
ἠδύνατο[y], τέχνῃ φημὶ λόγων τὸν ἐχθρὸν ἀμυνόμενος·
καὶ διελέγχων ὡς ἐν διδασκαλίᾳ ἱερῶν δογμάτων οὐ
τοιοῦτος ὤν, τὸν ἀμείνω καθεῖλεν. Οὕτω πῃ αἱ ἴδιαι
ἔχθραι τῶν κατὰ καιροὺς κληρικῶν, τὰ μέγιστα τὴν
ἐκκλησίαν ἔβλαψαν, καὶ τὴν θρησκείαν εἰς πολλὰς
14 αἱρέσεις κατέτεμον. Τεκμήριον δὲ τοῦτο· εἰ γὰρ
ὁμοίως Θεοδότῳ καὶ Γεώργιος μεταμεληθέντα Ἀπο-
λινάριον ἐδέξατο, οὐκ ἄν, οἶμαι, ἡ ἀπ' αὐτοῦ καλου-
μένη αἵρεσις ἦν. Ἡ γὰρ ἀνθρωπεία φύσις, ὑπερφρο-
νουμένη μὲν ἀπαυθαδιάζεται[z], καὶ εἰς φιλονεικίαν καὶ
νεωτερισμοὺς καθίσταται· ἀπολαύουσα δὲ τῶν ἴσων,
μετριάζειν καὶ ἐπὶ τῶν αὐτῶν μένειν φιλεῖ.

[x] Ita B. C. Christ. Curt. κοινότητι Steph. Genev. καινότητα, inconsulto ni fallor, Vales.

[y] Non dubito quin scribendum sit in dativo ᾧπερ ἠδύνατο. Atque ita Savilius ad latus sui codicis emendarat. VALESIUS. ἐδύνατο Genev.

[z] In cod. Fuk. ἀπαυθαδίζεται. Similem errorem antea quoque notare memini. VALESIUS.

Sed cum eum flectere non posset, dolore superatus, ecclesiam turbare, et dogmatum novitatem, supradictam videlicet hæresim, inducere aggressus est: ea arte qua plurimum valebat, dicendi scilicet facultate, inimicum ulciscens; et quod hominem in sacrarum literarum doctrina præstantiorem ipse inferior deposuisset, redarguens. Ita privatæ inter clericos inimicitiæ, ecclesiam subinde maximo detrimento affecerunt, et Christianam religionem varias in sectas disciderunt. Cujus rei argumentum hinc suppetit. Nam si Georgius pœnitentem suscepisset Apollinarem, perinde ac Theodotus, hæresis illa quæ ab ejus nomine nuncupata est, hodie ut opinor non extaret. Natura enim ita comparati sunt homines, ut despecti quidem insolescant, et contentioni ac rebus novis studeant: ubi vero æquum adepti sunt, moderate se gerant, et in eodem statu permaneant.

ΚΕΦ. Κϛ'.

Περὶ Εὐνομίου καὶ τοῦ διδασκάλου αὐτοῦ Ἀετίου· καὶ τὰ κατ' αὐτούς, καὶ τί ἐδογμάτιζον, καὶ ὅτι πρῶτοι οὗτοι μίαν κατάδυσιν ἐπὶ τοῦ βαπτίσματος ἐπενόησαν.

1 Ἀμφὶ δὲ τοῦτον τὸν χρόνον Εὐνόμιος, ὃς ἀντὶ
Ἐλευσίου τὴν ἐν Κυζίκῳ ἐκκλησίαν κατεῖχε, τῆς
Ἀρείου αἱρέσεως προϊστάμενος, ἑτέραν παρὰ ταύτην
εἰσηγήσατο· ἣν οἱ μὲν ἀπ' αὐτοῦ ὀνομάζουσιν, οἱ
2 δὲ τὴν τῶν Ἀνομοίων καλοῦσι. Φασὶ δέ τινες, πρῶ-
τον τοῦτον Εὐνόμιον τολμῆσαι εἰσηγήσασθαι, ἐν μιᾷ
καταδύσει χρῆναι ἐπιτελεῖν τὴν θείαν βάπτισιν, καὶ
παραχαράξαι τὴν ἀπὸ τῶν ἀποστόλων εἰσέτι νῦν ἐν
πᾶσι φυλαττομένην παράδοσιν. Καὶ ὡς ἐπίπαν, ἑτέ-
ραν τινὰ τῆς αὐτοῦ ἐκκλησίας ἐξευρεῖν ἀγωγήν,
σεμνότητι καὶ ἀκριβείᾳ πλείονι τὴν καινότητα περι-
3 πέττουσαν. Ἐγένετο δὲ καὶ τεχνίτης λόγων, καὶ ἐρι-
στικός, καὶ συλλογισμοῖς χαίρων· τοιούτους δὲ τοὺς
πολλοὺς τῶν τὰ αὐτοῦ φρονούντων ἔστιν ἰδεῖν. Οὐ
μᾶλλον γὰρ ἐπαινοῦσι βίον ἀγαθὸν ἢ τρόπον, ἢ τὸν

CAPUT XXVI.

De Eunomio, et de magistro ejus Aëtio. Quæ fuerit utriusque vita, et quæ dogmata. Et quod primi unicam in baptismo mersionem induxerint.

Eodem fere tempore Eunomius, qui Eleusii loco Cyzicenam regebat ecclesiam, cum Arianorum sectæ præesset, novam insuper hæresim invexit, quam alii quidem ex ejus nomine, alii vero Anomœorum appellant. Aiunt porro hunc Eunomium primum omnium ausum esse asserere, quod sacrum baptisma unica mersione peragendum sit: et apostolicam traditionem quæ etiamnum ubique servatur, corrupisse: aliam denique ecclesiæ suæ disciplinam plerisque in rebus introduxisse, quæ gravitate ac severitate quadam novitatem suam obtegeret. Fuit autem peritissimus dicendi artifex, et disputationibus atque argumentis delectabatur. Certe plerosque eorum qui hanc sectam profitentur, ejusmodi ingenio præditos licet cernere. Neque enim vitæ morumque probitatem,

περὶ τοὺς δεομένους ἔλεον, εἰ μὴ τὰ αὐτὰ δοξάζοιεν, ὅσον εἴ τις ἐριστικῶς διαλέγοιτο, καὶ κρατεῖν δοκοίη συλλογιζόμενος· ὁ τοιοῦτος γὰρ εὐσεβὴς παρὰ πάν-
4 τας νομίζεται. Ὡς ἄλλοις δοκεῖ[a], τἀληθέστερον, οἶμαι, λέγουσιν, ὡς Θεοφρόνιος ὁ Καππαδόκης, καὶ Εὐτύχιος, σπουδασταὶ ταύτης τῆς αἱρέσεως, ἀποτεμόντες σφᾶς ἐπὶ τῆς ἐχομένης βασιλείας, περί τε ἄλλα τῶν Εὐνομίῳ δοξάντων, καὶ περὶ τὴν θείαν βάπτισιν ἐνεωτέρισαν· οὐκ εἰς Τριάδα, ἀλλὰ εἰς τὸν τοῦ Χριστοῦ 253
5 θάνατον βαπτίζεσθαι εἰσηγησάμενοι. Εὐνόμιον μέντοι μηδὲν περὶ τούτου[b] καινοτομῆσαι, ἀλλ' ἐξ ἀρχῆς τοῦτον τὰ Ἀρείου φρονῆσαι, καὶ οὕτω διαμεῖναι· ἐπίσκοπον δὲ Κυζίκου γενόμενον, κατηγορηθῆναι ὑπὸ τῶν ὑπ' αὐτὸν κληρικῶν, ὡς νεωτέρων δογμάτων
6 εἰσηγητήν. Τηνικαῦτα δὲ Εὐδόξιον τὸν ἡγούμενον ἐν Κωνσταντινουπόλει τῆς Ἀρείου αἱρέσεως, μετα-

[a] Scribendum est proculdubio ὡς δὲ ἄλλοις δοκεῖ, τ' ἀληθέστερον οἶμαι λέγουσιν, Θεοφρόνιος etc. quam lectionem secuti videntur Musculus et Christophorsonus. VALESIUS. Superfluum non est secundum ὡς, sequentia enim sensu pendent de præcedenti φασὶ δέ τινες, supra.

[b] Mallem scribere περὶ τοῦτο. Ita certe loquitur paulo post Sozomenus. VALESIUS.

et in egentes misericordiam tantum laudant in aliquo, nisi forte is sectam ipsorum sequatur, quantum laudare solent, si quis in disputando contentiosus fuerit, et adversarios ratiocinando superare videatur. Hujusmodi enim vir, præ reliquis omnibus pius ab illis existimatur. Alii vero dicunt, quos quidem veriora dicere arbitror, Theophronium Cappadocem, et Eutychium, istius hæresis defensores acerrimos, sequentis imperatoris principatu, cum se ab Eunomio abrupissent, tum alia ex Eunomii decretis, tum ea quæ ad sacrum baptismum pertinent innovasse, asserentes non in Trinitatem, sed in Christi mortem baptizari oportere. Eunomium certe nihil hac in parte novasse affirmant. Sed ab initio quidem opinioni Arii adhæsisse, et in ea perseverasse: postea vero cum episcopus Cyzici factus fuisset, accusatum esse a clericis suis, tanquam novorum dogmatum assertorem. Itaque Eudoxium qui Arianæ sectæ præerat Constantinopoli, cum evocasse, jussisseque ut de sua doctrina publice in ecclesia verba faceret. Cumque ni-

καλεσάμενον αὐτὸν, ἐπιτρέψαι τῷ λαῷ προσομιλῆσαι
περὶ τοῦ δόγματος· μὴ καταγνόντα δὲ μηδὲν, προ-
τρέψασθαι μὲν εἰς Κύζικον ἐπανελθεῖν· τὸν δὲ φῆ-
σαι, μὴ αἱρεῖσθαι λοιπὸν τοῖς ἐν ὑπονοίᾳ αὐτῷ γενο-
μένοις συνεῖναι· καὶ πρόφασιν ταύτην τοῦ χωρισμοῦ
7 ποιήσασθαι. Τὸ δὲ ἀληθὲς, ὅτι Ἀέτιον τὸν αὐτοῦ
διδάσκαλον οὐ προσεδέξαντο· ἐφ' ἑαυτοῦ δὲ διαμεῖ-
ναι, μηδὲν τῆς προτέρας δόξης παραλλάξαντα. Ταῦτα
οἱ μὲν, ὧδε· οἱ δὲ, ἑτέρως λέγουσιν. Ἀλλ' εἴτε Εὐ-
νόμιος, εἴτε ἄλλοι τινὲς, περὶ τὴν [c]παράδοσιν τοῦ
βαπτίσματος ταῦτα ἐνεωτέρισαν, ἐμοὶ δοκεῖ, μόνοι
κατὰ τὸν αὐτὸν λόγον κινδυνεύουσιν, ἄμοιροι τῆς
8 θείας βαπτίσεως τὸν βίον καταλιπεῖν. Εἰ γὰρ κατὰ
τὸ νενομισμένον[d] ἐξ ἀρχῆς βαπτισθέντες, πρότερον
αὐτοὶ ἑαυτοὺς ἀναβαπτίζειν οὐκ ἠδύναντο, ἢ[e] τὸ μὴ
συμβὰν ἐπὶ αὐτῶν τὴν ἀρχὴν εἰσηγοῦντο. Καὶ ὃ

[c] Mallem παρὰ τήν.

[d] Non dubito quin scribendum sit οἱ γὰρ etc. Et post vocem πρότερον subdistinctionem appono, quomodo etiam Savilius in suo codice apposuit. In cod. Fuk. πρότεροι: quam lectionem in versione mea secutus sum. VALESIUS. Legendum videtur ἢ γάρ.

[e] Ita B. Steph. Genev. οἱ nescio quo auctore Valesius. Vide Annott.

hil in eo damnasset, monuisse ut Cyzicum reverteretur. Eunomium vero respondisse, nolle se amplius versari cum iis quo suspectos haberet. Et hanc quidem causam secessionis suæ illum prætendisse: revera autem ideo secessisse, quod Aëtium præceptorem suum suscipere renuissent. Post hæc Eunomium in propriis ædibus mansisse, nec de pristina sententia quidquam omnino mutasse. Et hæc alii quidem hoc modo, alii vero aliter narrant. Verum sive Eunomius, sive qui alii, hæc in traditione baptismi innovarint, verendum est ipsis, mea quidem sententia, ne soli omnium juxta hanc rationem, expertes sacri baptismatis ex hac vita discedant. Nam primi illi qui juxta consuetudinem ab initio traditam baptizati fuerant, semet ipsi rebaptizare minime potuerunt. Qui tamen id quod ipsis minime obtigerat, primitus introduxerunt: idque aliis præstiterunt, quod neque ipsi erant, ne-

μήτε αὐτοὶ ἦσαν μήτε δι' ἄλλων ἐγένοντο, τοῦτο ἑτέ-
ρους ἐποίουν· καὶ ἐξ ἀνυποστάτου τινὸς ἀρχῆς καὶ
ἰδίας καταλήψεως τοῦτο τὸ δόγμα συστησάμενοι, ἃ
μὴ αὐτοὶ παρειλήφασιν, ἄλλοις παραδεδώκασιν.
9 Ὅπερ εὔηθές ἐστι. Συνωμολόγηται[f] γὰρ καὶ παρ' αὐ-
τῶν, τοὺς ἀμυήτους μὴ δύνασθαι ἄλλους βαπτίζειν·
ὁ δὲ τῷ τρόπῳ τῆς αὐτῶν παραδόσεως μὴ βαπτισθεὶς,
ἀβάπτιστος αὐτοῖς εἶναι δοκεῖ, ὡς μὴ δεόντως μυη-
θείς· καὶ μαρτυροῦσιν αὐτοὶ, οὓς ἂν δύνωνται πεί-
θειν τὰ αὐτῶν φρονεῖν, ἀναβαπτίζοντες, εἰ καὶ ἔφθα-
σαν μυηθῆναι κατὰ τὴν παράδοσιν τῆς καθόλου ἐκ-
10 κλησίας. Ἐθορύβει μὲν οὖν οὐ μετρίως καὶ ταῦτα
τὴν θρησκείαν· καὶ τοῖς θέλουσι χριστιανίζειν, ἐμπό-
διον ἐγένετο τὸ διάφορον τῶν ἐπιγενομένων δογμά-
των. Ἑκάστοτε γὰρ καρτεραὶ διαλέξεις ἐγίνοντο, καὶ
ὡς ἐν ἀρχομέναις αἱρέσεσιν ἤκμαζον, οὐ τοὺς τυχόν-
τας σπουδῇ καὶ λόγων δυνάμει καθηγητὰς ἔχουσαι·
ὡς δὲ συμβάλλειν ἐστὶ, μικροῦ τῆς καθόλου ἐκκλη- 254
σίας εἰς τὴν αὐτῶν δόξαν τοὺς πλείους παρέσυραν,

[f] συνωμολόγητο C.

que per alios adepti fuerant. Cumque nullo certo principio, sed propria duntaxat comprehensione nixi, istud dogma conflassent; id quod ipsi minime susceperant, aliis tradiderunt: quod quidem extremæ dementiæ est. Nam et apud ipsos in confesso est, eos qui nondum baptizati sunt, baptismum aliis conferre non posse. Qui vero ex ritu traditionis ipsorum baptizatus non fuerit, hic baptizatus ipsis non videtur, utpote qui non rite fuerit consignatus. Idque ipsi testantur, qui quoscumque ad sententiam suam pertrahere potuerint, rebaptizant, tametsi jam prius baptizati fuerint juxta ecclesiæ catholicæ traditionem. Atque hæc quidem religionem nostram non mediocriter conturbarunt: iisque qui Christianam fidem amplecti vellent, plurimum obstitit novorum subinde dogmatum varietas. Acres enim quotidie fiebant disputationes; et ut inter hæreseon exordia fieri solet, vigebant, quippe quæ assertores haberent, zelo atque doctrina non vulgari præditos. Ac meo quidem judicio, plerosque ex catholicis in suam

εἰ μὴ τοὺς ἀμφὶ Βασίλειον καὶ Γρηγόριον τοὺς Καπ-
11 παδόκας, ἀντιπάλους εὗρον. Καὶ ἡ Θεοδοσίου βασι-
λεία οὐκ εἰς μακρὰν ἐπιγενομένη, τὴν ἐπιχείρησιν
ἔστησε, καὶ αὐτοὺς τοὺς ἀρχηγοὺς τῶν αἱρέσεων ἐκ
τοῦ συχνοτέρου τῆς ἀρχομένης εἰς ἐρημοτέρους τόπους
12 ἐχώρισεν[g]. Ὥστε δὲ μὴ παντελῶς ἡμᾶς ἀγνοεῖν τὸ
δόγμα τῆς ἑκατέρου αἱρέσεως, ἰστέον ὡς τῆς κατ'
Εὐνόμιον δόξης πρῶτος Ἀέτιος ὁ Σύρος εὑρετὴς
ἐγένετο, ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν, κτιστόν τε καὶ
ἐξ οὐκ ὄντων γεγονέναι, μετὰ Ἄρειον ἀποφηνάμενος.
13 Καὶ οἱ τάδε φρονοῦντες, Ἀετιανοὶ τὸ πρὶν ὠνομά-
ζοντο. Ἐπεὶ δὲ, ὡς ἐν τῇ Κωνσταντίου βασιλείᾳ εἴ-
ρηται, τῶν μὲν, ὁμοούσιον· τῶν δὲ, ὁμοιούσιον τῷ
Πατρὶ τὸν Υἱὸν δοξαζόντων, ὅμοιον τότε ἔδοξε λέγειν
τοῖς τότε κρατοῦσι κατὰ τὴν ἐν Ἀριμίνῳ[h] σύνοδον,
Ἀέτιος μὲν κατεδικάσθη φεύγειν, ὡς εἰς Θεὸν βλασ-
φημῶν· ἡ δὲ ὑπ' αὐτοῦ συστᾶσα αἵρεσις, τρόπον

g Ita Savilius in marg. assentiente Valesio. ἐχώρησεν codd. et editt. Non dubitavi tamen emendationem recipere in textum, quoniam illæ literæ ι et η in hujusmodi verbis creberrime in codicibus inter se commutantur.

h Ἀριμήνῳ B.

sententiam pertraxissent, nisi Basilius et Gregorius Cappadoces, sese illis opposuissent: ac nisi Theodosius qui paulo post imperavit, impetum illorum repressisset, ipsosque hæreseon auctores ex amœnioribus locis imperii Romani in regiones desertas et squalidas deportasset. Porro ne utriusque hæresis doctrinam penitus ignoremus, sciendum est, Eunomiani dogmatis auctorem primum fuisse Aëtium Syrum, qui Filium Patri dissimilem, et ex nihilo creatum esse, post Arium asseveravit. Itaque qui hanc opinionem sequebantur, Aëtiani primum sunt dicti. Postquam vero, sicut in rebus gestis Constantii retulimus, aliis consubstantialem Patri Filium, aliis substantia similem asserentibus: ii qui in Ariminensi synodo prævalebant, statuerunt ut similis tantum diceretur: Aëtius quidem, utpote qui in Deum impie loqueretur, exsilio damnatus est. Hæresis vero quæ ab illo conflata fuerat, interea temporis quodammodo extincta est, cum nec alius quis-

τινὰ τὸν ἐν μέσῳ διελύθη χρόνον· οὔτε ἄλλου τοῦ[i]
τῶν ἐν λόγῳ, οὔτε Εὐνομίου εἰς τὸ φανερὸν ἐπὶ ταύτῃ
14 παρρησιάζεσθαι τολμῶντος. Ὡς δὲ τὴν Κυζικηνῶν
ἐκκλησίαν ἀντὶ Ἐλευσίου παρείληφεν, οὐκέτι παντε-
λῶς ἠρεμεῖν ἠνείχετο· καὶ ἐν πλήθει διαλεγόμενος,
αὖθις τὴν Ἀετίου δόξαν εἰς μέσον ἤγαγεν. Οἷα δὲ
φιλεῖ πολλάκις, ἐπιλαθόμενοι οἱ ἄνθρωποι τοῦ πρώ-
τως[k] ταύτην εὑρόντος τὴν αἵρεσιν, Εὐνομίῳ τοὺς ὧδε
φρονοῦντας ἐπωνόμασαν, καθότι μετὰ Ἀέτιον τοῦτο
τὸ δόγμα ἀνενέωσε, καὶ τολμηρότερον ἐπεξειργάσατο
τοῦ τὴν ἀρχὴν παραδόντος.

ΚΕΦ. ΚΖ'.

Περὶ Ἀπολιναρίου, καὶ Εὐνομίου, οἷα ὁ θεόλογος Γρηγόριος ἐν τῇ πρὸς Νεκτάριον γράφει ἐπιστολῇ· καὶ ὅτι ἀπὸ τῆς φιλοσοφίας τῶν τότε βιούντων μοναχῶν τὰ τῆς αὐτῶν ἐσβέσθη αἱρέσεως· πᾶσαν γὰρ τὴν ἕω σχεδὸν ἡ αἵρεσις τῶν δύο τούτων διέλαβε.

1 Εὐνόμιον μὲν οὖν τὰ αὐτὰ φρονεῖν Ἀετίῳ, συνομολογεῖν δέον· καὶ γὰρ δὴ καὶ αὐτὸς Εὐνόμιος Ἀέτιον

[i] Ita B. τοῦ om. ceteri. [k] πρώτου C.

piam alicujus momenti vir, nec Eunomius ipse eam palam defendere auderet. Verum ubi Cyzicenæ urbis episcopatum Eleusii loco suscepit, non jam amplius se continuit: sed coram populo disserens, opinionem Aëtii rursus in medium produxit. Homines vero, sicut plerumque fieri solet, ejus qui hæresim illam primum excogitaverat obliti, opinionis illius sectatores Eunomianos cognominarunt, propterea quod Eunomius post Aëtium hæresim illam renovaverat, et majore cum audacia quam ille a quo primum fuerat tradita, eam adstruxerat.

CAPUT XXVII.

Quæ Gregorius Theologus de Apollinare deque Eunomio scribit in epistola ad Nectarium: utque per sapientiam monachorum qui eo tempore vivebant, hæresis illorum extincta est. Totum enim fere Orientem hæ duæ hæreses occuparunt.

Eunomium certe eadem cum Aetio sensisse omnino fatendum est. Nam et ipsemet Eunomius Aetium præceptorem suum fuisse

διδάσκαλον αὐχεῖ, καὶ μαρτυρεῖ τοῦτο πολλάκις ἐν ἰδίοις γράμμασι παρρησιαζόμενος. Ἀπολινάριον δὲ ἐπαιτιώμενος Γρηγόριος ὁ Ναζιανζὸν[1] ἐπισκοπήσας, ἐν ἐπιστολῇ που τάδε γράφει πρὸς Νεκτάριον τὸν ἡγησάμενον τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας.

2 Τὸ δὲ ἐγκόλπιον ἡμῶν κακὸν Εὐνόμιος[m], οὐκέτι ἀγαπᾷ τὸ ὁπωσοῦν εἶναι· ἀλλ' εἰ μὴ πάντας τῇ αὐτοῦ ἀπωλείᾳ συνεφελκύσαιτο, ζημίαν κρίνει. Καὶ ταῦτα μὲν φορητά. Τὸ δὲ πάντων χαλεπώτατον ἐν ταῖς ἐκκλησιαστικαῖς
3 συμφοραῖς, ἡ τῶν Ἀπολιναριστῶν[n] ἐστὶ παρρησία. Οὓς οὐκ οἶδα πῶς[o] παρεῖδέ σου ἡ ὁσιότης, ποριςαμένους ἑαυτοῖς τὴν τοῦ συνάγειν ὁμοτίμως ἡμῖν παρρησίαν[p]. Πάν- 255
τως μὲν οὖν διὰ πάντων κατὰ Θεοῦ χάριν τὰ θεῖα πεπαιδευμένος μυστήρια, οὐ μόνον τὴν τοῦ Θεοῦ λόγου[q] συνηγορίαν ἐπίστασαι, ἀλλὰ κἀκεῖνα ὅσα παρὰ τῶν αἱρετικῶν κατὰ τῆς ὑγιαινούσης ἐπινενόηται πίστεως· πλὴν παρὰ[r] τῆς βραχύτητος ἡμῶν οὐκ ἄκαιρον ἴσως ἀκοῦσαί σου τὴν

[1] Ναζιανζῶν libri omnes, male: nam si de Nazianzenis dictum esset, scribere oportebat Ναζιανζηνῶν: at vero ἐπισκοπεῖν accusativum casum post se exposcit. Ναζιανζῶν denique est vox nihili; non enim αἱ Ναζιανζοὶ nec τὰ Ναζιανζὰ dicta fuit urbs, sed ἡ Ναζιανζός.

[m] ὁ Εὐνόμ. Gregor. Naz. Epist. ccii.

[n] Ἀπολλιναριαστῶν B.

[o] ὅπως Theodoret.

[p] ἐξουσίαν Gregor. Theodoret.

[q] τὴν τοῦ ὀρθοῦ λόγ. Gregor.

[r] καὶ παρὰ Gregor. καὶ περὶ B.

jactat, idque sæpenumero in libris suis palam ac libere testatur. Apollinarem vero Gregorius Nazianzenus episcopus, in quadam epistola ad Nectarium episcopum Constantinopolitanum accusat his verbis. Intestinum vero malum nostrum Eunomius, non jam satis habet quomodocunque vivere: sed nisi cunctos in eandem secum perniciem traxerit, damnum se pati existimat. Et hæc quidem utcumque toleranda. Sed Apollinaristarum licentia, inter ecclesiæ calamitates omnium est acerbissima. Quos quidem collectas perinde ac nos celebrandi facultatem sibi comparasse, nescio quo modo sanctitas tua passa sit. Ac tu quidem cum singulari Dei beneficio divina mysteria apprime edoctus sis, non eas solum quæ ad Dei Verbi patrocinium spectant probe nosti, verum etiam quæcumque ab hæreticis adversus sanam fidem excogitata sunt.

σεμνοπρέπειαν, ὅτι μοι πυκτίον[s] γέγονεν ἐν χερσὶ τοῦ
Ἀπολιναρίου, ἐν ᾧ τὰ κατασκευαζόμενα πᾶσαν αἱρετικὴν
4 κακίαν παρέρχεται. Διαβεβαιοῦται γὰρ μὴ ἐπίκτητον
εἶναι τὴν σάρκα κατ' οἰκονομίαν τοῦ μονογενοῦς[t] Υἱοῦ
τοῦ Θεοῦ προσληφθεῖσαν ἐπὶ μεταστοιχειώσει τῆς φύ-
σεως ἡμῶν, ἀλλ' ἐξ ἀρχῆς ἐν τῷ υἱῷ τὴν σαρκώδη ἐκείνην
φύσιν εἶναι. καὶ κακῶς ἐκλαβὼν εὐαγγελικήν τινα ῥῆσιν,
εἰς μαρτυρίαν τῆς τοιαύτης ἀτοπίας προβάλλεται, λέγων·
οὐδεὶς ἀναβέβηκεν εἰς τὴν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ
καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου· ὡς καὶ πρὶν[u] κατελθεῖν αὐτὸν,
υἱὸν ἀνθρώπου εἶναι, καὶ κατελθεῖν ἰδίαν ἐπαγόμενον σάρκα
ἐκείνην, ἣν ἐν τῷ οὐρανῷ ἔχων[x] ἐτύγχανε, προαιώνιόν τε
5 καὶ συνουσιωμένην. Λέγει γὰρ πάλιν ἀποστολικήν τινα[y]
ῥῆσιν[z], ὅτι ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ· εἶτα κατα-
σκευάζει τὸν ἄνθρωπον ἐκεῖνον τὸν ἄνωθεν ἥκοντα, νοῦν μὴ
ἔχειν· ἀλλὰ τὴν θεότητα τοῦ μονογενοῦς, τὴν τοῦ νοῦ
φύσιν[a] ἀναπληρώσασαν, μέρος γενέσθαι τοῦ ἀνθρωπίνου[b]
συγκρίματος τὸ τριτημόριον· ψυχῆς τε καὶ σώματος

[s] πτύκτιον ἦλθεν Gregor.
[t] ὑπὸ τοῦ μον. Gregor.
[u] πρὶν τοῦ Gregor.
[x] Ita B. ἐν τοῖς οὐρανοῖς ἔχων Gregor. ἔχων ἐν τῷ οὐρανῷ editt.
[y] προαιώνιόν τινα καὶ Gregor.
[z] ῥῆσιν τοῦ ὅλου σώματος τῆς συμφράσεως ἀποκνίσας Gregor.
[a] τοῦ αὐτοῦ φύσιν C.
[b] ἀνθρωπείου Gregor.

Non tamen intempestivum fuerit, ut gravitas tua ex tenuitate nostra discat, incidisse in manus meas libellum Apollinaris, in quo ea quæ adstruuntur, omnem hæreticorum improbitatem excedunt. Affirmat enim carnem illam quæ ab unigenito Dei Filio per dispensationem assumpta est ad naturæ nostræ instaurationem, adsciticiam non esse: sed carnalem illam naturam ab initio fuisse in Filio. Et quædam verba ex evangelio male accipiens, ad hujus absurdæ opinionis confirmationem adducit, ita dicens: Nemo ascendit in cœlum, nisi qui de cœlo descendit Filius hominis: adeo ut priusquam descenderet, Filius hominis fuerit, descenderitque propriam afferens carnem; eam scilicet quam jam in cœlo habebat, æternam et substantiæ ipsius coalitam. Profert enim rursus quendam apostoli locum: in quo legitur, Secundus homo de cœlo. Deinde asserit hominem illum qui e cœlo descendit, mentem non habere: sed unigeniti Deitatem quæ mentis locum suppleverit, tertiam fuisse partem humani compositi: cum anima

κατὰ τὸ ἀνθρώπινον περὶ αὐτὸν ὄντων, νοῦ δὲ μὴ ὄντος,
ἀλλὰ τοῦ Θεοῦ λόγου τὸν ἐκείνου τόπον[c] ἀναπληροῦντος.
6 Καὶ οὔπω τοῦτο δεινὸν θέαμα[d]· ἀλλὰ τὸ πάντων χαλε-
πώτατον, ὅτι αὐτὸν τὸν μονογενῆ Θεὸν, τὸν κριτὴν τῶν
ὄντων, τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν καθαιρέτην τοῦ θανά-
του, θνητὸν εἶναι κατασκευάζει· καὶ ἐν τῇ ἰδίᾳ αὐτοῦ θεό-
τητι πάθος[e] δέξασθαι, καὶ ἐν τῇ τριημέρῳ ἐκείνῃ νεκρώσει
τοῦ σώματος, καὶ τὴν θεότητα συναπονεκρωθῆναι τῷ σώ-
ματι· καὶ οὕτω παρὰ τοῦ Πατρὸς πάλιν ἀπὸ τοῦ θανάτου
διαναστῆναι. Τὰ δὲ ἄλλα ὅσα προστίθησι ταῖς τοιαύ-
ταις ἀτοπίαις, μακρὸν ἂν εἴη διεξιέναι.
7 Οἷα μὲν οὖν καὶ ὅπως περὶ Θεοῦ[f] δοξάζουσιν
Ἀπολινάριός τε καὶ Εὐνόμιος, ἐκ τῶν εἰρημένων ὅτῳ
μέλει σκοπείτω. Εἰ δὲ περὶ μάθησιν ἀκριβῆ τῶν
τοιούτων πονεῖν ἔγνωκεν[g], ἐκ τῶν γεγραμμένων, ἢ
αὐτοῖς, ἢ ἑτέροις περὶ αὐτῶν[h], ἐπιζητείτω τὰ πλείω·
ἐπεὶ ἐμοὶ οὔτε συνιέναι τὰ τοιαῦτα, οὔτε μεταφράζειν
8 εὐπετές. Ὡς ἔοικε δὲ, πρὸς ταῖς εἰρημέναις αἰτίαις,

c τὸν ἐκείνου τόπον τοῦ θεοῦ λόγου Gregor.
d θέαμα om. Gregor. Thdrt.
e τὸ πάθος Theodoret.
f καὶ ὅπως περὶ Θεοῦ om. B. Steph. suppl. Christ. Vales. et (καὶ omisso) Scal.
g σκοπεῖν ἔγν. J. Christ. Scal.
h περὶ αὐτῶν om. B. Steph. suppl. Christ. Vales.

quidem et corpus juxta hominum naturam in eo essent: mens autem non esset, sed Deus Verbum ejus locum impleret. Nec hoc adhuc grave piaculum. Sed quod omnium longe gravissimum est, ipsum unigenitum Deum, qui omnium judex, qui auctor vitæ, qui mortis destructor est, mortalem esse contendit, et in propria divinitate passum esse; et in triduana illa corporis morte divinitatem quoque ei commortuam fuisse; atque ita demum Patris beneficio ex more ad vitam esse revocatam. Cetera quæ hujusmodi absurdis assertionibus adjungit, longum fuerit commemorare. Quænam igitur et qualia de Deo senserint Apollinaris et Eunomius, ex his quæ diximus, intelligere poterit, qui volet. Quod si quis accuratam hujusmodi rerum notitiam desiderat, ex iis quæ ipsi, vel quæ alii de ipsis scripserunt, plura poterit cognoscere. Neque enim mihi facile est aut intelligere ista, aut exponere. Ceterum quod dogmata ista non prævaluerint, nec ad mul-

τὸ μὴ κρατῆσαι τάδε τὰ δόγματα καὶ εἰς πολλοὺς προελθεῖν, μάλιστα τοῖς τότε μοναχοῖς λογιστέον· ἀπρὶξ γὰρ εἴχοντο τῶν ἐν Νικαίᾳ δογμάτων οἵτε ἐν Συρίᾳ καὶ Καππαδοκίᾳ καὶ πέριξ τούτων φιλοσο-
9 φοῦντες. Ἡ μὲν γὰρ ἕως[f], ἀπὸ Κιλίκων ἀρξαμένη μέχρι Φοινίκων, ἐκινδύνευσε γενέσθαι[g] τῆς Ἀπολιναρίου αἱρέσεως· Εὐνομίου δὲ ἀπὸ Κιλίκων, καὶ Ταύρου τοῦ ὄρους, καὶ μέχρι τοῦ Ἑλλησπόντου καὶ τῆς 256 Κωνσταντινουπόλεως. Ῥᾳδίως γὰρ ἑκάτερος παρ' οἷς διέτριβε, καὶ τοὺς πέλας, τὰ αὐτοῦ φρονεῖν ἔπειθε.
10 Παραπλήσιον δέ πως τοῖς ἐπὶ[h] Ἀρείου, καὶ ἐπὶ τούτοις συμβέβηκε· τὸ γὰρ τῇδε πλῆθος τοὺς δηλωθέντας μοναχοὺς τῆς ἀρετῆς τῶν ἔργων ἐκθαυμάζον[i], ὀρθῶς αὐτοὺς δοξάζειν ἐπίστευε· καὶ τοὺς ἄλλως φρονοῦντας, οἷά γε μὴ καθαρεύοντας, νόθων δογμάτων ἀπεστρέφοντο[k]· ὥσπερ Αἰγύπτιοι τοῖς παρ' αὐτοῖς μοναχοῖς ἑπόμενοι, ἐναντίως εἶχον πρὸς τοὺς Ἀρείου.

[f] Cod. Fuk. ἕω, quod minime negligendum putavi. VALESIUS.

[g] Cod. Fuk. μερίδος, quod magis placet. VALESIUS.

[h] ἀπ' Christ.

[i] ἐθαύμαζον Steph. θαύμαζον Christ. ἐνθαύμαζον Curt. hic lacuna est in B.

[k] ἀπεστρέφετο Christ.

tos permanarint, præter eas causas quas supra dixi, monachis potissimum ut arbitror adscribendum est. Nam quotquot in Syria et Cappadocia, et circumsitis provinciis monasticam philosophiam sectabantur, Nicænæ synodi decretis mordicus adhærebant. Parum certe abfuit quin Orientis omnes provinciæ, a Cilicia usque ad Phœnicen, Apollinaris hæresim amplecterentur. Eunomii autem hæresis, a Cilicia et monte Tauro ad Hellespontum usque ad Constantinopolim, cuncta propemodum occupavit. Uterque enim tum eos apud quos morabantur, tum eorum finitimos, in suam sententiam facile perduxerunt. Idem porro istis accidit, quod antea Arianis acciderat. Populus enim in illis regionibus, cum monachos quos supra diximus, ob virtutem atque opera valde admiraretur, recte illos sentire existimabat: eos vero qui aliter sentirent, tanquam adulterinis opinionibus inquinatos, aversabantur. Quemadmodum olim Ægypti monachorum suorum doctrinam secuti, Arianis fortiter restiterant.

ΚΕΦ. ΚΗ'.

Περὶ τῶν κατὰ τοὺς καιροὺς ἐκείνους ἀκμασάντων ἁγίων ἀνδρῶν ἐν Αἰγύπτῳ, Ἰωάννου, Ὢρ, Ἀμῶν, Βήνου, Θεωνᾶ, Κόπρου, Ἑλλῆ, Ἠλία, Ἀπελλοῦ, Ἰσιδώρου, Σεραπίωνος, Διοσκόρου, καὶ Εὐλογίου.

1 *Εἰς καιρὸν δέ μοι δοκεῖ, ἐπιμνησθέντα τῶν τότε ἐν*
Χριστιανισμῷ φιλοσοφούντων, ὅσους ἂν δυναίμην
διεξελθεῖν. Πλείστη γὰρ κατ' ἐκεῖνο καιροῦ φορὰ
θεοφιλῶν ἀνδρῶν ἐπήνθει. Διέπρεπε δὲ κατὰ τούτους
ὧν ἴσμεν ἐν Αἰγύπτῳ Ἰωάννης, ᾧ τὸ μέλλον καὶ
ἄλλοις ἄδηλον ὁ Θεὸς ἐδήλωσεν, οὐχ ἧττον ἢ τοῖς
πάλαι[1] *προφήταις· καὶ δῶρον ἔδωκεν ἰᾶσθαι τοὺς*
2 *ἀνιάτοις πάθεσι καὶ νόσοις κάμνοντας. Καὶ Ὢρ, ὃς*
ἐκ νέου διέτριβεν ἐν ἐρήμοις, ἀεὶ τὸ θεῖον ὑμνῶν.
Ἐτρέφετο δὲ βοτάναις καὶ ῥίζαις τισίν· ὕδωρ δὲ
ἔπινεν εἴ πῃ εὗρεν. Ἐπεὶ δὲ γέρων ἦν, κατὰ θείαν
πρόσταξιν μετοικισθεὶς εἰς Θηβαΐδα, πλείστων ἡγεῖτο
μοναστηρίων, οὐδ' αὐτὸς θείων πράξεων ἀμοιρῶν.
Μόνον γὰρ εὐχόμενος, νόσους καὶ δαίμονας ἤλαυνε.

[1] Ita B. C. Niceph. xi. 34. ἄλλοις πάλαι editt.

CAPUT XXVIII.

De sanctis viris qui tunc in Ægypto floruerunt, Joanne, Or, Amon, Beno, Theona, Copre, Helle, Elia, Apelle, Isidoro, Serapione, Dioscoro, et Eulogio.

Sed quando in mentionem incidi eorum qui tunc temporis inter Christianos philosophati sunt, opportunum arbitror quoscumque nunc potuerim, commemorare. Ea enim tempestate ingens copia hominum Deo dilectorum effloruit. Ex iis vero quos in Ægypto vixisse accepimus, præcipuus fuit Joannes: cui Deus non minus quam veteribus illis prophetis, futurarum abditarumque rerum cognitionem donaverat: eosque qui insanabilibus morbis laborabant curandi dederat potestatem. Or præterea, qui ab ineunte ætate vixit in solitudine, hymnos assidue in Dei laudem canens. Vescebatur autem plantis quibusdam ac radicibus. Aquam vero bibebat, sicubi invenerat. Qui cum jam ad senilem venisset ætatem, Deo jubente migrans in Thebaïdem, plurimis illic monasteriis præfuit, ne ille quidem miraculorum expers. Morbos enim ac

Καὶ γράμματα μὴ μαθὼν, οὐκ ἐδεῖτο βιβλίων εἰς
ἀνάμνησιν· ἀλλὰ πᾶν ὅπερ ἔλαβεν εἰς νοῦν, κρεῖττον
3 λήθης ἐτύγχανε. Περὶ δὲ τοῦτο τὸ κλίμα, ἐφιλοσόφει
καὶ Ἀμμὼν, ὁ τῶν καλουμένων Ταβεννησιωτῶν ἡγού-
μενος, ἀμφὶ τρισχιλίους μαθητὰς ἔχων· καὶ Βῆνος δὲ
καὶ Θεωνᾶς μοναχικῶν ἡγοῦντο ταγμάτων, καὶ θείας
προγνώσεως καὶ προφητείας[m] ἔμπλεω. Λέγεται δὲ
καὶ[n] Θεωνᾶν μὲν ἵστορα ὄντα τῆς Αἰγυπτίων καὶ
Ἑλλήνων καὶ Ῥωμαίων παιδεύσεως, ἐπὶ τριάκοντα
ἔτεσι σιωπὴν ἀσκῆσαι. Βῆνον δὲ, παρ' οὐδενὸς θεα-
θῆναι ὀργιζόμενον, ἢ ὀμνύοντα, ἢ ψευδόμενον, ἢ εἰ-
καῖον, ἢ θρασὺν, ἢ ὠλιγωρημένον εἰπόντα λόγον.
4 Περὶ τοῦτον τὸν χρόνον, ἐγένετο Κόπρης τε καὶ Ἑλ-
λῆς, καὶ Ἠλίας. Φασὶ δὲ Κόπρη μὲν δωρηθῆναι
θεόθεν ἰάσεις παθῶν, καὶ νοσημάτων ποικίλων, καὶ
5 δαιμόνων κρατεῖν. Ἑλλῆν δὲ παιδευόμενον ἐκ νέου
τὴν μοναχικὴν ἀγωγὴν, πλεῖστα παραδοξοποιεῖν· ὡς
καὶ πῦρ ἐν τῷ κόλπῳ κομίζειν, καὶ μὴ καίειν τὴν

[m] προφητίας editt. [n] καὶ om. B.

dæmones oratione sola fugabat. Cumque literas non didicisset, libris opus non habebat ut reminisceretur: sed quicquid mente perceperat, nulla unquam delere poterat oblivio. In eadem regione philosophabatur etiam Ammon, præfectus monachis qui Tabennenses vocabantur, et tria circiter millia habens discipulorum. Benus item ac Theonas monachorum consortiis præerant, præscientiæ ac prophetiæ cœlesti dono prædititi. Ac Theonas quidem, Ægyptiorum et Græcorum Romanorumque literis ac disciplinis eruditus, annis triginta silentium exercuisse dicitur. Benus vero a nemine unquam visus esse fertur iratus, aut jusjurandum proferens aut mendacium; nec audacter, aut negligentius loquens, nec inanem sermonem effutiens. Eodem tempore vixerunt Copres, Helles, et Elias. Et Copræ quidem a Deo id donatum esse perhibent, ut varios morbos ac languores sanaret, et dæmones ejiceret. Helles vero monasticam disciplinam ab adolescentia edoctus, multa admirabilia gessit. Adeo ut ignem in sinu gestaret, nec vestem interim combureret: eaque re monachos qui cum ipso

ἐσθῆτα. καὶ τούτῳ παροτρύνειν τοὺς συμμονάζοντας, ὡς τῇ ἀγαθῇ πολιτείᾳ καὶ τῆς ἐπιδείξεως τῶν παρα-
6 *δόξων ἑπομένης. Ἠλίας δὲ, τότε μὲν οὐ πόρρω τῆς Ἀντινόου πόλεως ἐφιλοσόφει, ἀμφὶ τοὺς ἑκατὸν καὶ* 257
δέκα ἄγων ἐνιαυτούς. Πρὸ τούτου δὲ ἔλεγεν[o] *ἐπὶ ἑβδομήκοντα ἔτεσι μόνος ἐρημίαν*[p] *οἰκῆσαι· ἐπὶ τοσοῦτον δὲ γηραλέος γεγονὼς, διετέλεσε νηστεύων καὶ*
7 *ἀνδρείως πολιτευόμενος. Ἐπὶ τούτοις καὶ Ἀπελλῆς τηνικάδε διέπρεπε περὶ Ἄχωριν, ἐν τοῖς κατ' Αἴγυπτον μοναστηρίοις πλεῖστα θαυματουργῶν. Ὅν ποτε χαλκεύοντα, τοῦτο γὰρ ἐπετήδευε, νύκτωρ φάσμα δαίμονος, ὡς γυνὴ εὐπρεπὴς, εἰς σωφροσύνην ἐπείρα. Ὁ δὲ, σίδηρον ὃν εἰργάζετο ἐκ τοῦ πυρὸς ἐξερύσας, κατέφλεξε τοῦ δαιμονίου τὸ πρόσωπον· τὸ δὲ, τετρι-*
8 *γὸς*[q] *καὶ ὀλοφυρόμενον ἀπέδρασεν. Ἐπιφανέστατοι δὲ τότε πατέρες μοναχῶν ἦσαν, Ἰσίδωρός τε καὶ Σεραπίων, καὶ Διόσκορος. Ἀλλ' Ἰσίδωρος μὲν, πανταχόθεν περιφράξας τὸ μοναστήριον, ἐπεμελεῖτο μηδένα*

[o] *ἐλέγετο* Christ.
[p] Ita B. *τὴν ἔρημον* Niceph. *ἐν ἐρημίαις* editt.
[q] Ita Niceph. *τετρηγὸς* libri omnes: quæ vox nihili est.

degebant magnopere incitaret, quasi bonæ conversationis comes esset miraculorum perpetratio. Elias vero, tunc quidem haud procul ab urbe Antinoo philosophabatur, annos natus decem circiter supra centum. Antea vero dicebat se in desertis locis solitarium mansisse annis septuaginta. Ac licet adeo provecta esset ætate, nihilo tamen minus in jejuniis et districta vivendi ratione perseveravit. Præter hos Apelles iisdem temporibus claruit, qui juxta oppidum Achorim in monasteriis Ægypti plurima edidit miracula. Huic aliquando opus fabrile facienti: eam enim artem profitebatur: spectrum dæmonis, instar decoræ mulieris, noctu apparens, tentare cœpit ejus continentiam. Tum ille ferrum quod fabricabatur, ex igne extrahens, dæmonis faciem combussit. Atque ita dæmon stridens atque ejulans aufugit. Sed et Isidorus et Serapion ac Dioscorus, nobilissimi tunc temporis monachorum patres fuerunt. Et Isidorus quidem, cum monasterium suum undique circumsepsisset, diligenter cavebat ne quis foras egrederetur,

τῶν ἔνδον θύραζε ἐξιέναι, καὶ πάντα τὰ ἐπιτήδεια
9 ἔχειν. Σεραπίων δὲ, περὶ τὸν Ἀρσενοΐτην[q] διέτριβεν,
ἀμφὶ τοὺς μυρίους ὑφ' ἑαυτὸν ἔχων. Πάντας δὲ ἦγεν
ἐξ οἰκείων ἱδρώτων τὰ ἐπιτήδεια πορίζεσθαι, καὶ ἄλ-
λοις δεομένοις χορηγεῖν· ὥρᾳ δὲ θέρους ἐπὶ μισθῷ
ἀμῶντες, ἀρκοῦντα αὐτοῖς σῖτον ἀπετίθεντο, καὶ ἄλ-
10 λοις μοναχοῖς μετεδίδουν. Διοσκόρῳ δὲ οὐ πλείους
ἑκατὸν ἐφοίτων. Πρεσβύτερος δὲ ὢν, ἐν τῷ ἱερᾶσθαι
διὰ πάσης ἀκριβείας ἐχώρει· βασανίζων καὶ ἐπιμελῶς
ἀνακρίνων τοὺς προσιόντας τοῖς μυστηρίοις[r], ὥστε
αὐτοὺς προκεκαθάρθαι τὸν νοῦν, καὶ μὴ συνειδέναι τὶ
11 πεπραχέναι δεινόν. Ἀκριβέστερος[s] δὲ τότε ἐγένετο
περὶ τὴν μετάδοσιν τῶν θείων μυστηρίων καὶ Εὐλό-
γιος πρεσβύτερος· ὅν φασιν ἱερωμένον[t], πρόγνωσιν

[q] Scribendum est ἀρσινοΐτην. Observavi tamen Græcos fere ἀρσενοΐτην dicere pro Arsinoite nomo seu præfectura. Sic enim apud Eusebium scribitur etiam in optimis exemplaribus. Et apud Palladium in Lausiaca cap. 76. Et apud Ptolemæum in descriptione Ægypti. VALESIUS.

[r] τοῖς μοναστηρίοις J.

[s] Ita B. quod jam Savilius et Valesius probaverant. ἀκριβέστερον editt.

[t] Scribendum est ἱερώμενον, accentu in antepenultimam rejecto. Differunt enim inter se hæc duo, ἱερώμενος et ἱερωμένος. Prior accentus denotat eum qui sacrum facit, ac missarum solemnia celebrat. Posterior designat sacerdotem, seu virum divino numini consecratum. VALESIUS.

studens ut omnia necessaria intus suppeterent. Serapion vero juxta Arsenoiticam præfecturam vixit, mille circiter monachos regens. Quos omnes ita instituebat, ut propriis laboribus victum sibi compararent, et aliis indigentibus subministrarent. Messis autem tempore, pretio conducti fruges metebant, et frumentum quod sibi sufficeret recondebant, et aliis monachis gratis dabant. Dioscori vero, haud plures quam centum erant discipuli. Qui cum esset presbyter, summa cum diligentia sacerdotale munus implebat; eos qui ad sacra mysteria accederent, examinans et accurate dijudicans: ita ut mente antea perpurgata, nec ullius admissi sceleris conscii accederent. Adhuc illo severior in sacris mysteriis impertiendis fuit tum Eulogius presbyter. Quem ferunt cum rem divinam faceret, accedentium cogitationes usque adeo prænovisse,

ἐσχηκέναι τῆς τῶν προσιόντων ἐννοίας ἐπὶ τοσοῦτον, ὡς καὶ τὰ ἡμαρτημένα σαφῶς διελέγχειν, καὶ τὰ κατὰ νοῦν ἑκάστῳ κρυπτόμενα ἐφορᾷν· τοὺς οὖν κακῶς πεπραχότας, ἢ περί τινος φαύλου βουλευσαμένους, τέως εἶργε τοῦ θυσιαστηρίου, δήλην ποιήσας τὴν ἁμαρτίαν· μεταμελείᾳ δὲ καθαρθέντας, πάλιν προσίετο.

ΚΕΦ. ΚΘʹ. 258

Περὶ τῶν ἐν Θηβαΐδι μοναχῶν, Ἀπολλῶ, Δωροθέου, Πιάμμωνος, Ἰωάννου, Μάρκου, Μακαρίου, Ἀπολλωδόρου[u], Μωσέως, Παύλου τοῦ ἐν Φέρμῃ, Παχὼν, Στεφάνου, καὶ Πίωρ.

1 Κατὰ τούτους δὲ καὶ Ἀπολλῶς ἐν Θηβαΐδι διέτριβεν· ὃς ἥβᾳν ἀρχόμενος, ἐφιλοσόφησεν· ἐπὶ τεσσαράκοντα δὲ ἔτη τὴν ἔρημον οἰκήσας, σπήλαιον ὑπὸ τὸ ὄρος πλησίον τῆς οἰκουμένης, τοῦ Θεοῦ χρήσαντος, κατέλαβεν. Ὑπὸ δὲ πλήθους θαυματουργιῶν, ἐν ὀλίγῳ ἐπίσημος ἐγένετο, καὶ ἡγεμὼν πλείστων μοναχῶν· ἦν γὰρ καὶ ταῖς διδασκαλίαις εἰς ὠφέλειαν
2 ἐπαγωγός. Ἀλλ' οἵᾳ μὲν ἀγωγῇ ἐχρῆτο, καὶ ἡλίκων ἦν θείων καὶ παραδόξων πραγμάτων ποιητὴς, ἱστορεῖ

[u] [Ita editt. Lege Ἀπολλωνίου.]

ut delicta eorum certissime coargueret, et quæ singuli penitus in mente recondita habebant, perspiceret. Eos igitur qui mali quidpiam perpetrassent, aut patrare decrevissent, aliquandiu arcebat ab altari, delicta eorum in apertum proferens. Postea vero pœnitentia purgatos, ad mysteria admittebat.

CAPUT XXIX.

De monachis in Thebaïde degentibus: Apollo, Dorotheo, Piammone, Joanne, Marco, Macario, Apollonio, Mose, Paulo Fermensi, Pachon, Stephano, et Pior.

Horum temporibus æqualis Apollos vixit in Thebaïde. Qui cum pubescere adhuc inciperet, philosophari instituit. Cumque in solitudine mansisset per annos quadraginta, tandem speluncam ad radices montis sitam, haud procul ab hominum domiciliis, divino monitus oraculo occupavit. Ubi præ miraculorum multitudine, brevi conspicuus et complurium monachorum pater evasit. Nam et utilibus documentis omnes ad virtutem alliciebat. Verum quæ-

Τιμόθεος ὁ τὴν Ἀλεξανδρέων ἐκκλησίαν ἐπιτροπεύ-
σας· εὖ μάλα αὐτοῦ, καὶ πολλῶν ὧν ἐπεμνήσθην, καὶ
3 ἄλλων δοκίμων μοναχῶν τοὺς βίους διεξελθών. Ἐν
δὲ τῷ τότε, πολλοὶ καὶ ἀγαθοὶ σπουδαίως ἐφιλοσό-
φουν ἀνὰ τὴν Ἀλεξάνδρειαν, ἀμφὶ δισχίλιοι ὄντες·
ὧν οἱ μὲν, ἐν τοῖς καλουμένοις ἐρημικοῖς[v] ᾤκουν· οἱ
δὲ, περὶ[x] τὸν Μαρεώτην καὶ τοὺς ἐκ γειτόνων Λίβυας.
4 Ὑπερφυῶς δὲ ἐν τούτοις διέπρεπε Δωρόθεος[y], Θη-
βαῖος τὸ γένος. Ὧι βίος ἦν, ἐν ἡμέρᾳ μὲν, ἀπὸ τῆς
πέλας θαλάσσης λίθους συλλέγειν, καὶ ἔτους ἑκάστου
οἰκίδιον κατασκευάζειν, καὶ διδόναι τοῖς μὴ δυναμένοις
ἑαυτοῖς οἰκοδομεῖν· νύκτωρ δὲ εἰς αὐτοῦ διατροφὴν[z]
ἐκ φοινίκων φύλλων σειρὰς πλέκων, σπυρίδας εἰρ-
5 γάζετο. Τροφὴ δὲ ἦν αὐτῷ ἄρτου οὐγγίαι[a] ἓξ, καὶ
λεπτῶν λαχάνων δέμα, καὶ ὕδωρ πότον. Ἐκ νέου δὲ

[v] Rectius in cod. Fuk. ἐρημικοῖς. Sic enim dicebantur ea loca, quinque passuum millibus dissita ab urbe Alexandria, ut testatur Palladius Hist. Laus. 2, εἰς τὰ λεγόμενα ἐρημικὰ, ἀπὸ πέντε σημείων etc. VALESIUS. ἐρήμοις Steph. Genev. ἐρημικοῖς Niceph. xi. 35.

[x] παρὰ Steph. Genev. περὶ Christoph. post Nicephor. *circa* Epiphan.

[y] In cod. Fuk. Θεόδωρος dicitur hic monachus. Epiphanius tamen et Nicephorus Dorotheum nominant. Nec aliter Palladius. VALESIUS.

[z] διαστροφὴν J.

[a] Ita B. Steph. Genev. οὐγκίαι Vales.

nam fuerit ejus vivendi ratio, et quanta quamque divina miracula patraverit, Timotheus Alexandrinæ ecclesiæ episcopus commemorat: qui et hujus viri, et aliorum quorum antea mentionem feci, vitam literis prodidit. Porro tunc temporis, multi boni viri in Alexandrinorum regione sedulo philosophabantur, numero circiter bis mille. Quorum alii degebant in locis quæ eremica dicuntur: alii circa Mareoten et vicinos Libyas incolebant. Inter quos maxime enituit Dorotheus, patria Thebæus: cujus hæc fuit vivendi ratio, ut interdiu quidem ex vicino mari lapides colligeret, et quotannis cellulam construeret, eamque donaret iis qui sibi ipsi ædificare non possent; noctu vero ex palmarum foliis funiculos texens, sportulas ad parandum sibi victum faceret. Cibus erat illi, panis quidem unciæ sex, et minutorum olerum fasciculus, po-

*οὕτως ἀσκήσας, οὐ διέλιπε καὶ γέρων ὤν· οὐδέ ποτε
ὠράθη ἐπὶ ῥιπὸς ἢ κλίνης καθευδήσας, ἢ τοὺς πόδας
ἐκτείνας ἀνέσει*[b]*, ἢ ἑκὼν ὕπνῳ ἑαυτὸν ἐκδούς· πλὴν
ὅσον ἐργαζόμενος ἢ ἐσθίων, βιασθεὶς ὑπὸ τῆς φύσεως,
ἔμυσε τοὺς ὀφθαλμούς· ὡς πολλάκις νυστάζοντος ἐν
6 τῷ ἐσθίειν, ἐκπεσεῖν τοῦ στόματος τὴν τροφήν. Ποτὲ
γοῦν εἰς ἄκρον κρατηθεὶς τῷ ὕπνῳ, ἔλαθεν ἐπὶ τοῦ
ῥιπὸς πεσών· καὶ περίλυπος ἐπὶ τούτῳ γεγονὼς, ἠρέ-
μα ἔφη, Εἰ τοὺς ἀγγέλους πείσεις καθεύδειν, πείσεις
καὶ τὸν σπουδαῖον· ὑπεδήλου δὲ ἑαυτὸν, πρὸς τὸν
ὕπνον ἴσως ἀποτεινόμενος, ἢ τὸν δαίμονα τὸν ἐμπο-
δὼν γενόμενον ταῖς σπουδαίαις πράξεσιν. Ὧδε δὲ
αὐτῷ μοχθοῦντι προσελθών τις ἔφη· Τί τὸ σῶμα τὸ
σὸν ἀποκτείνεις τοσοῦτον; Ὅτι με ἀποκτείνει, ἀπε-
7 κρίνατο. Καὶ Πιάμμων δὲ καὶ Ἰωάννης τηνικαῦτα
περὶ Διολκὸν τῆς Αἰγύπτου, ἐπισημοτάτων προΐ-
σταντο μοναστηρίων. Ἐπιμελέστατά τε καὶ μάλα 259
σεμνῶς πρεσβύτεροι ὄντες, τὴν ἱερατείαν μετῄεσαν.*

[b] *ἀνέσει ἐκτείνας* B.

tus autem aqua. Cumque hoc genus abstinentiæ ab ineunte ætate exercuisset, ne senex quidem illud dimisit. Nec unquam visus est super stoream aut in lecto dormire, nec quietis causa pedes extendere, nec sua sponte somnum petere. Sed dum opus faceret aut comederet, cogente natura tantisper claudebat oculos: adeo ut sæpenumero inter edendum dormitanti, cibus ex ore excideret. Contigit aliquando ut supra modum somno oppressus, in stoream imprudens decideret. Quam ob causam dolore affectus, submissa voce dixit: Si Angelis persuaseris ut dormiant, persuadebis etiam studiose philosophanti. Seipsum autem designabat his verbis, somnum ipsum fortasse alloquens, aut dæmonem bonis actibus adversantem. Porro cum tot ac tantis se laboribus maceraret, quidam ad eum accedens: Cur, inquit, corpus tuum tantopere enecas? Cui ille, Quia me ipsum enecat, respondit. Piammon præterea et Joannes juxta Diolcum Ægypti, nobilissimis monasteriis eo tempore præfuerunt: et cum essent presbyteri, summa cura et gravitate sacerdotale munus obierunt. Et Piammon qui-

Λέγεται δέ ποτε τὸν Πιάμμωνα ἱερωμένον[c]*, θεάσα-*
σθαι περὶ τὴν[d] *ἱερὰν τράπεζαν θεῖον ἄγγελον ἑστῶτα,*
καὶ τῶν μοναχῶν τοὺς παρόντας ἐγγράφειν βίβλῳ
8 *τινί· τοὺς δὲ ἀπόντας ἀπαλείφειν. Ἰωάννῃ δὲ τοσαύ-*
την ἐδωρήσατο δύναμιν ὁ Θεὸς κατὰ παθῶν καὶ νο-
σημάτων, ὡς πολλοὺς ἰάσασθαι ποδαλγοὺς[e]*, καὶ τὰ*
9 *ἄρθρα διαλελυμένους. Ἐν τούτῳ δὲ καὶ Βενιαμὶν*[f]
γηραλέος εὖ μάλα λαμπρῶς ἀνὰ τὴν Σκῆτιν ἐφιλο-
σόφει, δῶρον ἔχων παρὰ Θεοῦ δίχα φαρμάκων ἐπαφῇ
μόνῃ χειρὸς, ἢ ἐλαίῳ ᾧ ἐπηύχετο, πάσης ἀπαλλάσ-
σειν νόσου τοὺς κάμνοντας. Τὸν δὴ τοιοῦτον λόγος
ὑδέρῳ περιπεσόντα, τοσοῦτον οἰδῆσαι τὸ σῶμα, ὡς
μὴ δυνηθῆναι διὰ τῶν θυρῶν τοῦ οἰκήματος ἐν ᾧ δι-
ῆγεν ἐκκομισθῆναι, εἰ μὴ σὺν ταῖς θύραις καὶ τὰς
10 *παραστάδας καθεῖλον. Ἐν δὲ τῷ νοσεῖν, ἐν κλίνῃ*
κεῖσθαι μὴ δυνάμενος, ἀμφὶ τοὺς ὀκτὼ μῆνας ἐπὶ

[c] Scribendum est hic quoque mutato accentu *ἱερώμενον*. VALESIUS.

[d] Legendum videtur *παρὰ τὴν*, sicut habet Niceph.

[e] Podagricos vertit Epiphanius Scholasticus, non male. Certe Palladius in Lausiaca c. 73. ubi de hoc Joanne agit, habet *ποδαγρούς*. Mihi certe non videtur esse Græca vox *ποδαλγοὺς*, quare Nicephorus maluit dicere *τοὺς πόδας ἀλγοῦντας*. VALESIUS.

[f] Cod. Fuk. *Βενιαμίς*. VALESIUS.

dem, cum aliquando rem divinam faceret, divinum Angelum vidisse dicitur, stantem juxta sacrum altare; qui monachorum quidem præsentium nomina in quodam libello perscriberet, absentes autem expungeret. Joanni vero tantam vim ac potestatem in morbos ac languores Deus indulsit, ut multos pedum dolore vexatos, et paralyticos sanaret. Iisdem temporibus Benjamin senex circa Scetim eximie philosophatus est: cui Deus id gratiæ concesserat, ut absque ullis medicamentis, solo manus contactu, aut oleo quod precatione sua benedixerat, quovis morbo ægros liberaret. Atque hic tantus vir, cum in morbum aquæ intercutis incidisset, usque adeo corpore intumuisse dicitur, ut per januam cellæ in qua degebat, efferri non potuerit, nisi postibus ipsis simul cum janua eversis. Porro inter ægrotandum, cum in lecto decumbere non posset, octo circiter mensium spatio sedit in sella qua-

*δίφρου πλατυτάτου ἐκαθίζετο, συνήθως τοὺς κάμνον-
τας ἰώμενος, αὐτὸς μηδὲν δυσφορῶν ὅτι μὴ τῆς ἐχού-
σης αὐτὸν νόσου ἀπηλλάττετο[g]· μᾶλλον μὲν οὖν
καὶ τοὺς ὁρῶντας παρεμυθεῖτο, καὶ ἐλιπάρει τὸν Θεὸν
ἱκετεύειν ὑπὲρ τῆς αὐτοῦ ψυχῆς· σώματος δὲ αὐτῷ
μηδὲν μέλειν· ἐπεὶ καὶ εὐεκτοῦν, οὐδέν με ὤνησεν,
11 ἔφη, καὶ κακῶς πάσχον, οὐκ ἔβλαψε. Κατ' ἐκεῖνο δὲ
καιροῦ ἐν Σκήτει διέτριβε Μάρκος τε ὁ ἀοίδιμος, καὶ
Μακάριος ὁ νέος, καὶ Ἀπολλώνιος, καὶ Μωσῆς ὁ Αἰ-
θίοψ. Φασὶ δὲ Μάρκον μὲν, καὶ ἐν τῷ νέῳ τῆς ἡλι-
κίας εἰς ἄγαν πρᾷον καὶ σώφρονα, καὶ μνήμονα ἱερῶν
γραφῶν γενέσθαι· θεοφιλῆ δὲ ἐπὶ τοσοῦτον, ὡς ἰσχυ-
ρίζεσθαι Μακάριον τὸν αὐτὸν, πρεσβύτερον ὄντα τῶν
Κελλίων[h], μηδὲ πώποτε παρ' αὐτοῦ λαβεῖν ἃ θέμις
ἱερεῦσι διδόναι τοῖς μεμυημένοις περὶ τὴν ἱερὰν τρά-
πεζαν· ἄγγελος δὲ αὐτῷ ἐδίδου, οὗ τὴν χεῖρα μέχρι
12 τοῦ καρποῦ μόνου ἔλεγε θεωρεῖν. Μακαρίῳ δὲ ἐδόθη[i]*

[g] ἀπήλλαττε B.

[h] Sic emendavi ex cod. Fuk., pro κελλίνων quod antea legebatur. Est autem κελλία locus in solitudine, septuaginta stadiis distans a Nitria, ut docet Sozomenus infra, c. 31; ejusdem loci meminit Palladius in Lausiaca. VALESIUS. τὸν περιώνυμον πρεσβύτερον τῶν Κελλίων Niceph.

[i] δὲ δέδοτο ὑπὸ B.

dam latissima, ægris more solito sanitatem restituens; nec iniquo animo ferens quod suo ipse morbo nequaquam liberaretur. Quin potius consolabatur eos qui ipsum viserent, rogabatque ut pro ipsius anima supplices Deum orarent. Corporis enim nullam sibi curam esse aiebat. Quippe dum, inquit, bene valeret, nihil mihi profuit: et nunc male habens, nihil detrimenti attulit. Per idem tempus celebris ille Marcus, et Macarius junior, et Apollonius, et Moses Æthiops Scetim incolebant. Et Marcum quidem, ab ineunte adolescentia admodum mitem ac temperantem fuisse perhibent, et sacræ scripturæ libros memoria tenuisse: Deo vero ita carum fuisse, ut Macarius qui Cellarum presbyter fuit, sæpe affirmaverit, Marcum nunquam ab ipso accepisse quæ sacerdotes fidelibus ad altare præbere jus fasque est: sed Angelum ei præbuisse, cujus manum ad juncturam usque duntaxat, se vidisse dicebat.

χάρις ὑπὸ Θεοῦ, ὑπερφρονεῖν τῶν δαιμόνων. Ἐγένετο δὲ αὐτῷ τὴν ἀρχὴν πρόφασις τῆς φιλοσοφίας, ἀκούσιος φόνος. Ἔτι γὰρ βούπαις ὤν, πρόβατα ἔνεμε περὶ τὴν Μαρείαν λίμνην, καὶ παίζων, τινὰ τῶν ὁμηλίκων ἀνεῖλε· δείσας τε δοῦναι δίκην, ἔφυγεν εἰς τὴν
13 ἐρημίαν. Αἴθριος δὲ ἐπὶ τρία ἔτη μετὰ ταῦτα διάγων, αὐτόθι οἰκίδιον μικρὸν ἑαυτῷ κατεσκεύασεν, ἐν ᾧ εἴκοσι καὶ πέντε ἔτη διέτριψεν. Ἔλεγον δὲ οἵ γε αὐτοῦ ἀκηκόεισαν, ὡς πολλὴν ὡμολόγει χάριν τῇ συμφορᾷ, καὶ σωτήριον ἀπεκάλει τὸν ἀκούσιον φόνον, φιλοσοφίας καὶ μακαρίου βίου αἴτιον αὐτῷ γεγενημένον.
14 Ἀπολλώνιος δέ, τὸν ἄλλον χρόνον ἐμπορίαν μετιών, ἤδη πρὸς γῆρας ἐλαύνων, ἐπὶ τὴν Σκῆτιν ἦλθε. Λογισάμενος δὲ ὡς οὔτε γράφειν, οὔτε ἄλλην τινὰ τέχνην μαθεῖν οἷός τε ἐστι διὰ τὴν ἡλικίαν, παντοδαπῶν φαρμάκων εἴδη καὶ ἐδεσμάτων ἐπιτηδείων τοῖς κάμνουσιν, ἐξ οἰκείων χρημάτων ὠνούμενος, ἀνὰ ἑκάστην θύραν μοναστικὴν περιῄει μέχρις ἐννάτης ὥρας, ἐφορῶν τοὺς νοσοῦντας. Ἐπιτηδείαν[k] δὲ ταύτην αὐτῷ

[k] ἐπιτηδὲς C.

Macario vero donatum fuit a Deo, ut dæmones contemneret. Occasionem porro philosophandi ei primum præbuit cædes fortuito perpetrata. Nam cum esset adolescens, oves pascebat circa Mareoticum lacum. Cumque inter ludendum, quendam ex æqualibus suis interfecisset, veritus ne pœnas daret, in solitudinem se recepit. Illic triennii spatio sub divo moratus, parvam sibi cellam ibidem construxit, in qua quinque et viginti annos exegit. Narrabantque ii qui ex ipso id audierant, ipsum calamitati illi gratias referre solitum, et cædem illam fortuito factam, salutarem appellasse, quæ philosophiæ ac beatæ vitæ occasionem ipsi attulisset. Apollonius autem, cum anteacto tempore mercaturam fecisset, jam in senium vergens, ad Scetim se contulit. Cumque consideraret, se ob ingravescentem ætatem, nec scribendi artem, nec ullam aliam posse addiscere, varias species medicamentorum et ciborum qui commodi sunt ægrotantibus, sua pecunia coëmens, singulas monachorum januas circuibat, ad horam usque nonam ægros in-

τὴν ἄσκησιν εὑρὼν, ὧδε ἐπολιτεύσατο. Μέλλων δὲ
τελευτᾷν, ἄλλῳ παραδοὺς ἃ εἶχεν, ἐνετείλατο τὰ αὐτὰ
15 ποιεῖν. Μωσῆς δὲ δοῦλος ὢν, διὰ μοχθηρίαν ἐξηλάθη
τῆς οἰκίας τοῦ κεκτημένου· καὶ εἰς λῃστείας τραπεὶς,
λῃστρικοῦ τάγματος ἡγεῖτο. Πολλοὺς[1] δὲ κακουρ-
γήσας, καὶ πολλοὺς φόνους τολμήσας, ἐκ περιπετείας
τινὸς τὸν μοναδικὸν μετῆλθε βίον, καὶ ἀθρόον εἰς
16 ἀρετὴν φιλοσοφίας ἐπέδωκεν. Ἐπεὶ γοῦν ἐκ τῆς προ-
τέρας διαίτης εὐεξίᾳ ζέων[m], καὶ πρὸς φαντασίας ἡδο-
νῶν κινούμενος, μυρίαις ἀσκήσεσι τὸ σῶμα κατέτηξε·
πῇ μὲν δίχα ὄψου ὀλίγῳ ἄρτῳ ἀρκούμενος· πῇ δὲ
πλεῖστον ἔργον ἀνύων, καὶ πεντηκοστὸν εὐχόμενος·
πῇ δὲ ἐπὶ ἓξ ἔτεσιν ὁλόκληρον ἑκάστην νύκτα ἑστὼς
προσηύχετο, μήτε γόνυ κλίνων, μήτε τοὺς ὀφθαλμοὺς
17 μύων εἰς ὕπνον. Ἄλλοτε δὲ νύκτωρ περιϊὼν τὰς οἰ-
κήσεις τῶν μοναχῶν, λάθρα τὴν ἑκάστου ὑδρίαν
ἐπλήρου ὕδατος· ἦν δὲ τοῦτο λίαν ἐργῶδες· τῶν

1 Melius πολλὰ, quemadmodum legisse videtur Nicephorus. Sic enim habet: πλεῖστα δὲ ἀνόσια εἰργασμένος etc. VALESIUS.

m χαίρων B. Steph. Genev. ζέων Christ. Scal. Vales.

visens. Quod quidem exercitationis genus cum sibi commodum reperisset, ita deinceps conversatus est. Et cum moriturus esset, quæcumque habebat, alteri tradens, mandavit ut idem officium exerceret. Moses vero cum esset servus, propter improbitatem ex ædibus domini sui ejectus, et ad latrocinandum conversus, agmini latronum ducem se præbuit. Qui cum multa scelera commisisset, multasque cædes patrasset, casu quodam ad monasticam vitam translatus est, ac repente ad summum philosophiæ fastigium evasit. Nam quoniam bona corporis habitudine, quam ex priore victu contraxerat, adhuc fervens, ad cogitationes fœdæ libidinis incitabatur, omni philosophicæ exercitationis genere corpus suum maceravit: nunc exiguo pane victitans sine obsonio: nunc plurimum operis faciens, oransque quinquagies. Interdum etiam singulis noctibus stans, per sex continuos annos orabat, nec genua flectens, nec oculos claudens ad somnum capiendum. Nonnumquam monachorum cellas noctu circumiens, hydrias singulorum clam aqua implebat. Quod quidem laboriosum erat inprimis. Ab

μὲν γὰρ, σταδίοις δέκα· τῶν δὲ, εἴκοσι· τῶν δὲ, καὶ
τριάκοντα καὶ πλέον διειστήκει ὁ τόπος ὅθεν ὑδρεύ-
οντο. Διέμεινε δὲ ἐπὶ πολὺ τὴν προτέραν ἰσχὺν ἔχων,
καίπερ ταῖς πολλαῖς ἀσκήσεσι καθελεῖν ταύτην σπου-
18 δάζων, καὶ τὸ σῶμα ταῖς ταλαιπωρίαις πιέζων. Λέ-
γεται γοῦν ποτὲ λῃστὰς καταδραμόντας τὸν τόπον[n]
ἐν ᾧ μόνος ἐφιλοσόφει, συλλαβέσθαι πάντας καὶ
δῆσαι, καὶ τέσσαρας ὄντας τοῖς ὤμοις ἐπιθεῖναι, καὶ
εἰς τὴν ἐκκλησίαν ἀγαγεῖν, καὶ συμμονάζουσιν ἐπι-
τρέψαι τὰ περὶ αὐτῶν, ὡς μὴ θεμιτὸν αὐτῷ ἔτι μη-
19 δένα κακῶς ποιεῖν. Φασὶ γὰρ ἀπὸ κακίας εἰς ἀρετὴν
μηδενὶ τοσαύτην ὑπάρξαι μεταβολήν· ὥστε ἄκρου
μὲν ἐπιψαῦσαι μοναστικῆς φιλοσοφίας· ἐξαίσιον δὲ
φόβον τοῖς δαίμοσιν ἐμποιῆσαι, καὶ πρεσβύτερον γε-
νέσθαι τῶν ἐν Σκήτει μοναχῶν. Ὁ μὲν οὖν τοιοῦτος
ὢν, πολλοὺς ἀρίστους μαθητὰς καταλιπὼν, ἀμφὶ τὰ
20 ἑβδομήκοντα καὶ πέντε ἔτη γεγονὼς ἐτελεύτησεν. Ἐπὶ
ταύτης δὲ τῆς βασιλείας ἐγένετο Παῦλος καὶ Παχὼν,
Στέφανός τε καὶ Μωσῆς, ἄμφω Λίβυες, καὶ Πίωρ ὁ

[n] τὸν οἶκον ἐν J. Christ. Curt. Scal.

aliis enim decem; ab aliis viginti; a quibusdam vero triginta et amplius stadiis aberat locus ille, unde aquam hauriebant. Diu tamen pristinum robur retinuit, licet plurimis exercitationibus illud frangere studuisset, et assiduis vexationibus corpus attereret. Porro cum latrones aliquando in cellam in qua solus philosophabatur irrupissent, ipse cunctos comprehendisse ac ligasse dicitur. Et quamvis quatuor numero essent, humeris suis impositos tulisse ad ecclesiam, ac reliquis monachis permisisse ut de illis statuerent, quando ipsi jam nefas esset quenquam malo afficere. Aiunt enim nemini unquam talem ac tantam mutationem ex vitio ad virtutem contigisse, quantam isti: quippe qui ad culmen monasticæ philosophiæ pervenerit, et dæmonibus maximum terrorem incusserit, et Scetiensium monachorum presbyter factus sit. Atque hic quidem tantus vir, annos circiter septuaginta quinque natus, excessit e vita, multis præstantibus discipulis post se relictis. Eodem imperatore regnante vixit Paulus et Pachon; Ste-

*Αἰγύπτιος. Ὤικουν δὲ, Παῦλος μὲν ἐν Φέρμῃ· ὄρος
δὲ τοῦτο ἐν Σκήτει, οὐ μείους πεντακοσίων ἀσκητὰς 50
ἔχον*[o]*. Εἰργάζετο δὲ οὐδὲν, οὐδὲ ἐλάμβανέ τι παρά 261
21 του*[p]*, πλὴν ὅσον ἤσθιεν. Ηὔχετο δὲ μόνον, ὥσπερ
φόρον τινὰ τριακοσίας εὐχὰς ἑκάστης ἡμέρας ἀποδι-
δοὺς τῷ Θεῷ· ἵνα δὲ μὴ λαθὼν διαμάρτῃ τοῦ ἀρι-
θμοῦ, τριακοσίας ψηφίδας τῷ κόλπῳ ἐμβάλλων, καθ'
ἑκάστην εὐχὴν ψηφίδα ἐκρίπτει*[q]*· ἀναλωθέντων δὲ
τῶν λίθων, δῆλον ἐγένετο τὰς ἰσαρίθμους τοῖς λίθοις
22 εὐχὰς πεπληρῶσθαι. Καὶ Παχὼν δὲ τότε ἐν Σκήτει
διέπρεπεν. Ὃν ἐκ νέου μέχρι γήρως πολιτευσάμενον,
οὔτε σῶμα εὖ ἔχον*[r]*, οὔτε πάθος ψυχῆς, οὔτε δαίμων,
ἄνανδρον ἐφώρασε περὶ τὴν ἐγκράτειαν, ὧν δεῖ κρα-*

[o] Epiphanius Scholasticus et Christophorsonus hæc de Paulo ipso intellexit. Ego vero *ἔχον* scribendum puto, ut referatur ad vocem *ὄρος*. Idque confirmat Palladius c. 23. *ὄρος ἐν τῇ Αἰγύπτῳ ἔστιν ἀπάγον ἐπὶ τὴν Σκήτην, ὃ καλεῖται Φέρμη· ἐν τούτῳ τῷ ὄρει καθέζονται ὡς πεντακόσιοι ἄνδρες ἀσκούμενοι· ἐν οἷς καὶ Παῦλός τις μοναχὸς* etc. VALESIUS. Ita C. *ἔχων* editt. *ἀσκητῶν* Christ. Scal.

[p] *ἐλαμβάνετο περὶ τούτου*, tum, inductis transversa linea literis *-το* et duabus posterioribus vocibus, suprascriptum *τι παρὰ τοῦ* ab alia manu, B. *ἐλαμβάνετό τι παρὰ τούτου* Steph. Genev. *οὐδέ τι παρὰ τοῦ ἐλάμβανε* Niceph., unde textum Valesius emendasse videtur.

[q] *ἐκρίπτειν* C.

[r] Ita B. *ὑγιῶς ἔχον* Niceph. xi. 36. *ἔχων* editt.

phanus item ac Moses, ambo Libyes; et Pior Ægyptius. Ac Paulus quidem degebat in Ferme, qui mons est in Sceti; haud pauciores quingentis monachos habens. Nullum hic opus faciebat, nec ab ullo accipiebat quicquam, præter quam quod esurus esset. Orationi tantum vacabat, trecentas orationes, velut tributum quoddam quotidie persolvens Deo. Ac ne forte aberraret ab integro numero, trecentis lapillis in sinum suum congestis, ad singulas precationes singulos projiciebat lapillos. Absumptis itaque lapillis, planum fiebat orationes numero lapillorum æquales jam completas esse. Pachon quoque tunc temporis in Sceti celebris fuit. Qui cum ab adolescentia usque ad ultimam senectutem vixisset in solitudine, tamen nec bona corporis habitudo, nec perturbatio animi, nec dæmon, circa abstinentiam eorum a quibus philosophum abstinere decet, eum unquam ignavum deprehendit.

23 τεῖν τὸν φιλόσοφον. Στέφανος δὲ περὶ τὸν Μαρεώ-
την τὴν οἴκησιν εἶχεν, οὐκ ἄποθεν[s] τῆς Μαρμαρικῆς.
Δι' ἀκριβοῦς δὲ καὶ τελειοτάτης χωρήσας ἀσκήσεως,
ἐπὶ ἑξήκοντα ἔτεσιν, εὐδοκιμώτατος ἐγένετο μοναχὸς,
καὶ Ἀντωνίῳ τῷ μεγάλῳ γνώριμος. Ἐγένετο δὲ
πρᾶος, καὶ σοφὸς εἰς ἄγαν, καὶ ἐν ταῖς ὁμιλίαις ἡδὺς
καὶ ὠφέλιμος, καὶ ἱκανὸς τὰς τῶν λυπουμένων ψυχὰς
κηλεῖν, καὶ ἐπὶ τὸ εὔθυμον μεταβάλλειν, εἰ καὶ ἀναγ-
24 καίαις λύπαις προκατειλημμένοι ἐτύγχανον. Τοιοῦτος
δὲ ἦν καὶ περὶ τὰς οἰκείας συμφοράς. Ἀμέλει χαλε-
ποῦ καὶ ἀνιάτου πάθους ἐνσκήψαντος αὐτῷ, τὰ δι-
εφθαρμένα[t] μέλη τοῖς ἰατροῖς τέμνειν παραδοὺς, εἰρ-
γάζετο ταῖς χερσὶ φύλλα φοινίκων πλέκων. Καὶ τοῖς
παροῦσι συνεβούλευε μὴ δυσφορεῖν ἐπὶ τοῖς αὐτοῦ
πάθεσι, μηδὲ ἄλλο τὶ διανοεῖσθαι, πλὴν ὅτι πρὸς
τέλος χρηστὸν πάντως, ἃ ποιεῖ ὁ Θεὸς, ἐκβαίνει· καὶ
αὐτῷ συνοίσειν τοιούτων πειραθῆναι παθῶν[u]· καὶ
ὑπὲρ ἁμαρτημάτων ἴσως, ὧν ἕνεκεν ἄμεινον ἐνθάδε
25 διδόναι δίκην, ἢ μετὰ τὴν βιοτὴν ταύτην. Μωσῆς δὲ

[s] Ita B.C. ἄπωθεν editt. [t] διεφθορότα J. [u] κακῶν C.

Jam vero Stephanus circa Mareotem habitabat, haud procul a Marmarice. Qui cum severa ac perfectissima disciplina sese exercuisset per annos sexaginta, celeberrimus exstitit monachus, et magno Antonio familiaris. Fuit autem mitis et admodum prudens: in colloquiis suavis atque utilis, et ad animos eorum qui dolore affecti essent, permulcendos, et ad lætitiam traducendos aptissimus, quamvis dolor eorum prorsus necessarius videretur. Ipse quoque ita affectus erat in suis calamitatibus. Nam cum grave quoddam et insanabile ulcus ei contigisset, corrupta corporis membra secanda medicis præbuit; ipse interim opus faciens, et palmarum folia manibus suis texens. Suadebatque adstantibus, ne ob ipsius mala mærore afficerentur, neve aliud quicquam cogitarent, quam ea quæ a Deo fiunt, bonum semper exitum sortiri: idque sibi utile fore, quod tanta sustinuisset mala; ac fortasse pro peccatis suis: pro quibus hic pœnas dare satius fuerit, quam post hanc vitam. Moses vero mansuetudine et caritate, et languorum

πρᾳότητι καὶ ἀγάπῃ ὑπερφυῶς εὐδοκιμηκέναι παρα-
26 δέδοται, καὶ ἰάσεσι παθῶν εὐχῇ κατορθουμέναις. Ὁ δὲ Πίωρ ἐκ νέου φιλοσοφεῖν ἐγνωκὼς, ἡνίκα διὰ τοῦτο τοῦ πατρῴου οἴκου ἐξῆλθε, συνέθετο τῷ Θεῷ, τοῦ λοιποῦ μηδένα τῶν οἰκείων ὄψεσθαι· μετὰ δὲ πεντήκοντα ἔτη, ἐπύθετο αὐτὸν ἡ ἀδελφὴ ζῆν· ὑπὸ δὲ χαρᾶς ἀμέτρου τῆς[1] παραλόγου μηνύσεως καταπλαγεῖσα, ἠρεμεῖν οὐκ ἠδύνατο, εἰ μὴ θεάσαιτο τὸν ἀδελ-
27 φόν. Ὀλοφυρομένην δὲ καὶ ἀντιβολοῦσαν ἐν γήρᾳ ἐλεήσας ὁ παρ' αὐτοῖς ἐπίσκοπος, ἔγραψε τοῖς ἡγουμένοις τῶν ἐν ἐρήμῳ μοναχῶν, ἐκπέμψαι τὸν Πίωρ. Ἀπιέναι δὲ προσταχθεὶς, οὐκ ἔχων ἀντειπεῖν, οὐ γὰρ θέμις Αἰγυπτίοις μοναχοῖς, οἶμαι δὲ καὶ τοῖς ἄλλοις, ἀπειθεῖν τοῖς ἐπιταττομένοις, παραλαβών τινα, ἀφίκετο εἰς τὴν πατρίδα· καὶ στὰς πρὸ τῆς πατρῴας
28 οἰκίας, ἐμήνυσεν ἐληλυθέναι. Ἐπεὶ δὲ ψοφεῖν τὴν θύραν ᾔσθετο, μύσας τοὺς ὀφθαλμοὺς, ὀνομαστὶ τὴν ἀδελφὴν προσειπὼν, Ἐγὼ, ἔφη, Πίωρ ὁ σὸς ἀδελφός· ἀλλὰ ὅσον βούλει, κατανόει. Ἡ μὲν οὖν ἡσθεῖσα,

[1] Ita B.C. τῆς om. editt.

curationibus quos oratione sola pellebat, præ cæteris inclaruisse memoratur. At Pior, cum ab ineunte ætate philosophari decrevisset, ejus rei causa paternis ædibus egressus, spopondit Deo, se deinceps neminem ex propinquis visurum esse. Post quinquaginta vero annos, soror ipsius, cum audivisset eum vivere, præ immoderato gaudio insperati nuncii stupefacta, quiescere non poterat, nisi fratrem videret. Quam in senili ætate lamentantem ac supplicantem miseratus ejus regionis episcopus, scripsit ad præsides monachorum in Sceti degentium, ut Piorem mitterent. Qui abire jussus, cum refragari non auderet: nefas enim habent Ægyptii, aliique omnes, ut opinor, monachi, jussis non obtemperare: adjuncto sibi comite perrexit in patriam. Cumque pro foribus paternarum ædium staret, nuntiavit se adesse. Cum autem strepitum januæ sensisset, clausis oculis, sororem nominatim allocutus: Ego, inquit, sum frater tuus; contemplare me quantum placuerit. Illa ingenti gaudio perfusa, gratias Deo egit. At ille

χάριν ὡμολόγει τῷ Θεῷ· ὁ δὲ παρὰ τὴν θύραν εὐξά-
29 μενος, ἀνέστρεψεν εἰς τὸν τόπον ἐν ᾧ ᾤκει. Ἔνθα δὴ
φρέαρ ὀρύξας, πικρὸν εὗρε τὸ ὕδωρ· καὶ μέχρι τε- 262
λευτῆς ὑπέμεινε[y] τούτῳ κεχρημένος. Ὁ δὲ μετὰ ταῦτα χρόνος τὸ ὑπερβάλλον ἀπέδειξε τῆς αὐτοῦ ἐγκρατείας· ἐπεὶ γὰρ ἐτελεύτησε, πολλῶν σπουδασάντων ἐν τῷ αὐτῷ τόπῳ φιλοσοφεῖν, οὐδεὶς ὑπέστη. Ἐγὼ δὲ ὡς ἐμαυτὸν πείθω, εἰ μὴ καὶ τούτῳ τῷ τρόπῳ φιλοσοφεῖν ἔγνωκεν, οὐ χαλεπὸν ἦν αὐτῷ εὐξαμένῳ μεταβαλεῖν τὸ ὕδωρ εἰς γεῦσιν γλυκεῖαν· ὅπουγε καὶ μὴ ὂν παν-
30 τάπασιν ἀναβλύσαι ἐποίησεν. Ἀμέλειτοι λέγεται ποτὲ τὸ φρέαρ ὀρύσσοντας τοὺς ἀμφὶ Μωσέα, μήτε τῆς προσδοκωμένης φλεβὸς, μήτε τινὸς βάθους τὸ ὕδωρ ἀναδιδόντος, μέλλειν τὸ ἔργον ἀπαγορεύειν. Ἐπιστάντα δὲ αὐτοῖς περὶ[z] μέσην ἡμέραν τὸν Πίωρ, καὶ πρότερον ἀσπασάμενον, ὀνειδίσαι δυσπιστίαν καὶ μικροψυχίαν· κατελθόντα δὲ εἰς τὴν τάφρον εὔξασθαι, καὶ ὄρυγι τρίτον πλῆξαι τὴν γῆν· παραχρῆμα

[y] Non dubito quin Sozomenus scripserit ἐπέμεινε. Certe Nicephorus cap. 37. habet παρέμενε. Nec aliter Palladius in Lausiaca cap. 87. VALES. ἔπινε Steph. Genev. ὑπέμεινε Scalig.

[z] Ita B.C. παρὰ editt.

juxta januam oratione facta, e vestigio reversus est ad locum in quo degebat. Ibi effosso puteo, aquam amaram reperit, eaque utens usque ad exitum vitæ perseveravit. Porro ejus abstinentiæ magnitudo insequenti tempore declarata est. Nam post ejus obitum, cum multi in eodem loco philosophari ambiissent, nullus id sustinuit. Verum ut ipse mihi persuadeo, haudquaquam ei difficile erat aquam in dulcem saporem convertere, nisi hoc modo philosophari decrevisset: quippe qui eam, cum antea non esset, scaturire fecerat. Certe traditum est monachos qui cum Mose erant, cum aliquando puteum foderent, et nec vena quæ sperabatur, nec altitudo ulla aquam profunderet, animum despondentes, opus dimittere voluisse: Piorem vero circa meridiem supervenisse; et salutatis primum monachis, diffidentiam et pusillum animum exprobrasse; deinde in fossam descendentem orasse, humumque ligone ter percussisse. Quo facto statim aqua erupisse dicitur et

δὲ ἀναβλύσαι τὸ ὕδωρ, καὶ τὴν τάφρον πληρῶσαι. Ἐπεὶ δὲ εὐξάμενος ἀπῄει, δεομένων τῶν ἀμφὶ Μωσέα γεύσασθαι παρ' αὐτοῖς, οὐκ ἠνέσχετο, φήσας μὴ ἐπὶ τούτῳ ἀπεστάλθαι, ἠνύσθαι δὲ ἐφ' ᾧ ἦλθε.

ΚΕΦ. Λ'.

Περὶ τῶν ἐν Σκήτει μοναχῶν, Ὠριγένους, Διδύμου, Κρονίωνος, Ὀρσισίου, Πουτουβάτου, Ἀρσίωνος[a], Ἀμμὼν, Εὐσεβίου καὶ Διοσκόρου τῶν ἀδελφῶν, καὶ μακρῶν λεγομένων, καὶ Εὐαγρίου τοῦ φιλοσόφου.

1 Ἐν τούτῳ δὲ εἰσέτι διέπρεπον ἐν τοῖς[b] Σκήτεως μοναστηρίοις, γηραλέος[c] μὲν, Ὠριγένης ἐκ τῶν μαθητῶν Ἀντωνίου τοῦ μεγάλου περιλελειμμένος· καὶ Δίδυμος, καὶ Κρονίων, ἀμφὶ τοὺς ἑκατὸν καὶ δέκα ἐνιαυτοὺς γεγονώς· καὶ ὁ μέγας Ἀρσίσιος[d], καὶ Πουτουβάστης, καὶ Ἀρσίων, καὶ Σεραπίων, οἳ καὶ αὐτοὶ
2 σύγχρονοι Ἀντωνίου[e] ἐγένοντο. Καταγεγηρακότες δὲ

[a] Lege Ἀρσισίου, et Πουτουβάστου.

[b] ἐν τῆς Σκήτεως B.

[c] Scribe meo periculo γηραλέοι μὲν etc. Quæ emendatio, licet prima fronte levis esse videatur, magni tamen momenti est. Primo enim loco Sozomenus senes monachos commemorat. Deinde transit ad juniores, qui adhuc tirones erant. Subdit enim paulo post τῶν δὲ αὖ νέαν καὶ μέσην ἡλικίαν ἀγόντων etc.; nostram certe emendationem plane confirmat Nicephorus. VALESIUS.

[d] Ὀρσίσιος C.

[e] Ita B. Steph. Genev. Ἀντωνίῳ τῷ μεγάλῳ tacite Valesius; fortasse e Nicephoro.

fossam complevisse. Porro cum Pior oratione facta discederet, rogatus a monachis qui cum Mose erant ut apud ipsos jentaret, non obtemperavit: haudquaquam ejus rei causa missum se esse dicens: id vero propter quod venerat, confectum esse.

CAPUT XXX.

De Scetiensibus monachis, Origene, Didymo, Cronione, Orsesio, Putubate, Arsione, Ammonio, Eusebio et Dioscoro fratribus, qui magni vocabantur: et de Evagrio philosopho.

Eodem tempore in monasteriis Scetis claruerunt, senes quidem, Origenes, qui ex magni Antonii discipulis adhuc supererat: et Didymus, et Cronion annos natus decem supra centum: et magnus ille Arsisius, et Putubastes et Arsion ac Serapion: qui et ipsi magni Antonii temporibus æquales fuerunt. Cumque in monastica

ἐν τῷ φιλοσοφεῖν, προΐσταντο τότε τῶν τῇδε μοναστηρίων. Τῶν δ' αὖ νέαν καὶ μέσην ἡλικίαν ἀγόντων[f], πολλοὶ καλοί τε καὶ ἀγαθοὶ σὺν αὐτοῖς ἐγνωρίζοντο· καὶ Ἀμμώνιος καὶ Εὐσέβιος καὶ Διόσκορος· οὓς ἀδελφοὺς ἀλλήλοις ὄντας, μακροὺς ἐκ τῆς ἡλικίας
3 ὠνόμαζον. Λέγεται δὲ τοῦτον τὸν Ἀμμώνιον εἰς ἄκρον φιλοσοφίας προελθεῖν, ἡδονῆς τε καὶ ῥαστώνης ἀνδρείως κρατῆσαι, καὶ φιλολόγον εἰς ἄγαν γενέσθαι· ὡς τοὺς Ὠριγένους καὶ Διδύμου καὶ τῶν ἄλλων ἐκκλησιαστικῶν[g] λόγους διεξελθεῖν. Ἐκ νέου[h] μέχρι 263
τελευτῆς πλὴν ἄρτου, μηδενὸς γεύσασθαι ἐν πυρὶ γε-
4 νομένου. Μέλλων δὲ ποτὲ πρὸς χειροτονίαν ἐπισκοπῆς συλλαμβάνεσθαι, ὡς ἀντιβολῶν οὐκ ἔπεισεν ἀπιέναι τοὺς ἐπ' αὐτὸν ἐληλυθότας, ἀποτεμὼν τὸ οὖς, Ἄπιτε, 5
ἔφη· λοιπὸν γὰρ οὐδὲ ἑκόντα με ὁ ἱερατικὸς νόμος

[f] ἀγόντων suprascriptum B.

[g] In cod. Fuk. rectius ἐκκλησιαστικῶν λόγους διελθεῖν. Potest tamen retineri verbum διεξελθεῖν, quemadmodum legitur etiam apud Nicephorum. VALESIUS. Ita B. ἐκκλησιαστικοὺς Steph. Genev.

[h] Hæc parum cohærent cum præcedentibus. Itaque Nicephorus hanc pericopen transposuit post verba illa quæ paulo ante leguntur, ἀνδρείως κρατῆσαι. Quod mihi quidem valde placet. VALESIUS. Eundem tamen ordinem servat Epiphanius, quem textus: supplendum videtur καὶ ἐκ.

philosophia consenuissent, tunc temporis monasteriis illic sitis præerant. Ex junioribus vero et in media adhuc ætate constitutis, multi probi atque honesti viri una cum superioribus illis florebant. Inter quos Ammonius, Eusebius ac Dioscorus: qui cum fratres essent, ob staturæ proceritatem magni vocabantur. Porro hunc Ammonium ad culmen monasticæ philosophiæ pervenisse narrant, et voluptatem ac desidiam forti animo superasse. Idem admodum studiosus fuisse dicitur: adeo ut Origenis, Didymi, et aliorum ecclesiasticorum scriptorum libros diligenter evolveret. Ab ineunte autem ætate ad extremum vitæ diem, nihil igne coctum præter panem gustasse fertur. Cum vero aliquando capiendus esset ut episcopus ordinaretur, nec rogando persuadere potuisset iis qui ad ipsum capiendum venerant, ut abirent, abscissa sibi auricula: Abite, inquit. Posthac enim nequidem si vellem, sacer-

συγχωρεῖ χειροτονεῖσθαι. Ἄρτιον γὰρ χρῆναι τὸν
5 ἱερέα καθίστασθαι. Ἀναχωρήσαντες δὲ, ἐπεὶ τάδε
ἔγνωσαν Ἰουδαίοις φυλακτέα, τῇ δὲ ἐκκλησίᾳ σώμα-
τος μηδὲν μέλειν, ἢν μόνον ἄρτιος ᾖ τοῖς[i] τρόποις ὁ
ἱερεὺς, αὖθις ἀνέστρεψαν[k] ὡς συλληψόμενοι τὸν ἄν-
δρα. Ὁ δὲ, ἦ μὴν καὶ τὴν γλῶσσαν ἐκτεμεῖν[l] διω-
μόσατο, εἰ βιάσασθαι πειραθεῖεν. Δείσαντες οὖν τὴν
ἀπειλὴν, ἀπεχώρουν. Αὐτός τε[m] ἐντεῦθεν Ἀμμώνιος
6 ὁ Παρώτης ὠνομάζετο. Τῷ δὲ μετ' οὐ πολὺ ἐπὶ τῆς
ἐχομένης βασιλείας, συνῆν Εὐάγριος σοφὸς, ἐλλόγι-
μος ἀνὴρ, νοῆσαί τε καὶ φράσαι δεινὸς, καὶ ἐπίβολος
διακρῖναι τοὺς πρὸς ἀρετὴν καὶ κακίαν ἄγοντας λο-
γισμούς· καὶ ἱκανὸς ὑποθέσθαι, ᾗ χρὴ τοὺς μὲν ἐπι-
τηδεύειν, τοὺς δὲ φυλάξασθαι. Ἀλλ' οἷος μὲν περὶ
λόγους ἦν, ἐπιδείξουσιν αἱ γραφαὶ ἃς κατέλιπεν.
7 Ἐλέγετο δὲ καὶ[n] τὸ ἦθος μέτριος, τύφου τε καὶ ὑπερ-
οψίας τοσοῦτον κρατεῖν, ὡς μήτε δικαίως ἐπαινούμενος

[i] μέλλειν μόνον ἄρτιός τε τοῖς B. Steph. Genev. emendavit Christ. quem Valesius secutus est.

[k] ἀνέστρεφον B.

[l] Ita B. τεμεῖν editt.

[m] Ita C. αὐτὸς δὲ ceteri.

[n] καὶ om. B.

dotalis lex me ordinari sinit. Integri enim corporis sacerdotem constitui oportet. Illi digressi, postea quam intellexerunt, Judæis quidem hæc observanda esse; ecclesiam vero de corpore non curare, dummodo sacerdos integer sit moribus, denuo redierunt, eum comprehensuri. Tum ille juravit, se linguam quoque sibi præcisurum, si vim facere tentassent. Quibus illi minis perterriti, abscesserunt. Hinc porro factum est ut Ammonius iste Parotes, id est auricula mutilus, vocaretur. Haud multo post, sequentis scilicet imperatoris temporibus, Evagrius sapiens cum illo familiariter vixit. Vir doctus inprimis, et tum intelligendi facultate, tum dicendi copia præditus: et in distinguendis cogitationibus quæ aut ad virtutem, aut ad vitium tenderent, sagacissimus: et quomodo illæ quidem excolendæ, hæ vero cavendæ sint, consultor idoneus. Verum quod quidem ad doctrinam attinet, qualis quantusque vir fuerit, libri quos posteris reliquit, satis declarabunt. Moribus vero moderatis fuisse dicitur, et ab omni fastu et arrogantia ita alienus,

ὀγκοῦσθαι τοῖς κρότοις, μήτε ἀδίκως λοιδορούμενος,
8 ἀγανακτεῖν ἐπὶ ταῖς ὕβρεσιν. Ἐγένετο δὲ τῷ μὲν
γένει, Ἰβήρων πολίτης[o] πρὸς τῷ καλουμένῳ Εὐξείνῳ
πόντῳ· ἐφιλοσόφησε δὲ καὶ ἐπαιδεύθη ὑπὸ Γρηγορίῳ
τῷ ἐπισκόπῳ Ναζιανζοῦ τοὺς ἱεροὺς λόγους· ἡνίκα
δὲ ἐπετρόπευε τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν,
9 ἀρχιδιάκονον αὐτὸν εἶχεν. Ἀστεῖον δὴ[p] ὄντα τῇ ὄψει
καὶ περὶ τὴν ἐσθῆτα φιλόκαλον, μαθών τις τῶν ἐν
τέλει ζηλότυπος γνώριμον εἶναι τῇ γαμετῇ, θάνατον
αὐτῷ ἐμηχανᾶτο· εἰς ἔργον δὲ προβήσεσθαι μελλού-
σης τῆς ἐπιβουλῆς, καθεύδοντι αὐτῷ φοβεράν τινα
καὶ σωτήριον ὀνείρατος ὄψιν ἐπιπέμπει τὸ θεῖον· ἔ-
δοξε γὰρ ὡς ἐπὶ ἐγκλήματι συλληφθεὶς, σιδήρῳ δε-
10 δέσθαι πόδας καὶ χεῖρας. Μέλλοντί τε αὐτῷ εἰς
δικαστήριον ἄγεσθαι καὶ τιμωρίαν ὑπέχειν[q] προσελ-
θών τις ὑπέδειξε τὴν ἱερὰν τῶν εὐαγγελίων βίβλον[r]·
καὶ ὑπισχνεῖτο, εἰ τῆς πόλεως ἐξέλθοι, τῶν δεσμῶν
αὐτὸν ἀπαλλάξειν, καὶ ὅτι τοῦτο ποιήσει, ὅρκον ἀπῄ-

[o] Cod. Fuk. πολίτης, quemadmodum Christophorsonus ac Savilius in suis codicibus repererant. VALESIUS. Ita Scal.

[p] ἀστεῖον δὲ B.

[q] Cod. Fuk. ὑπέσχειν, pro ὑποσχεῖν. VALESIUS.

[r] βίβλων B.

ut nec jure merito laudatus, præconiis intumesceret; nec immerito vituperatus, contumelias iniquo animo ferret. Ortus hic fuit ex urbe Iberis quæ ad Euxinum Pontum sita est. Philosophiam vero et sacras literas didicit sub Gregorio episcopo Nazianzi. Qui dum Constantinopolitanam ecclesiam administraret, eum archidiaconum habuit. Cumque vultu esset eleganti, et exquisito vestium cultu uteretur, quidam ex proceribus zelotypus, eum uxori suæ familiarem esse intelligens, interficere molitus est. Cumque insidiatores opus ipsum aggressuri essent, dormienti Evagrio Deus terribilem quandam ac salutarem in somnis visionem ostendit. Videbatur enim sibi quasi in scelere deprehensus, manus ac pedes ferro vinctos habere. Et cum in judicium ducendus ac supplicio afficiendus esset, quidam ad eum accedens sacrum evangeliorum codicem demonstravit, pollicitus modo ex urbe egredi vellet, se illum vinculis liberaturum: jurareque illum jussit, se ita facturum.

11 τει. Ὁ δὲ τῆς βίβλου ἐφαψάμενος, ἦ μὴν ὧδε πράξειν 264
ἐπωμόσατο· διαφεθείς τε τῶν δεσμῶν, αὐτίκα ἐξηγέρθη· καὶ τῷ θείῳ ὀνείρῳ πεισθεὶς, διέφυγε τὸν κίνδυνον· εἰς νοῦν τε λαβὼν χρῆναι μετιέναι τὸν ἀσκητικὸν βίον, ἐξεδήμησεν ἐκ Κωνσταντινουπόλεως εἰς Ἱεροσόλυμα. Καὶ μετὰ χρόνον τινὰ παραγενόμενος ἐπὶ θέαν τῶν ἐν Σκήτει φιλοσοφούντων, ἠσμένισε τὴν ἐνθάδε διατριβήν.

ΚΕΦ. ΛΑ'.

Περὶ τῶν ἐν τῇ Νιτρίᾳ, καὶ τῶν καλουμένων κελλίων μοναστηρίων· καὶ περὶ τῆς μονῆς τῶν Ῥινοκούρων[s]. Περὶ Μέλανος, Διονυσίου, καὶ Σόλωνος.

1 Καλοῦσι δὲ τὸν χῶρον τοῦτον, Νιτρίαν· καθότι κώμη τίς ἐστιν ὅμορος, ἐν ᾗ τὸ νίτρον συλλέγουσιν. Οὐ τὸ τυχὸν δὲ πλῆθος ἐνταῦθα ἐφιλοσόφει· ἀλλὰ μοναστήρια ἦν ἀμφὶ πεντήκοντα, ἀλλήλοις ἐχόμενα· τὰ μὲν συνοικιῶν· τὰ δὲ καθ' ἑαυτοὺς οἰκούντων. 265
2 Ἐντεῦθεν[t] δὲ ὡς ἐπὶ τὴν ἔνδον ἔρημον ἡκόντων, ἕτερός ἐστι τόπος, σχεδὸν ἑβδομήκοντα σταδίοις διεστὼς,

[s] [Ita editt. Lege Ῥινοκορούρων.]

[t] ἐνταῦθα B. Steph. Genev. ἐντεῦθεν tacite Valesius: quod certe melius est, incertum tamen an codicem auctorem habeat.

Ille tactis evangeliis, ita se facturum juravit: et solutus vinculis, confestim e somno excitatus est. Divinoque obtemperans somnio, præsens periculum evitavit. Porro cum apud se statuisset vitam sibi monasticam excolendam esse, Constantinopoli profectus est Hierosolyma. Aliquanto post tempore ad visendos monachos qui in Sceti philosophabantur profectus, illic degere constituit.

CAPUT XXXI.

De monasteriis Nitriæ, et de iis quæ cellæ vocabantur; item de monasterio Rinocurorum; et de Melane, Dionysio et Solone.

Hic autem locus vulgo Nitria vocatur, eo quod vicus quidam est finitimus, in quo nitrum colligunt. Porro non exigua hominum multitudo ibi philosophabatur. Nam circiter quinquaginta erant monasteria, sibi mutuo vicina: quorum alia fratrum congregationes, alia homines separatim degentes habebant. Hinc ad interiorem eremum pergentibus, alter locus est distans circiter

ὄνομα Κελλία. Ἐν τούτῳ δὲ σποράδην ἐστὶ μονα-
χικὰ οἰκήματα πολλὰ, καθὸ καὶ τοιαύτης ἔλαχε προσ-
ηγορίας. Κεχώρισται δὲ τοσοῦτον ἀλλήλων, ὡς τοὺς
αὐτόθι κατοικοῦντας σφᾶς αὐτοὺς μὴ καθορᾷν ἢ ἐπα-
3 ΐειν. Συνιᾶσι δὲ πάντες εἰς ταυτὸν ἅμα καὶ ἐκκλησι-
άζουσι τῇ πρώτῃ καὶ τελευταίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος.
Ἢν δέ τις μὴ παραγένηται, δῆλος ἐστὶν ἄκων ἀπο-
λειφθεὶς, ἢ πάθει τινὶ ἢ νόσῳ πεπεδημένος· καὶ ἐπὶ
θέαν αὐτοῦ καὶ θεραπείαν, οὐκ εὐθὺς πάντες ἀπιᾶσιν,
ἀλλ' ἐν διαφόροις καιροῖς ἕκαστος, ἐπιφερόμενος ὅπερ
4 ἔχει[t] πρὸς νόσον ἁρμόδιον. Ἐκτὸς δὲ τοιαύτης αἰτίας,
οὐχ ὁμιλοῦσιν ἀλλήλοις, εἰ μὴ λόγων ἕνεκεν εἰς γνῶ-
σιν Θεοῦ τεινόντων ἢ ὠφέλειαν ψυχῆς ἔλθοι τὶς μα-
θησόμενος παρὰ τὸν φράσαι δυνάμενον. Οἰκοῦσι δὲ
ἐν τοῖς κελλίοις, ὅσοι τῆς φιλοσοφίας εἰς ἄκρον ἐλη-
λύθασι, καὶ σφᾶς ἄγειν δύνανται καὶ μόνοι διατρί-
5 βειν, δι' ἡσυχίαν χωρισθέντες τῶν ἄλλων. Τάδε μὲν
ἡμῖν ὡς ἐν βραχεῖ περὶ Σκήτεως εἰρήσθω, καὶ τῶν
ἐνθάδε φιλοσοφούντων. Εἰ γὰρ τὸ καθέκαστον τῆς

[t] ἂν ἔχῃ C.

septuaginta stadiis, qui Cellia vocatur. In eo varia sunt monachorum domicilia, hinc et inde dispersa: unde etiam locus id nomen accepit. In tantum vero distant a se invicem, ut monachi qui illa incolunt, nec videre se invicem, nec audire possint. Porro universi in eundem locum conveniunt, et collectas celebrant, primo quoque et ultimo hebdomadis die. Quod si quis non intersit, palam est illum abesse non sua sponte, sed languore aut morbo detentum. Et ad illum visendum curandumque pergunt, non statim omnes, sed diverso tempore singuli, ferentes id quod quisque ad curandum morbum utile habuerit. Extra hujusmodi causam, nunquam inter se colloquuntur: nisi forte quis ad aliquem dicendi peritum pergat, auditurus ab eo sermones ad cognitionem Dei, aut ad utilitatem animæ spectantes. Porro in cellulis habitant, quotquot ad summum philosophiæ culmen pervenerunt, seque ipsos regere et soli manere possunt, quietis gratia a reliquis sejuncti. Atque hæc a nobis breviter dicta sint de Sceti, deque iis qui ibi philosophantur. Nam si eorum disciplinam atque in-

αὐτῶν ἀγωγῆς διεξελθεῖν πειραθείην, μηκυνομένην
ἴσως τὴν γραφὴν μωμήσαιτό τις. Ἰδίαν γὰρ συστη-
σάμενοι πολιτείαν, ἔργα καὶ ἤθη καὶ γυμνάσια καὶ
δίαιταν καὶ καιρὸν ἑκάστῃ ἡλικίᾳ κατὰ τὸ εἰκὸς δι-
6 ένειμαν. Καὶ Ῥινοκουροῦρα δὲ, οὐκ ἐπεισάκτοις, ἀλλ᾽
οἴκοθεν ἀνδράσιν ἀγαθοῖς ἐξ ἐκείνου διέπρεπεν. Ὧν
δὲ ἐνθάδε φιλοσοφεῖν ἐπυθόμην ἀρίστους ἔγνων, τόν
τε Μέλανα τὸν κατ᾽ ἐκεῖνο καιροῦ τὴν ἐκκλησίαν ἐπι-
τροπεύοντα· καὶ Διονύσιον, ὃς πρὸς Βορέαν τῆς πό-
λεως τὸ φροντιστήριον εἶχε· καὶ Σόλωνα τὸν Μέλανος
7 ἀδελφὸν, καὶ τῆς ἐπισκοπῆς διάδοχον. Λέγεται δὲ,
ἡνίκα προστέτακτο τοὺς κατὰ πόλιν ἱερέας ἐναντίως
Ἀρείῳ φρονοῦντας ἀπελαύνεσθαι, καταλαβεῖν Μέ-
λανα τοὺς ἐπ᾽ αὐτὸν ἐλθόντας τοὺς λύχνους τῆς ἐκ-
κλησίας παρασκευάζοντα, οἷά γε ὑπηρέτην ἔσχατον,
ἐπίρρυπον [u] τῷ ἱματίῳ ὑπὸ τοῦ ἐλαίου τὴν ζώνην
8 ἔχοντα, καὶ τὰς θρυαλλίδας ἐπιφερόμενον. Ἐρωτη-
θέντα δὲ περὶ τοῦ ἐπισκόπου εἰπεῖν, ὡς ἐνθάδε ἐστὶ,

[u] Hunc locum ita corrigendum puto ἐπὶ ῥυπῶντι τῷ ἱματίῳ etc. Sane in cod. Fuk. scriptum est ἐπίρυπον. Est autem hæc emendatio prorsus necessaria. VALES. καὶ ἐπίρρυπος ἦν τὴν ἐσθῆτά τε καὶ τὴν ζώνην Niceph.; clausulam omisit Epiphanius.

stitutionem singillatim persequi vellem, scriptionis prolixitatem quispiam forte posset reprehendere. Cum enim propriam ac peculiarem conversationem constituerint, opera et studia, exercitationes et victum, et tempus unicuique ætati accommodatum partiti sunt. Rinocorura quoque ex eo tempore viris optimis, non adventiciis, sed indigenis, floruit. Ex iis vero quos illic philosophatos esse accepi, præstantissimos fuisse comperi, Melanem qui tunc temporis ecclesiam illius loci administrabat: et Dionysium qui ad Borealem urbis partem domicilium habuit: et Solonem Melanis fratrem, qui eidem in episcopatu successit. Cæterum eo tempore quo præceptum fuerat ut omnes ubique episcopi, qui Arianorum dogmati repugnarent, sedibus suis expellerentur, aiunt eos qui ad Melanem exturbandum venerant, deprehendisse illum, tanquam infimum ministrum, lucernas ecclesiæ præparantem: supra pallium oleo sordidatum habentem zonam, et ellychnia importantem. Quem cum interrogassent de episcopo: ille; Hic est, inquit, eum-

καὶ μηνύσω τοῦτον. Αὐτίκα δὲ τοὺς ἄνδρας οἷά γε
ἐξ ὁδοῦ κεκμηκότας, εἰς τὸ ἐπισκοπικὸν καταγώγιον
ὁδηγῆσαι, καὶ τράπεζαν παραθεῖναι, καὶ ἐκ τῶν ὄντων
9 ἑστιᾶσαι. Μετὰ δὲ τὴν ἑστίασιν, νιψάμενον τὰς χεῖ-
ρας, διηκονεῖτο γὰρ τοῖς ἑστιωμένοις, ἑαυτὸν προσαγ-
γεῖλαι. Τοὺς δὲ τὸν ἄνδρα θαυμάσαντας, ὁμολογῆσαι
μὲν ἐφ' ᾧ ἐληλύθεισαν· αἰδοῖ δὲ τῇ πρὸς αὐτὸν, ἐξ-
ουσίαν δοῦναι φυγῆς. Τὸν δὲ φάναι, ὡς οὐκ ἂν
προοίμην ταὐτὰ τοῖς ὁμοδόξοις ἱερεῦσιν ὑπομεῖναι,
ἀλλ' ἑκοντὶ ἑλέσθαι[x] εἰς τὴν ὑπερορίαν ἐλθεῖν. Πᾶ-
σαν δὲ, οἷαγε ἐκ νέου φιλοσοφήσας, μοναχικὴν ἀρετὴν 266
10 ἐξησκεῖτο. Ὁ δὲ Σόλων ἀπὸ ἐμπόρου εἰς μοναχὸν
μεταβαλὼν, οὐδὲ αὐτὸς ὀλίγον ἀπώνατο τῆς ἐνθένδε

[x] Post hæc verba, ex cod. Fuk. integram lineam hic supplevi, quæ in vulgatis codicibus deerat. Sed neque Christophorsonus, nec Savilius hanc lacunam suppleverunt. Ex quo apparet, nullos ab iis visos fuisse MSS. codices. VALES. Ita B. Certe illi nullos codices cum textu hoc loco contulerunt: non tamen hinc constat, nullos codices Sozomeni vidisse. [Imo potius hæc varians lectio habenda est. In ed. Steph. in media linea sine ulla lacunæ nota legitur, ἐλέσθαι. ταῦτα δὲ οἷάγε ἐκ νέου κ λ.; quæ sic vertit Christoph., *ut etiam lubenti animo id ipsum amplecteretur. Ejus generis igitur institutis disciplinæ a puero exercitatus* &c. Neque Scal. ullam variationem notat: quamvis paulo supra et infra ipse et Christoph. lacunas in Steph. supplent, ταὐτὰ τοῖς ante ὁμοδόξοις Christ.; πέλας Christ. καὶ πέλας Scal. ante ἀγαθὸς: τὸ Θεῖον vero ante ὅτι μάλιστα haud inserunt, ubi lacunæ nota est in Steph. et Christ. in interpretatione habet *in Dei cultum*.]

que vobis indicabo. Statimque homines utpote viæ longitudine fatigatos, in ædes episcopi deduxit, mensamque iis apposuit, et quos habebat cibos præbuit. Post convivium vero, cum manus eorum abluisset; ipse enim ministrabat epulantibus; seipsum indicavit. Illi hominem admirati, cujusnam rei causa venissent confessi sunt: fugiendi tamen liberam ei facultatem concesserunt, reverentia ejus adducti. Tum vero ille: Numquam, inquit, detrectaturus sum eadem perpeti, quæ episcopi ejusdem mecum fidei ac sententiæ perpetiuntur: sed ultro ac sponte in exsilium ire paratus sum. Omnes porro virtutes monasticæ disciplinæ sibi comparaverat, utpote ab ineunte ætate hoc philosophandi genus sectatus. Solon vero, ex mercatore monachus effectus, ipse quoque haud parum emolumenti inde percepit. Nam et fratris sui,

ὠφελείας. Ὑπὸ διδασκάλῳ γὰρ τῷ ἀδελφῷ καὶ τοῖς τῇδε φιλοσοφοῦσιν ἐπιμελῶς παιδευθεὶς καὶ περὶ τὸ θεῖον ὅτι μάλιστα προθύμως ἐσπούδαζε, καὶ πρὸς
11 τοὺς πέλας ἀγαθὸς ἐτύγχανεν. Ἡ μὲν Ῥινοκουρούρων ἐκκλησία, τοιούτων ἐξ ἀρχῆς ἡγουμένων ἐπιτυχοῦσα, οὐ διέλιπεν ἐξ ἐκείνου μέχρι καὶ εἰς ἡμᾶς καὶ ἔτι[y] νῦν τοῖς ἐκείνων χρωμένη θεσμοῖς, καὶ ἀγαθοὺς ἄνδρας φέρουσα. Κοινὴ δέ ἐστι τοῖς αὐτόθι κληρικοῖς οἴκησίς τε καὶ τράπεζα, καὶ τ' ἄλλα πάντα.

ΚΕΦ. ΛΒʹ.

Περὶ τῶν ἐν Παλαιστίνῃ μοναχῶν, Ἡσυχᾶ, Ἐπιφανίου τοῦ ὕστερον γενομένου Κύπρου, Ἀμμωνίου, καὶ Σιλβανοῦ.

1 Οὐ μὴν ἀλλὰ καὶ Παλαιστίνη μοναχῶν ἀνδρῶν διατριβαῖς ἤνθει. Οἵτε γὰρ πλείους ὧν ἐν τῇ Κωνσταντίου βασιλείᾳ ἀπηριθμησάμην, ἔτι ἦσαν ταύτην τὴν ἐπιστήμην σεμνύνοντες· οἱ δὲ, ταῖς αὐτῶν συνουσίαις εἰς ἄκρον ἀρετῆς ἐπέδοσαν, καὶ εἰς εὔκλειαν μείζονα τοῖς ἐνθάδε φροντιστηρίοις προσετέθησαν.
2 Ὧν ἦν Ἡσυχᾶς ὁ Ἱλαρίωνος ἑταῖρος, καὶ Ἐπιφάνιος

y καὶ ἔτι καὶ B.

et aliorum qui illic philosophabantur, magisterio institutus, et in iis quæ ad Dei cultum pertinent studiosus fuit inprimis, et erga proximum benignus. Ac Rinocorurensis quidem ecclesia, hujusmodi antistites ab initio sortita, ex eo tempore ad nostram usque ætatem, illorum institutis uti, et probos viros ferre non destitit. Est autem ejus loci clericis communis domus et mensa; reliqua denique omnia communia.

CAPUT XXXII.

De monachis Palæstinæ, Hesycha, Epiphanio, qui postea episcopus Cypri fuit, Ammonio et Silvano.

Sed et Palæstina monachorum domiciliis florebat. Nam et plerique eorum quos supra in rebus gestis Constantii enumeravi, adhuc superstites, hanc disciplinam summa cum laude excolebant. Et horum consuetudine ac sermonibus alii instituti, ad summum virtutis apicem pervenerunt, et ad majoris gloriæ cumulum monasteriis illic positis adjuncti sunt. Ex quorum numero fuit Hesy-

ὁ ὕστερον γενόμενος Σαλαμῖνος τῆς Κύπρου ἐπίσκο-
πος. Ἐφιλοσόφησε δὲ Ἡσυχᾶς μὲν, οὗ καὶ ὁ διδά-
3 σκαλος. Ἐπιφάνιος δὲ, ἀμφὶ Βησανδούκην κώμην
ὅθεν ἦν, νομοῦ Ἐλευθεροπόλεως. Ἐκ νέου δὲ ὑπὸ
μοναχοῖς ἀρίστοις παιδευθεὶς, καὶ τούτου χάριν ἐν Αἰ-
γύπτῳ πλεῖστον διατρίψας χρόνον, ἐπισημότατος ἐν
μοναστικῇ φιλοσοφίᾳ γέγονε παρά τε Αἰγυπτίοις καὶ
Παλαιστινοῖς· μετὰ δὲ ταῦτα καὶ Κυπρίοις, παρ' οἷς
4 ᾑρέθη τῆς μητροπόλεως τῆς νήσου ἐπισκοπεῖν. Ὅθεν
οἶμαι μᾶλλον κατὰ πᾶσαν, ὡς εἰπεῖν, τὴν ὑφήλιον,
ἀοιδιμώτατός ἐστιν. Ὡς ἐν ὁμίλῳ γὰρ καὶ πόλει
μεγάλῃ καὶ παραλίῳ ἱερωμένος, καὶ μεθ' ὅσης ἀρετῆς
εἶχε πολιτικοῖς ἐμβαλὼν πράγμασιν, ἀστικοῖς καὶ ξέ-
νοις παντοδαποῖς γνώριμος ἐν ὀλίγῳ ἐγένετο· τοῖς
μὲν, θεασαμένοις καὶ πεῖραν λαβοῦσι τῆς αὐτοῦ πολι-
5 λείας· τοῖς δὲ, παρὰ τούτων πυθομένοις [z]. Πρὸ δὲ
τῆς ἐν Κύπρῳ ἐπιδημίας, ἔτι ἐν Παλαιστίνῃ διέτρι-
βεν ἐπὶ τῆς παρούσης ἡγεμονίας. Ἡνίκα δὴ ἐν τοῖς

[z] Ita C., ut Valesius conjecerat e Nicephoro. πειθομένοις edd.

chas, Hilarionis sodalis; et Epiphanius, qui postea Salaminis in Cypro episcopus fuit. Et Hesychas quidem in eodem quo magister loco philosophatus est. Epiphanius vero juxta Besanducem vicum, in territorio Eleutheropolitano situm, ex quo ortus fuerat. Qui cum ab ineunte adolescentia a præstantissimis monachis institutus fuisset, ejusque rei causa diutissime moratus esset in Ægypto, in monastica philosophia celeberrimus exstitit, non apud Ægyptios solum et Palæstinos, verum etiam apud Cyprios, apud quos electus est, ut in metropoli totius insulæ episcopatum administraret. Qua ex re per universum, ut ita dixerim, orbem terrarum, maximam nominis celebritatem adeptus est. Nam cum in media hominum multitudine et in urbe magna ac maritima, sacerdotio fungeretur, et cum ea qua præditus erat virtute civilibus negotiis sese applicuisset, brevi omnibus tam urbanis, quam peregrinis notus exstitit: illis quidem, utpote qui hominem vidissent, et piam ejus conversationem experimento cognoscerent: his vero, utpote qui ab illis accepissent. Porro antequam Cyprum venisset, principatu Valentis Augusti adhuc manebat in Palæstina. Quo quidem

τότε φροντιστηρίοις εὖ μάλα διαπρέπων[a] Σαλαμίνης τε καὶ Φύσκων, καὶ Μαλαχίων καὶ Κρισπίων ἀδελφοί· ἐφιλοσόφουν δὲ ἀμφὶ Βηθελέαν κώμην τοῦ νομοῦ Γάζης. Καὶ γὰρ δὴ καὶ εὐπατρίδαι τῶν ἔνθεν
6 ἦσαν. Διδασκάλου δὲ ταύτης τῆς φιλοσοφίας ἔτυχον Ἱλαρίωνος, ἀφ' οὗ λέγεται ποτὲ τούτων ἅμα οἴκοι 267
ἀπιόντων, ἐκ μέσου ἁρπαγῆναί πως τὸν Μαλαχίωνα, καὶ ἀφανῆ γενέσθαι· ἐξαπίνης δὲ[b] πάλιν ἀναφανῆναι, τὴν αὐτὴν ὁδὸν βαδίζοντα τοῖς ἀδελφοῖς· μετ' οὐ πολὺ δὲ ἀποβιῶναι· νέον μὲν ἔτι ὄντα, τῶν γεγηρακότων δὲ ἐν φιλοσοφίᾳ κατ' ἀρετὴν βίου καὶ θεοφίλειαν οὐ
7 λειπόμενον. Καὶ Ἀμμώνιος δὲ ὡσεὶ δέκα σταδίοις διεστὼς, ᾤκει ἀμφὶ Χαφαρχοβρὰν[c] κώμην Γαζαίαν, ἀφ' ἧς τὸ γένος εἶχεν· ἀνὴρ ἀκριβῶς ὅτι μάλιστα καὶ
8 ἀνδρείως ἐν τῇ ἀσκήσει διαγενόμενος. Σιλβανὸς δὲ,

[a] Scribendum est διέπρεπον, ut legitur apud Nicephorum. Pro Salamina Christophorsonus legit Σαλαμάνης, quod magis probo. Certe in codice Fuketiano dicitur Σαλαβάνης. Ejusdem nominis fuit monachus quidam in Syria, de quo Theodoritus in Philotheo. Qui sequitur Μαλαχίων, rectius apud Nicephorum scribitur Μαλχίων, quod nomen est Syriacum. VALESIUS. διέπρεπον Christ.

[b] τε πάλιν B.

[c] Ita Vales. et Relandus Palæstin. p. 800 (592). Χαφαρχονβρὰν B. Steph. Genev. Niceph. Χαρφαχοβρὰν Christ. Scal. Curt.

tempore Salamanes, Phuscon, Malchio et Crispio fratres, in illis monasteriis inclaruerunt. Degebant autem juxta Betheleam, qui vicus est in agro Gazæorum. Erant enim nobili apud istos genere orti. Magistrum porro hujus disciplinæ habuerant Hilarionem. A quo cum aliquando domum simul redirent, Malchionem raptum esse memorant, et ex conspectu evanuisse; ac repente iterum apparuisse, eandem cum reliquis viam carpentem: nec multo post e vita migrasse; adhuc quidem adolescentem, nulli tamen eorum qui in monastica philosophia consenuissent, vitæ integritate et amore divini numinis inferiorem. Præterea Ammonius decem circiter stadiis remotus, habitabat juxta vicum Gazæorum Chapharchobram, ex quo originem traxerat: vir qui summa cum severitate ac fortitudine monasticam disciplinam excoluit. Silvanus vero, cui ob eximiam virtutem angelus, ut perhibent, visus est mini-

ὃν διὰ τὴν ἄγαν ἀρετὴν ὑπὸ ἀγγέλων[d] ὑπηρετούμενον θεαθῆναι λόγος, Παλαιστινὸς[e] ὤν, ἔτι οἶμαι κατὰ τὴν Αἴγυπτον ἐφιλοσόφει τότε· ἔπειτα δὲ ἐν τῷ ὄρει Σινὰ χρόνον τινὰ διατρίψας, ὕστερον τὴν ἐν Γεράροις ἐν τῷ χειμάρρῳ μεγίστην τε καὶ ἐπισημοτάτην πλείστων ἀγαθῶν ἀνδρῶν συνοικίαν συνεστήσατο· ἧς μετ' αὐτὸν ἡγήσατο Ζαχαρίας ὁ θεσπέσιος.

ΚΕΦ. ΛΓ'.

Περὶ τῶν ἐν Συρίᾳ μοναχῶν, Βατθαίου, Εὐσεβίου, Βαργῆ, Ἁλᾶ, Ἀββῶ, Λαζάρου, Ἀβδάλεως, Ζήνωνος, Ἡλιοδώρου, Εὐσεβίου τοῦ ἐν Κάραις, καὶ Πρωτογένους, καὶ Ἀώνου.

1 Ἐντεῦθεν δὲ ἐπὶ Συρίαν καὶ Πέρσας τοὺς Σύρων ὁμόρους ἰτέον· οἳ δὴ πρὸς πλῆθος ἐπέδωκαν, τοῖς ἐν Αἰγύπτῳ φιλοσοφοῦσιν ἁμιλλώμενοι. Διέπρεπον δὲ μάλιστα τότε, παρὰ μὲν Νισιβηνοῖς ἀμφὶ τὸ Σιγόρων[f] καλούμενον ὄρος, Βατθαῖος καὶ Εὐσέβιος καὶ Βαργῆς καὶ Ἁλᾶς καὶ Ἀββῶς, Λάζαρός τε ὁ γεγονὼς

[d] Ita B. Steph. Genev. Niceph. ἀγγέλου Christ. Vales.

[e] Παλαιστηνὸς B.

[f] Σίγορον C.

strare, ex Palæstina ortus, eo quidem tempore adhuc, ut opinor, in Ægypto philosophabatur. Postmodum vero, cum aliquandiu in monte Sina moratus fuisset, tandem Geraris juxta torrentem, maximum ac nobilissimum monasterium plurimorum bonorum virorum simul degentium constituit. Cui quidem monasterio admirandus Zacharias post illum præfuit.

CAPUT XXXIII.

De Syriæ monachis, Batthæo, Eusebio, Barge, Hala, Abbo, Lazaro, Abdaleo, Zenone, Heliodoro, Eusebio qui fuit Carris, et Protogene et Aone.

Hinc ad Syros, et ad Persas Syris finitimos transeundum est: qui cum Ægyptiorum monachis contendentes, in immensam multitudinem excreverunt. Inter hos autem eo tempore præcipue claruerunt, apud Nisibenos quidem circa montem qui Sigoron dicitur, Batthæus, Eusebius, Barges, Halas et Abbo; et Lazarus

ἐπίσκοπος, καὶ Ἀβδάλεως καὶ Ζήνων καὶ Ἡλιόδω-
2 ρος ὁ γέρων. Τούτους δὲ καὶ βοσκοὺς ἀπεκάλουν,
ἔναγχος τῆς τοιαύτης φιλοσοφίας ἄρξαντας. Ὀνο-
μάζουσι δὲ ὧδε αὐτοὺς, καθότι οὔτε οἰκήματα ἔχουσιν,
οὔτε ἄρτον οὔτε ὄψον ἐσθίουσιν, οὔτε οἶνον πίνουσιν·
ἐν δὲ τοῖς ὄρεσι διατρίβοντες, ἀεὶ τὸν Θεὸν εὐλογοῦ-
σιν ἐν εὐχαῖς καὶ ὕμνοις κατὰ θεσμὸν τῆς ἐκκλησίας.
Τροφῆς δὲ ἡνίκα γένηται καιρὸς, καθάπερ νεμόμενοι,
ἅρπην ἔχων ἕκαστος, ἀνὰ τὸ ὄρος περιϊόντες, τὰς βο-
3 τάνας σιτίζονται. Καὶ οἱ μὲν ὧδε ἐφιλοσόφουν. Ἐν
Κάραις δὲ Εὐσέβιος, ὃς ἐν τῷ ἐθελοντὴς καθεῖρχθαι
ἐφιλοσόφει· καὶ Πρωτογένης, ὃς τὴν αὐτόθι ἐκκλη-
σίαν ἐπετρόπευσε μετὰ Βῖτον τὸν τότε ἐπίσκοπον·
Βῖτον ἐκεῖνον τὸν ἀοίδιμον, ὃν φασὶ βασιλέα Κων-
σταντῖνον πρώτως θεασάμενον, ὁμολογῆσαι ὡς πάλαι
πολλάκις ἐν ἐπιφανείαις τὸν ἄνδρα τοῦτον ὁ Θεὸς
αὐτῷ ἐπέδειξε, καὶ παρεκελεύσατο, ὅ τι λέγοι, πει-
4 θαρχεῖν αὐτῷ. Καὶ Ἀώνης δὲ ἐν Φαδανᾷ τὸ φροντι-
στήριον εἶχε· τόπος δὲ οὗτος, οὗ Ἰακὼβ ὁ τοῦ 268
Ἀβραὰμ ἔκγονος ἐκ Παλαιστίνης ἐπιστὰς, ἔτι παρ-

qui fuit episcopus: Abdaleus item et Zeno, et senex Heliodorus. Istos porro vulgo Boscos, id est pascentes vocabant, qui hoc philosophandi genus tunc primum invexerant. Sic autem eos appellant, propterea quod nec domicilia habent ulla, nec pane aut obsonio vescuntur, nec vinum bibunt: sed in montibus degentes, Deum perpetuo celebrant, orationibus et hymnis, juxta ecclesiæ ritum vacantes. Cumque vescendi tempus advenerit, singuli falce arrepta per montem vagantes, instar pascentium pecorum herbas comedunt. Et isti quidem hoc philosophandi genus excoluerunt. Apud Carras autem Eusebius enituit, qui sponte sua inclusus, monasticæ philosophiæ vacavit: et Protogenes, qui episcopatum illius loci rexit post Bitum: Bitum, inquam, illum celeberrimum, quem cum Constantinus primum vidisset, affirmasse dicitur, sæpe illum sibi a Deo per visiones antea ostensum esse, jussumque ut dictis illius omnibus obediret. Denique Aones domicilium habuit in Phadana: quo in loco Jacob Abrahami nepos ex Palæstina ve-

θένῳ συνήπτετο τῇ μετὰ ταῦτα γαμετῇ[g]· ἐκκυλίσας τε τοῦ ἐνθάδε φρέατος τὸν λίθον, πρῶτον αὐτῆς τὸ ποίμνιον ἐπότισε. Φασὶ δὲ τοῦτον Ἀώνην, τῆς ἐκτὸς πάντων[h] ἀνθρώπων καὶ ἀκριβοῦς φιλοσοφίας ἄρξασθαι παρὰ Σύροις, ὥσπερ Ἀντώνιον παρ' Αἰγυπτίοις.

ΚΕΦ. ΛΔ'.

Περὶ τῶν ἐν Αἰδέσῃ[i] μοναχῶν, Ἰουλιανοῦ, Ἐφραὶμ τοῦ Σύρου, Βάρας καὶ Εὐλογίου. Ἔτι δὲ καὶ περὶ τῶν ἐν κοίλῃ Συρίᾳ, Οὐαλεντίνου, Θεοδώρου, Μερῶσα, Βάσσου, Βασσωνίου, Παύλου. Καὶ περὶ τῶν ἐν Γαλατίᾳ καὶ Καππαδοκίᾳ, καὶ ἀλλαχοῦ ἁγίων ἀνδρῶν· καὶ τίνος χάριν μακρόβιοι οἱ πρώην ἅγιοι ἐγίνοντο.

1 Τούτῳ δὲ συνοίκω ἤστην, Γαδδανᾶς τε καὶ Ἀζίζος, πρὸς ὁμοίαν ἀρετὴν ἁμιλλωμένω. Ἀνὰ δὲ τὴν ἐκ γειτόνων Ἔδεσαν, καὶ πέριξ ταύτης[k], εὐδοκιμώτατοι φιλόσοφοι κατὰ τοῦτον τὸν χρόνον ἦσαν, Ἰουλιανὸς καὶ Ἐφραὶμ ὁ Σύρος συγγραφεὺς, οἱ ἐν τῇ Κων-

g In cod. Fuk. συνεῖχε τῇ γαμετῇ μετὰ ταῦτα. Et ad marg. eadem manu, γρ. συνήπτετο. Nicephorus autem ὡμίλει. VALESIUS. Scal. congruit cum cod. Fuk.

h πάτων B.

i Lege Ἐδέσῃ, et mox Βάρσα.

k In cod. Fuk. ταύτης, rectius. Apud Nicephor. καὶ τὰ πέριξ ταύτης. Mallem tamen scribere καὶ τὰς, supple πόλεις. VALESIUS. ταύτας Steph. Genev.

niens, puellam offendit quam postea duxit uxorem: amotoque lapide quo opertum erat os putei, primum illius gregem ibi aquavit. Hunc porro Aonem primum apud Syros, perinde ac Antonium apud Ægyptios, auctorem fuisse ferunt solitariæ et arctioris philosophiæ.

CAPUT XXXIV.

De monachis Edessæ, Juliano, Ephrem Syro, Barse, Eulogio. Item de monachis Cælesyriæ, Valentino, Theodoro, Marosa, Basso, Bassone, Paulo. Et de monachis Galatiæ, Cappadociæ, et aliarum regionum sanctis hominibus: et cur longævi fuerint viri sancti qui olim vixere.

Hujus contubernales fuere Gaddanas et Azizus, ad ejusdem virtutis apicem mutua æmulatione tendentes. Porro apud Edessam in proximo sitam, et apud urbes in circuitu Edessæ positas, celeberrimi tunc temporis monachi erant, Julianus et Ephrem Sy-

σταντίου βασιλείᾳ δηλωθέντες· Βάρσης[l] τε καὶ Εὐλόγιος, οἳ καὶ ἐπισκόπω ἄμφω ὕστερον ἐγενέσθην, οὐ πόλεως τινὸς, ἀλλὰ τιμῆς ἕνεκεν, ἀντ' ἀμοιβῆς[m] ὥσπερ τῶν αὐτοῖς πεπολιτευμένων, χειροτονηθέντες ἐν τοῖς ἰδίοις μοναστηρίοις. Ὃν τρόπον καὶ Λάζαρος ὁ δηλωθείς.

2 Οἵδε μὲν τῶν τότε φιλοσοφούντων ἐπισήμως ἀνά τε Σύρους καὶ Πέρσας τοὺς ἐκ γειτόνων αὐτοῖς εἰς γνῶσιν ἐμὴν ἦλθον. Πολιτεια δὲ κοινὴ πᾶσιν, ὡς εἰπεῖν, ἦν· ψυχῆς μὲν ὅτι μάλιστα ἐπιμελεῖσθαι, καὶ ἕτοιμον ἐθίζειν πρὸς ἀπαλλαγὴν τῶν ἐνθάδε, ἐν εὐχαῖς τε καὶ νηστείαις, καὶ θείοις ὕμνοις· καὶ περὶ ταῦτα τὸν πολὺν ἀναλίσκειν βίον· χρημάτων δὲ καὶ τῆς περὶ τὰ πολιτικὰ πράγματα ἀσχολίας, σώματός[n] τε ῥαστώνης ἢ
3 ἐπιμελείας παντελῶς ἀμελεῖν. Ἔνιοι δὲ ἐπὶ τοσοῦτον ἐγκρατείας ἦλθον, ὡς Βατθαίου[o] μὲν ὑπὸ τῆς ἄγαν ἐγκρατείας καὶ[p] ἀσιτίας, σκώληκας ἐκ τῶν ὀδόντων ἕρπειν· Ἀλᾶν δὲ ἐπὶ ὀγδοήκοντα ἐνιαυτοὺς, ἄρτου μὴ

[l] Σάρσης J. Christ. Scal.

[m] Ita Valesius. ἀνταμοιβῆς libri.

[n] σάγματος Scal.

[o] Ita Niceph. Vales. Βαθθαίου B. Steph. Genev.

[p] ἐγκρατείας καὶ tacite om. Vales. non habet Niceph.

rus scriptor, quorum jam mentionem fecimus in rebus gestis Constantii. Barses item et Eulogius: qui quidem ambo postmodum episcopi fuere, non alicujus urbis, sed honoris duntaxat causa, tanquam ad repensanda præclara ipsorum facinora, in suis monasteriis ordinati. Quo quidem modo etiam Lazarus, de quo supra dixi, episcopus fuit. Et ex monachis quidem qui tum apud Syros, tum apud Persas Syris finitimos nobiliter philosophati sunt, isti ad notitiam nostram pervenerunt. Disciplina vero communis hæc fuit pæne omnibus: animæ quidem præcipuam curam gerere, eamque ad relinquenda hujus vitæ bona promptam ac paratam reddere, orando scilicet, jejunando, ac divinos hymnos canendo: et in his quidem rebus maximam temporis partem consumere. Pecuniam vero et curam civilium negotiorum, corporis item mollitiem et cultum prorsus contemnere. Alii vero ad tantam progressi sunt abstinentiam, ut Batthæo quidem ob nimiam inediam vermes ex dentibus enati sint: Alas vero ad annos usque

γεύσασθαι· τὸν δὲ Ἡλιόδωρον ἀΰπνους τὰς πολλὰς διακαρτερῆσαι νύκτας, ἑβδομάδας ἡμερῶν ἐν νηστείαις ἐπισυνάψαντα.

4 Συρία δὲ, ἥτε κοίλη καλουμένη, καὶ ἡ ὑπὲρ ταύτην, πλὴν Ἀντιοχείας, βράδιον εἰς Χριστιανισμὸν μετέβαλον. Οὐ μὴν οὐδὲ αὕτη φιλοσόφων ἐκκλησιαστικῶν ἄμοιρος ἦν· ταύτῃ γὲ μᾶλλον ἀνδρείων ὄντων τε καὶ φαινομένων, ὅσῳ γὲ καὶ πρὸς τῶν οἰκούντων τὴν χώραν ἐμισοῦντο καὶ ἐπεβουλεύοντο· καὶ γενναίως 269 ἀντεῖχον, οὐκ ἀμυνόμενοι, οὐδὲ δίκην λαμβάνοντες, ἀλλὰ προθύμως τὰς παρὰ τῶν Ἑλλήνων ὕβρεις τε
5 καὶ πληγὰς ὑπομένοντες. Οἵους γενέσθαι ἐπυθόμην Οὐαλεντῖνον, ὃν οἱ μὲν ἐξ Ἐμέσης[p], οἱ δὲ ἐξ Ἀρεθούσης τὸ γένος ἔχειν ἔφασαν· καὶ τὸν ὁμώνυμον τὸν αὐτοῦ, καὶ Θεόδωρον· ἄμφω δὲ ἀπὸ Τιττῶν τοῦ Ἀπαμέων νομοῦ ἤστην. Καὶ Μαρώσαν τὸν ἐκ Νεχείλων, καὶ Βάσσον, καὶ Βασσώνην, καὶ Παῦλον, ὃς ἀπὸ[q] Τελμισοῦ τῆς κώμης ἐγένετο· πολλοὺς δὲ ἐν

[p] Ἐμίσης B. Steph. Genev. mutavit Christoph. Scal. Vales.

[q] Ita B. C. ἀπὸ τῆς T. J. et editt.

septuagintà [octoginta] panem non comederit: Heliodorus autem multas noctes insomnes transegerit, septenos dies continuos in jejuniis perseverans.

Syria vero, tam ea quæ Cœle dicitur, quam quæ supra illam posita est, excepta urbe Antiochia, serius quidem ad Christi religionem conversa fuit. Sed tamen ecclesiasticis philosophis non caruit. Qui quidem eo fortiores et fuerunt et visi sunt, quo magis invisi erant incolis earum regionum, eorumque crebris insidiis appetebantur; iisdemque virili animo resistebant, non vim vi repellendo, nec semetipsos ulciscendo, sed contumelias et verbera sibi a Gentilibus illata, alacri animo perferentes. Ejusmodi fuisse accepi Valentinum, quem alii ex urbe Emesa, alii ex Arethusa genus traxisse dicunt: et alterum isti cognominem Valentinum, ac Theodorum. Hi duo ex Tittis, qui vicus est in territorio Apamensium, erant oriundi. Marosam præterea ex Nechilis ortum, et Bassum, et Bassonem, ac Paulum qui ex vico Telmiso progna-

πολλοῖς τόποις συνοικίσας, καὶ ὃν χρὴ τρόπον συνα-
γαγὼν εἰς τὸ φιλοσοφεῖν εἰδέναι, τὸ τελευταῖον εἰς τὸ
Ἰουγάτον καλούμενον χωρίον μεγίστην τε καὶ ἐπιση-
6 μοτάτην συνοικίαν μοναχῶν κατεστήσατο. Ἔνθα δὴ
καὶ ἐτελεύτησε, καὶ τὸν τάφον ἔχει, μακροβιώτατος
γεγονώς· ὡς μέχρι καὶ εἰς ἡμᾶς ἐπιβιῶναι, εὐδοκί-
μως καὶ θείως φιλοσοφήσας. Καὶ τῶν ἄλλων δὲ τῶν
δηλωθέντων μοναχῶν, σχεδὸν πάντες πολὺν διεγέ-
νοντο χρόνον. Καί μοι φαίνεται, μακροβίους τοὺς
ἄνδρας ὁ Θεὸς ἐποίησεν, εἰς ἐπίδοσιν τὴν θρησκείαν
7 ἄγων. Σύρους τε γὰρ ὡς ἐπίπαν, καὶ Περσῶν καὶ
Σαρακηνῶν πλείστους, πρὸς τὸ οἰκεῖον ἐπηγάγοντο
σέβας, καὶ ἑλληνίζειν ἔπαυσαν. Μοναχικῆς τε φιλο-
σοφίας ἐνθάδε ἄρξαντες[r], πολλοὺς ὁμοίους ἀπέφησαν.
Καὶ Γαλάτας δὲ καὶ Καππαδόκας, καὶ τοὺς τούτων
ὁμόρους, συμβάλλω πολλοὺς μὲν καὶ ἄλλους ἐσχηκέναι
τότε ἐκκλησιαστικοὺς φιλοσόφους, οἷά γε πάλαι τὸ
8 δόγμα σπουδαίως πρεσβεύοντας. Κατὰ συνοικίας δὲ

[r] ἄρξαντας B. Steph. Genev. emendavit Christoph. Vales. secundum Niceph.

tus, cum multos variis in locis congregasset, et competenti ratione ad monasticam philosophiam informasset, tandem in loco qui Jugatum dicitur, maximam ac nobilissimam monachorum congregationem instituit. Quo etiam in loco mortuus est ac sepultus, cum diutissime vixisset; quippe qui ad nostra usque tempora vitam produxerit, eximiam ac vere divinam philosophandi rationem secutus. Sed et reliqui quos supra memoravimus monachi, fere omnes diu superstites vixerunt. Ac mihi quidem videtur Deus prolixum vitæ spatium iis indulsisse, ut religio incrementum acciperet. Illi enim Syros fere omnes, et ex Persis ac Saracenis quamplurimos, ad religionem suam traduxerunt, et a superstitioso dæmonum cultu abstraxerunt. Cumque monasticæ philosophiæ studiis vacare cœpissent, multos sibi similes reddiderunt. Galatas etiam et Cappadoces, eorumque finitimos, multis aliis ecclesiasticis philosophis abundasse existimo; quippe qui jampridem Christianam religionem studiose colerent. Eorum autem plerique per

ἐν πόλεσιν ἢ κώμαις οἱ πλείους ᾤκουν. Οὔτε γὰρ παραδόσει τῶν προγεγενημένων εἰθίσθησαν· οὔτε ὑπὸ χαλεπότητος χειμῶνος, φύσει τοῦ τῇδε χώρου ἑκάστοτε συμβαίνοντος, δυνατὸν ἴσως κατεφαίνετο ἐν
9 ἐρημίαις διατρίβειν. Εὐδοκιμώτατοι[a] δὲ ὧν ἐπυθόμην ἐγένοντο ἐνθάδε μοναχοὶ, Λεόντιος, ὁ τὴν ἐν Ἀγκύρᾳ ἐκκλησίαν ὕστερον ἐπιτροπεύσας· καὶ Πραπίδιος, ὃς ἤδη γηραλέος ὢν, πολλὰς ἐπεσκόπει κώμας. Προέστη δὲ καὶ Βασιλειάδος, ὃ πτωχῶν ἐστὶν ἐπισημότατον καταγώγιον, ὑπὸ Βασιλείου τοῦ Καισαρείας ἐπισκόπου κατασκευασθὲν, ἀφ' οὗ τὴν προσηγορίαν τὴν ἀρχὴν ἔλαβε, καὶ εἰς ἔτι νῦν ἔχει.

ΚΕΦ. ΛΕ'.

Περὶ τοῦ ξυλίνου τρίποδος, καὶ τῆς τοῦ βασιλέως διαδοχῆς, τῆς τῶν στοιχείων εἰδήσεως, καὶ περὶ τοῦ φόνου τῶν φιλοσόφων, καὶ περὶ ἀστρονομίας.

1 Ἀλλὰ τὰ μὲν ἀφηγησάμην, ἐφ' ὅσον μοι μαθεῖν

[a] εὐδοκιμωτάτους B. εὐδοκιμώτατος et mox μοναχὸς Steph. Genev. emendavit Vales. fortasse e Nicephoro, qui habet δοκιμώτατοι.

contubernia in urbibus et pagis simul degebant. Neque enim superiorum traditioni adhuc assueverant: neque præ frigoris acerbitate, quæ illic ob naturam loci sæpissime solet evenire, fieri poterat ut in solitudine morarentur. Eorum porro quos illic vixisse comperi monachorum, clarissimi fuere, Leontius, qui postea ecclesiam Ancyræ administravit: et Prapidius, qui jam provecta ætate multis in vicis episcopi munere fungebatur. Præpositus etiam fuit Basiliadis, quod est celeberrimum Ptochotrophium, a Basilio Cæsariensi episcopo constructum: a quo cognomentum initio cepit, et hactenus retinet.

CAPUT XXXV.

De ligneo tripode, et quomodo futuri post Valentem imperatoris nomen ex primis elementis quodam scrutati sint: et de cæde philosophorum: deque astronomia.

Verum de ecclesiasticis philosophis qui eo tempore vixere,

ἐξεγένετο, περὶ[t] *τῶν τότε ἐκκλησιαστικῶν φιλοσόφων.*
Τῶν δ' αὖ Ἑλληνιστῶν, μικροῦ πάντες κατ' ἐκεῖνο
2 *καιροῦ διεφθάρησαν. Τινὲς γὰρ οἱ τῶν ἄλλων ἐν*
φιλοσοφίᾳ προέχειν[u] *ἐνομίζοντο, πρὸς τὴν ἐπίδοσιν*
τοῦ Χριστιανισμοῦ δυσφοροῦντες, ἐβουλεύσαντο προ-
μαθεῖν[x] *τὸν ἐφεξῆς Οὐάλεντι Ῥωμαίων ἡγησόμενον,*
μαντείαις τε παντοδαπαῖς περὶ τούτου ἐχρήσαντο.
3 *Καὶ τελευτῶντες, τρίποδα ξύλινον ἐκ δάφνης κατε-*
σκευάσαντο, καὶ ἐπικλήσεσι καὶ λόγοις οἷς εἰώθεισαν,
ἐτέλεσαν· ὥστε συλλογῇ γραμμάτων, καθ' ἕκαστον
στοιχεῖον ὑπὸ μηχανῆς τοῦ τρίποδος[y] *καὶ τῆς μαν-*
τείας σημαινομένων, ἀναφανῆναι τὸ ὄνομα τοῦ ἐσο-
4 *μένου βασιλέως. Κεχηνόσι δὲ αὐτοῖς εἰς Θεόδωρον,*
ἄνδρα τῶν ἐν τοῖς βασιλείοις ἐπισήμως στρατευομέ-
νων, Ἑλληνιστὴν καὶ ἐλλόγιμον, μέχρι τοῦ δέλτα ἐπὶ
τῆς τούτου προσηγορίας ἐλθοῦσα τῶν στοιχείων ἡ
σύνταξις, ἠπάτησε τοὺς φιλοσόφους. Καὶ ὅσον οὔπω

[t] Scribendum est proculdubio *περὶ*, ut apud Niceph. VALES. Ita Christ. *παρὰ* Steph. Genev.

[u] Ita B. Steph. Genev. *προύχειν* Niceph. xi. 45. *προφέρειν* nescio quo auctore Vales.

[x] Ita Christoph. Scal. Curt. Vales. *μαθεῖν* B. Steph. Genev. Niceph.

[y] *τῆς τρίποδος* B.

quantum quidem scire potui, hactenus commemoravi. Gentiles vero philosophi, ea tempestate pæne universi periere. Nonnulli enim qui in philosophia præstare cæteris videbantur, Christianæ religionis incrementum ægre ferentes, quisnam Valenti in imperio successurus esset, prænoscere studuerunt. Cumque ejus rei causa omnia divinandi genera tentassent, tandem tripodem ligneum ex lauro fabricarunt, et invocationibus ac verbis solemnibus consecrarunt : ita ut ex collectione literarum per singula elementa, quæ per artem tripodis atque oraculi designabantur, nomen futuri imperatoris appareret. Porro cum omnium vota inclinarent in Theodorum, qui tum splendide in palatio militabat, Gentilem quidem, sed egregium alioqui virum, ordo literarum ad quartum usque ejus nominis elementum progressus, philosophos in fraudem induxit. Brevi enim sperabant Theodorum imperio potiturum esse. Verum prodito eorum conatu, Valens, quasi salus ipsius insidiis appetita fuisset, incredibili ira succensus est. Itaque

Θεόδωρον βασιλεύσειν[y] προσεδόκων. Καταμηνυθεί-
σης[z] δὲ τῆς ἐπιχειρήσεως, ὡς εἰς σωτηρίαν ἐπιβουλευθεὶς
6 Οὐάλης οὐκ ἀνεκτὸς ἦν χαλεπαίνων. Ἐκ τούτου δὲ
συλληφθέντες Θεόδωρός τε, καὶ οἱ τρίποδος[a] τεχνῖται,
οἱ μὲν πυρὶ[b], οἱ δὲ ξίφει ἀπολέσθαι προσετάχθησαν.
Παραπλησίως δὲ διὰ τὴν αὐτὴν αἰτίαν διεφθάρησαν
καὶ οἱ ἀνὰ πᾶσαν τὴν ἀρχομένην λαμπρῶς φιλοσο-
7 φοῦντες. Ἀσχέτου δὲ τῆς τοῦ βασιλέως ὀργῆς οὔ-
σης, καὶ εἰς μὴ φιλοσόφους, ἐσθῆτι δὲ τῇ ἐκείνων
χρωμένους, ὁ φόνος ἐχώρει· ὡς μηδὲ τοὺς ἄλλα ἐπι-
τηδεύοντας, κροκωτοῖς ἢ τριβωνίοις ἀμφιέννυσθαι δι'
ὑπόνοιαν κινδύνου καὶ δέος· ὡς ἂν μὴ δόξωσι περὶ

y In cod. Fuk. βασιλεύειν: quod fortasse rectius est propter adverbium quod præcessit illud, ὅσον οὔπω. Quod eam vim habet, ut res futuras quasi jam præsentes exhibeat. VALES.

z [Valesius mendose καταμηνυθείσης.]

a οἱ τοῦ τρ. B.

b οἱ μὲν πυρὶ] Nescio cur Genevenses typographi ita excuderint. Nam in ed. Rob. Steph., quam tanquam authenticum exemplar sequebantur, diserte scriptum est ὁ μὲν πυρί. Quam scripturam in interpretatione sua secutus est Musculus. Nicephorus vero, eumque secutus Christophorsonus, plane diversam scripturam amplexi sunt, hoc modo: οἱ μὲν πυρὶ, οἱ δὲ ξίφει ἀπολέσθαι etc. Quam scripturam probare non possum. Ex eo enim sequeretur, cunctos qui oraculum illud consuluerant, flammis consumptos fuisse: solum vero Theodorum gladio periisse: quod tamen falsum est. Omnes enim capite truncati sunt, excepto Simonide philosopho, quem Valens imperator, offensus illius in dicendo libertate, vivum exuri jussit, ut scribit Ammianus Marcellinus in libro 29. VALESIUS. οἱ μὲν—ὁ δὲ B. ὁ μὲν—οἱ δὲ Steph. Genev. [Valesius in exemplari nescio quo Genevensi οἱ μὲν legisse videtur.] τοὺς μὲν πυρὶ ἀπανθρώπως ἐκόλαζε, Θεόδωρον δὲ ἀφῃρεῖτο τὴν κεφαλὴν Niceph.

Theodorus, et tripodis artifices comprehensi, hi quidem flammis absumi, ille gladio obtruncari jussi sunt. Sed et quotquot in imperio Romano celebriores erant philosophi, hac de causa similiter extincti sunt. Cumque imperatoris ira nullis retinaculis coerceretur, etiam in eos qui philosophi non erant, sed veste duntaxat philosophorum utebantur, cædes grassata est. Ita ut ne hi quidem qui aliis studiis vacabant, fimbriatis palliis uterentur, pro-

8 μαντείας καὶ τελετὰς ἐσχολακέναι. Οὐχ ἥκιστα δὲ
παρὰ τοῖς εὖ φρονοῦσι δίκαιον οἶμαι καταμέμφεσθαι,
βασιλέα τε τῆς ἐπὶ τοσοῦτον ὀργῆς καὶ ὠμότητος,
καὶ τοὺς φιλοσόφους[c] προπετείας καὶ τῆς ἀφιλοσό-
9 φου ἐπιχειρήσεως. Ὁ μὲν γὰρ δὴ τοῦτο[d] τὸ λίαν
εὔηθες ὑπολαβὼν, ἀναιρήσειν τὸν μετ' αὐτὸν βασι-
λεύσοντα, οὔτε τῶν μαντευσαμένων ἐφείσατο, οὔτε
περὶ οὗ ἐμαντεύσαντο· ὡς δὲ φασὶν, οὔτε τῶν ὁμωνύ-
μων αὐτῷ, οἵ τινες ἦσαν ἐπίσημοι τότε, τῆς αὐτῆς
προσηγορίας ἢ καὶ ὁμοίας, ἀπὸ τοῦ θ ἀρχομένης[e] 271
10 μέχρι τοῦ δ. Οἱ δὲ, ὥσπερ ἐν αὐτοῖς ὂν βασιλέα
καθαιρεῖν καὶ πάλιν ἐγείρειν, ἐπὶ τοῦτο προήχθησαν.
Καὶ μέντοι εἰ τοῖς ἅπαξ δεδογμένοις ἐν τῇ τῶν
ἄστρων φορᾷ τὰ τοιαῦτα λογιστέον, ἐχρῆν τὸν ἐσό-
μενον, ὅς τις ἦν, περιμένειν. Εἰ δὲ Θεοῦ βουλῆς τὸ
ἔργον, τί πολυπραγμονεῖν ἔδει; οὐ γὰρ δήπου ἐκ

[c] καὶ τῆς εἰς φιλοσόφους J. Christ.

[d] Malim τοῦτο δή. Hoc enim mihi videtur elegantius. VALESIUS.

[e] ἀρχομένους libri omnes. Emendavi admonente Valesio et auctore Nicephoro, qui habet τὴν ἀρχὴν ἀγούσης. [Ita Christ.]

pter suspicionem periculi ac metum, ne vaticiniis et magicis consecrationibus operam dedisse viderentur. Ac profecto apud eos qui recte sapiunt, reprehensione dignus est, ut arbitror, tum imperator ipse ob immodicam iram et crudelitatem : tum philosophi, ob temeritatem et consilium philosophis parum conveniens. Nam ille quidem arbitratus, id quod extremæ dementiæ est, se successorem suum e medio sublaturum, nec iis qui oraculum consuluerant pepercit, nec illi de quo consultum fuerat oraculum. Ac ne quidem illis pepercisse dicitur, qui eandem cum illo, aut similem haberent appellationem, a litera Th incipientem usque ad literam D, cujusmodi tunc erant multi viri nobiles. Philosophi vero, quasi in ipsorum potestate situm esset, ut imperatorem deponerent, aliumque rursus constituerent, istud facinus aggressi sunt. Enimvero si hæc astrorum decretis assignanda sunt, futurum imperatorem, quemcunque demum, expectare eos oportebat. Sin ea res ex Dei nutu ac voluntate proficiscitur, quid necesse erat eam curiose scrutari? Neque enim divinatione aut studio humano sciri potest id quod Deus decreverit. Nec si id liceret, tamen rectum esset ut homines, quamvis omnium sapientissimi, melius

προγνώσεως ἢ σπουδῆς ἀνθρωπείας, ἔνεστιν ἐπίστασθαι τὸ Θεῷ δοκοῦν. Οὔτε εἴπερ ἐξῆν, καλῶς εἶχεν οἴεσθαι ἀνθρώπους ὄντας, εἰ καὶ πάντων σοφωτάτους,
11 ἄμεινον Θεοῦ βουλεύεσθαι. Εἰ δὲ ἁπλῶς ὑπὸ προθυμίας τῆς περὶ τὸ μέλλον εἰδήσεως, ἐπὶ τοσοῦτον ἀκρίτως ἔσχον, ὡς εἰς ἕτοιμον ἀλέσθαι κίνδυνον, καὶ νόμους ὑπεριδεῖν πάλαι τεθέντας ἐν Ῥωμαίοις, καὶ ἡνίκα ἑλληνίζειν τε καὶ θύειν ἀκίνδυνον ἦν, οὐ τὰ αὐτὰ ἐφρόνουν Σωκράτει· ὃς ἐξὸν σώζεσθαι, καὶ ταῦτα [e] ἀδίκως κώνειον μέλλων πίνειν, αἰδοῖ νόμων καθ' οὓς ἐγένετο καὶ ἐτράφη, καίπερ δυνάμενος, οὐκ ἀπέφυγε τὸ δεσμωτήριον.

ΚΕΦ. ΛϚʹ.

Περὶ τῆς των Σαυροματῶν ἐκστρατείας, καὶ περὶ τοῦ θανάτου Οὐαλεντινιανοῦ ἐν Γαλλίᾳ· καὶ ἀναγόρευσις τοῦ νέου Οὐαλεντινιανοῦ· καὶ περὶ τοῦ διωγμοῦ τῶν ἱερέων, καὶ περὶ τοῦ λόγου τοῦ φιλοσόφου Θεμιστίου, δι' ὃν φιλανθρωπότερος πρὸς αὐτοῦ διαφερομένους διετέθη.

1 Ἀλλὰ ταῦτα μὲν ᾗπερ ἂν δοκῇ ἑκάστῳ[f], σκοπείτω τε καὶ λεγέτω. Καταδραμόντων δὲ Σαυροματῶν χω-

[e] [Vales. et Reading inconsulto ταυτὰ] [f] ἑκάστῳ δοκῇ B.

se quam Deum, consulere existimarent. Quod si præ cupiditate duntaxat res futuras cognoscendi, eo imprudentiæ progressi sunt, ut in præsens periculum sese præcipites darent, et leges olim apud Romanos latas contemnerent, tunc cum ritus Græcanici et sacrificia tuto peragebantur; non eadem senserunt quæ Socrates. Qui quamvis injuste cicutam bibiturus, cum ei liceret evadere, tamen ob legum reverentiam, in quibus natus et educatus fuerat, e carcere licet posset, fugere noluit.

CAPUT XXXVI.

De expeditione adversus Sarmatas, deque obitu Valentiniani in Gallia: et quomodo Valentinianus junior imperator est renunciatus. Item de persecutione episcoporum, et de oratione Themistii philosophi, quæ Valentem clementiorem reddidit erga eos qui ab ipso dissentiebant.

Sed de his rebus, pro suo quisque arbitrio et loquetur et sentiet. Porro cum Sarmatæ loca quædam Occidentalis imperii va-

ρία τινὰ τῆς πρὸς δύσιν ἀρχομένης, ἐπεστράτευσε
2 τούτοις Οὐαλεντινιανός. Οἱ δὲ, τῆς στρατιᾶς τὸ πλῆ-
θος καὶ τὴν παρασκευὴν ἀκούσαντες, πρέσβεις πέμ-
ψαντες εἰρήνην ᾔτουν. Ἰδὼν δὲ τούτους, εἰ τοιοῦτοι
Σαυρομάται πάντες εἰσὶν ἐπυνθάνετο. Τῶν δὲ τοὺς
κρείττους παρεῖναι καὶ πρεσβεύεσθαι φησάντων, ἐμ-
3 πίπλαται[g] ὀργῆς. Καὶ μέγα κεκραγὼς, ἦ δεινὰ τοὺς
ὑπηκόους ὑπομένειν ἔφη, καὶ τὴν Ῥωμαίων δυσπρα-
γεῖν ἀρχὴν εἰς αὐτὸν περιστᾶσαν, εἰ Σαυρομάται, βαρ-
βαρον ἔθνος ὧν ἄριστοι οὗτοι, οὐκ ἀγαπῶσιν ἐφ'
ἑαυτῶν μένοντες ζῆν, ἀλλ' ἐπιβῆναι τῆς ὑπ' αὐτοῦ
ἀρχομένης ἐθάρρησαν, καὶ πολεμεῖν ὅλως πρὸς Ῥω-
4 μαίους φαντάζονται. Ἐπὶ πολὺ δὲ χαλεπαίνοντος,
καὶ τοιάδε βοῶντος, ὑπὸ ἀμέτρου διατάσεως σπαρα-
χθέντων αὐτῷ τῶν ἔνδον, φλὲψ ἅμα καὶ ἀρτηρία ἐρ-
ράγη· καὶ ἀναδοθέντος αἵματος, ἐν φρουρίῳ τινὶ τῆς
Γαλλίας ἐτελεύτησε τὸν βίον· ἔτη μὲν ἀμφὶ τὰ πεν-

[g] ἐμπίμπλαται Stephanus, quem secuti sunt Genevenses. Regius tamen codex quo usus est Stephanus habet ἐμπίπλαται. In cod. Fuk. ἐμπίπλατο. Atque ita fere hoc verbum scribitur in vetustissimis exemplaribus, ut notavi ad Historiam Eusebii. VALESIUS. Ita B.

stassent, Valentinianus expeditionem adversus eos suscepit. Illi cum ingentem numerum copiarum, et apparatus magnitudinem comperissent, missis legatis pacem ab eo petierunt. Quibus ille visis, percontatus est, utrum omnes Sarmatæ ejusmodi essent. Illis vero affirmantibus, totius gentis nobilissimos adesse et legatione fungi, ira excanduit. Contentaque voce exclamans: Gravis profecto, ait, calamitas evenit subditis nostris, et adversa fortuna premitur imperium Romanum, quod ad nos usque devolutum est; quando Sarmatæ gens barbara, quorum isti sunt præstantissimi, non contenti sunt intra fines suos degere, sed in imperium meum invadere audent, et cum Romanis omnino bellum gerere præsumunt. Quæ cum sæpius inclamaret vehementi indignatione correptus, præ immodica contentione quassatis ejus præcordiis, vena simul et arteria dirupta est. Unde effusa subito sanguinis copia, in castello quodam Galliæ animam exhalavit: cum vixisset qui-

τήκοντα καὶ τέσσαρα γεγονώς· τρισκαίδεκα δὲ ἐν τῇ
βασιλείᾳ εὖ μάλα καὶ λίαν ἐπισήμως διαγενόμενος[g]. 272
5 Ἕκτῃ δὲ ἡμέρᾳ τῆς τελευτῆς αὐτοῦ, ἀναγορεύεται
βασιλεὺς ὑπὸ τῶν στρατιωτῶν ὁ νεώτερος καὶ ὁμώ-
νυμος αὐτοῦ παῖς. Οὐκ εἰς μακρὰν δὲ ἐπεψηφίσαντο
τῇ αὐτοῦ χειροτονίᾳ, Οὐάλης τε καὶ Γρατιανὸς ὁ αὐ-
τοῦ ἀδελφὸς, εἰ καὶ τὴν ἀρχὴν ἐχαλέπαινον, ὡς τῶν
στρατιωτῶν πρὶν αὐτοὺς ἐπιτρέψαι, τὰ σύμβολα τῆς
6 ἀρχῆς αὐτῷ περιθέντων. Ἐν τούτῳ δὲ Οὐάλης ἐν
Ἀντιοχείᾳ τῆς Συρίας διάγων, ἔτι μᾶλλον ἐπεδίδου
τοῖς ἑτέρως αὐτῷ περὶ τὸ θεῖον δοξάζουσιν ἀπεχθα-
νόμενος, καὶ χαλεπῶς τούτους ἐπέτριβε, καὶ ἤλαυνεν[h].
Ὅτε δὴ λόγον αὐτῷ προσφωνῶν Θεμίστιος ὁ φιλό-
σοφος, παρῄνει μὴ χρῆναι θαυμάζειν τὴν διαφωνίαν
τῶν ἐκκλησιαστικῶν δογμάτων, μετριωτέραν καὶ μείω
7 τῶν παρ' Ἕλλησιν οὖσαν. Πολυπλασίους γὰρ εἶναι
τὰς παρ' αὐτοῖς δόξας· καὶ ὡς ἐν πλήθει δογμάτων,
ἀνάγκῃ τὴν περὶ ταῦτα διαφορὰν πλείους ἔριδας καὶ
διαλέξεις ποιεῖν. Ἐπεὶ καὶ τῷ Θεῷ ἴσως μὴ ῥᾳδίως

h ἐπέτριβε καὶ om. Steph. suppl. Christ. Vales. Ita B.

i διαγενόμενος ἐπισήμως, et mox αὐτοῦ τελευτῆς B.

dem annos quatuor circiter et quinquaginta, imperium vero optime ac præstantissime annis tredecim administrasset. Sexto vero post ejus obitum die, filius junior ejusdem cum ipso nominis, imperator a militibus nuncupatur. Nec multo post Valens et Gratianus frater illius, electionem ejus suo suffragio comprobarunt, licet initio moleste tulissent, propterea quod ante ipsorum consensum, milites insignia imperii ei tribuissent. Interim Valens Antiochiæ in Syria degens, adversus eos qui aliter quam ipse de Deo sentiebant, majore indies odio æstuabat, eosque acerbissime vexare ac persequi non cessabat. Quo quidem tempore Themistius philosophus, oratione coram illo habita, monuit eum, mirandam non esse ecclesiasticorum dogmatum dissensionem, quippe quæ longe minor sit ac levior ea quæ in Gentilium dogmatibus reperitur. Varias enim ac multiplices apud illos esse opiniones: atque ut in opinionum varietate fieri solet, dissensionem de illis ortam, contentiones necessario gignere ac disputationes. Ac Deo

γινώσκεσθαι φίλον, καὶ διαφόρως[i] δοξάζεσθαι, ὅπως ἕκαστος μᾶλλον φοβοῖτο, ἀκαταλήπτου οὔσης τῆς ἀκριβοῦς αὐτοῦ γνώσεως, ἀναλογιζόμενος τὸν ὅσον[k] ἐφικέσθαι νομίζει πηλίκος[l] τε καὶ οἷός ἐστιν.

ΚΕΦ. ΛΖʹ.

Περὶ τῶν πέραν Ἴστρου βαρβάρων, ὡς ὑπὸ τῶν Οὔννων ἐξελαθέντες, Ῥωμαίοις προσεχώρησαν· καὶ ὡς Χριστιανοὶ ἐγένοντο· καὶ περὶ Οὐλφίλα, καὶ Ἀθαναρίχου, καὶ μεταξὺ τούτων συμβάντα, καὶ ὅθεν τὸν Ἀρειανισμὸν εἰσεδέξαντο.

1 Ἐκ δὴ τοιούτων Θεμιστίου λόγων, φιλανθρωπό-
τερόν πως διατεθεὶς ὁ βασιλεὺς, οὐ χαλεπῶς οὕτως[m]
ὡς πρότερον τὰς τιμωρίας ἐπῆγεν. Οὐ μὴν τελείως
ἐφείδετο τῆς κατὰ τῶν ἱερωμένων ὀργῆς, εἰ μὴ κοινῶν
πραγμάτων ἐπιγενόμεναι φροντίδες, οὐκέτι τοιάδε
2 συνεχώρουν σπουδάζειν[n]. Γότθοι γὰρ οἱ δὴ πέραν

[i] *διαφόρους* B. Steph. corr. Christ. Vales.

[k] Scribendum puto *ἐκ τοῦ ὅσον*, id est, *Dum secum ipse reputat unusquisque, ex eo quoadusque progressum se esse existimat, qualis ille sit et quantus.* Certe Nicephorus locum ita expressit *λογιζομένῳ πηλίκος ἂν εἴη καὶ οἷος, οὐ μετρίως ἐφίκετο.* VALESIUS. *ὅσου* C. Verti potest, *cogitans de illo, quem quacunque tenus se deprehendisse existimat*, scilicet, de Deo.

[l] *ποιλίκος* B.

[m] *ὄντως* J. Scal.

[n] Hinc Caput exorditur in B.

fortassis ipsi ita placere, ut non facile cognoscatur, utque variæ sint de ipso opiniones: quo scilicet unusquisque ipsum magis revereatur, cum perfectam ejus notitiam nemo penitus assequi possit: secum ipse reputans ex eo quoadusque progredi se existimat, qualis ille sit et quantus.

CAPUT XXXVII.

De Barbaris qui trans Istrum habitabant; quomodo ab Hunnis expulsi, ad Romanos confugerunt, et quomodo facti sunt Christiani. Item de Ulphila et de Athanarico, et de iis quæ Gothis acciderunt, et qua de causa Arianam opinionem amplexi sint.

Hac oratione Themistii imperator aliquantisper mitigatus, minori quidem acerbitate in puniendo usus est quam antea: iram tamen adversus sacerdotes Dei conceptam nunquam penitus abjecisset, nisi supervenientes curæ publicorum negotiorum eum ab ejusmodi studio revocassent. Nam Gothi qui antea trans Istrum

Ἴστρου ποταμοῦ τὸ πρὶν ᾤκουν, καὶ τῶν ἄλλων βαρ-
βάρων ἐκράτουν, ἐξελαθέντες παρὰ τῶν καλουμένων
Οὔννων, εἰς τοὺς Ῥωμαίων ὅρους ἐπεραιώθησαν.
3 Τοῦτο γὰρ[o] τὸ ἔθνος, ὥς φασιν, ἄγνωστον ἦν πρό-
τοῦ Θρᾳξὶ τοῖς παρὰ τὸν Ἴστρον, καὶ Γότθοις αὐτοῖς·
ἐλάνθανον δὲ προσοικοῦντες ἀλλήλοις, καθότι λίμνης
μεγίστης ἐν μέσῳ κειμένης, ἕκαστοι τέλος ξηρᾶς
ᾤοντο εἶναι τὴν καθ' αὑτοὺς οἰκουμένην· μετὰ τοῦτο
δὲ, θάλασσαν καὶ ὕδωρ ἀπέραντον. Συμβὰν δὲ βοῦν
οἰστροπλῆγα διαδραμεῖν τὴν λίμνην, ἐπηκολούθησε
βουκόλος· καὶ τὴν ἀντιπέραν γῆν θεασάμενος, ἤγ-
4 γειλε τοῖς ὁμοφύλοις. Ἄλλοι δὲ λέγουσιν, ὡς ἔλα-
φος διαφυγοῦσα, τισὶ τῶν Οὔννων θηρῶσιν ἐπέδειξε 273
τήνδε τὴν ὁδὸν, ἐξ ἐπιπολῆς καλυπτομένην τοῖς
ὕδασι· τοὺς δὲ, τότε μὲν ὑποστρέψαι, θαυμάσαντας
τὴν χώραν, ἀέρι μετριώτερον, καὶ γεωργίᾳ ἥμερον
ἔχουσαν· καὶ τῷ κρατοῦντι τοῦ ἔθνους ἀγγεῖλαι ἃ
5 ἐθεάσαντο. Δι' ὀλίγων δὲ τὰ πρῶτα καταστῆναι εἰς
πεῖραν τοῖς Γότθοις. Μετὰ δὲ ταῦτα, πανσυδεὶ[p] ἐπι-

[o] Ita B. Steph. Genev. ἄγνωστον γὰρ ἦν Niceph. xi. 48. δὲ tacite Valesius.
[p] πανσυδὶ B.

sedes habebant, et aliis imperabant barbaris, ab Hunnis expulsi, ad Romanorum fines transvecti sunt. Hæc autem Hunnorum natio, Thracibus ad Istrum degentibus, ipsisque adeo Gothis, ut aiunt, prius ignota erat Ac licet vicini inter se essent, se tamen vicinos esse ignorabant, propterea quod maximo lacu inter ipsos interjecto, singuli eam partem continentis quam habitabant, finem orbis terrarum esse existimabant, nec quidquam ulterius esse præter mare et immensam aquarum copiam. Sed cum sorte contigisset ut bos œstro percitus lacum trajiceret, bubulcus eum insecutus est. Qui cum terras ex adverso sitas conspexisset, renuntiavit popularibus. Alii narrant, cervum fugientem, Hunnis quibusdam venantibus viam monstrasse, quæ superficie tenus aquis operta esset. Et isto quidem regionem illam admiratus, tum ob cœli temperiem, tum ob frugum ubertatem, statim rediisse, et principi gentis suæ ea quæ viderant retulisse. Hunnos vero, initio quidem exigua militum manu tentasse Gothos. Postea vero

στρατεῦσαι, καὶ μάχῃ κρατῆσαι, καὶ πᾶσαν τὴν αὐ-
τῶν γῆν κατασχεῖν. Τοὺς δὲ διωκομένους, εἰς τὴν
Ῥωμαίων περαιωθῆναι· καὶ τὸν ποταμὸν διαβάντας,
πρέσβεις πέμψαι πρὸς βασιλέα, συμμάχους τοῦ λοι-
ποῦ ἔσεσθαι σφᾶς ὑπισχνουμένους, καὶ δεομένους
6 συγχωρεῖν αὐτοῖς ᾗ βούλεται[q] κατοικεῖν. Ταύτης δὲ
τῆς πρεσβείας ἄρξαι Οὐλφίλαν[r], τὸν τοῦ ἔθνους ἐπί-
σκοπον· κατὰ γνώμην δὲ αὐτοῖς προχωρησάσης, ἐπι-
τραπῆναι ἀνὰ τὴν Θρᾴκην οἰκεῖν. Οὐ πολλῷ δὲ ὕστε-
ρον πρὸς σφᾶς αὐτοὺς στασιάσαντας, διχῇ διαιρεθῆ-
ναι. Ἡγεῖτο δὲ, τῶν μὲν Ἀθανάριχος· τῶν δὲ Φρι-
τιγέρνης· ἐπεὶ δὲ πρὸς ἀλλήλους ἐπολέμησαν, κακῶς
πράξας ἐν τῇ μάχῃ Φριτιγέρνης, ἐδεῖτο Ῥωμαίων
7 βοηθεῖν αὐτῷ. Τοῦ δὲ βασιλέως ἐπιτρέψαντος βοη-
θεῖν καὶ συμμαχεῖν αὐτῷ τοὺς ἐν Θρᾴκῃ στρατιώτας,
αὖθις συμβαλὼν ἐνίκησε, καὶ τοὺς ἀμφὶ Ἀθανάριχον
εἰς φυγὴν ἔτρεψεν. Ὥσπερ δὲ χάριν ἀποδιδοὺς Οὐά-
λεντι, καὶ διὰ πάντων φίλος εἶναι πιστούμενος, ἐκοι-
νώνησε τῆς αὐτοῦ θρησκείας· καὶ τοὺς πειθομένους

q Ita C. βούλοιντο ceteri. r Οὐλφίλλαν B. et idem infra.

cum ingentibus copiis profectos, prœlio eos superasse, et universam eorum regionem occupavisse. Gothos autem fugientes, in Romanorum regionem trajecisse: transmissoque fluvio legatos ad imperatorem misisse, qui se auxiliares in posterum fore Romanis pollicerentur, peterentque ut ipsis ubicumque vellent degere concederetur. Hujus legationis princeps fuisse dicitur Ulphila, episcopus gentis Gothorum. Quæ quidem legatio cum ex voto eis successisset, permissum illis est ut in Thracia habitarent. Haud multo post orta inter eos seditione, duas in partes divisi sunt. Quarum alteri Athanaricus, alteri præerat Phritigernus. Mox commisso inter eos prælio, victus Phritigernus, Romanorum auxilium imploravit. Quod cum imperator concessisset, jussissetque ut milites qui in Thracia erant, ei auxilium ferrent, denuo congressus, victoriam retulit et Athanarici copias in fugam vertit. Porro ut Valenti gratiam referret, seque in omnibus fidum atque amicum ei fore testificaretur, sectam ejus ac communionem am-

8 αὐτῷ βαρβάρους ἔπειθεν ὧδε φρονεῖν. Οὐ τοῦτο δὲ μόνον οἶμαι αἴτιον[s] γέγονεν, εἰσέτι νῦν πᾶν τὸ φῦλον προστεθῆναι τοῖς τὰ Ἀρείου δοξάζουσιν. Ἀλλὰ γὰρ καὶ Οὐλφίλας ὁ παρ᾽ αὐτοῖς τότε ἱερωμένος, τὰ μὲν πρῶτα οὐδὲν διεφέρετο πρὸς τὴν καθόλου ἐκκλησίαν· ἐπὶ δὲ τῆς Κωνσταντίου βασιλείας, ἀπερισκέπτως οἶμαι μετασχὼν τοῖς ἀμφὶ Εὐδόξιον καὶ Ἀκάκιον τῆς ἐν Κωνσταντινουπόλει συνόδου, διέμεινε κοινωνῶν
9 τοῖς ἱεροῦσι τῶν ἐν Νικαίᾳ συνελθόντων. Ὡς δὲ εἰς Κωνσταντινούπολιν ἀφίκετο, λέγεται διαλεχθέντων αὐτῷ περὶ τοῦ δόγματος τῶν προεστώτων τῆς Ἀρειανῆς αἱρέσεως, καὶ τὴν πρεσβείαν αὐτῷ συμπράξειν πρὸς βασιλέα ὑποσχομένων, εἰ ὁμοίως αὐτοῖς δοξάζοι, βιασθεὶς ὑπὸ τῆς χρείας, ἢ καὶ ἀληθῶς νομίσας ἄμεινον οὕτω περὶ Θεοῦ φρονεῖν, τοῖς Ἀρείου κοινωνῆσαι, καὶ αὐτὸν καὶ τὸ πᾶν φῦλον ἀποτεμεῖν τῆς
10 καθόλου ἐκκλησίας. Ὑπὸ διδασκάλῳ γὰρ αὐτῷ παιδευθέντες οἱ Γότθοι τὰ πρὸς εὐσέβειαν, καὶ δι᾽ αὐτοῦ 274
μετασχόντες πολιτείας ἡμερωτέρας, πάντα ῥᾳδίως

[s] αἴτιον οἶμαι B.

plexus est, et barbaris qui sub ipso erant, ut idem quoque sentirent persuasit. Neque tamen id solum, opinor, in causa fuit, ut universa Gothorum gens ad hoc usque tempus, Arianorum dogmati perpetuo adhæserit. Nam Ulphila qui tunc apud ipsos erat episcopus, initio quidem nulla in parte dissensit ab ecclesia catholica. Cumque regnante Costantio imprudenter, ut opinor, una cum Eudoxio et Acacio Constantinopolitanæ synodo interfuisset, cum episcopis Nicænorum patrum decreta sectantibus communicare perseveravit. Sed cum venisset Constantinopolim, et Arianæ sectæ antistites de religione cum eo disseruissent, eique polliciti essent se legationem illius adjuturos esse apud imperatorem, modo idem cum ipsis sentire vellet; necessitate compulsus, vel quod eam de divinitate sententiam potiorem esse existimaret, cum Arianis communicasse dicitur, seque et universum gentem ab ecclesia catholica abrupisse. Gothi enim, in iis quæ ad religionem pertinent, ejus magisterio eruditi, et ad mansuetiorem cultum per eum

αὐτῷ ἐπείθοντο· πεπεισμένοι μηδὲν εἶναι φαῦλον τῶν παρ' αὐτοῦ λεγομένων ἢ πραττομένων· ἅπαντα δὲ
11 συντελεῖν εἰς χρήσιμον τοῖς ζηλοῦσιν. Οὐ μὴν ἀλλὰ καὶ πλείστην δέδωκε πεῖραν τῆς αὐτοῦ ἀρετῆς· μυρίους μὲν ὑπομείνας κινδύνους ὑπὲρ τοῦ δόγματος, ἔτι τῶν εἰρημένων βαρβάρων Ἑλληνικῶς θρησκευόντων. Πρῶτος δὲ γραμμάτων εὑρετὴς αὐτοῖς ἐγένετο[t], καὶ εἰς τὴν οἰκείαν φωνὴν μετέφρασε τὰς ἱερὰς βίβλους. Καθότι μὲν οὖν ὡς ἐπίπαν οἱ παρὰ[u] τὸν Ἴστρον βάρ-
12 βαροι τὰ Ἀρείου φρονοῦσι, πρόφασις ἥδε. Κατ' ἐκεῖνο δὲ καιροῦ, πλῆθος τῶν ὑπὸ τὸν Φριτιγέρνην διὰ Χριστὸν μαρτυροῦντες ἀνῃρέθησαν. Ὁ γὰρ Ἀθανάριχος, καὶ τοὺς ὑπ' αὐτῷ τεταγμένους, Οὐλφίλα πείθοντος, χριστιανίζειν ἀγανακτῶν, ὡς τῆς πατρῴας θρησκείας καινοτομουμένης, πολλοὺς πολλαῖς τιμωρίαις ὑπέβαλε. Καὶ τοὺς μὲν εἰς εὐθύνας ἀγαγὼν, παρρησιασαμένους ἀνδρείως ὑπὲρ τοῦ δόγματος, τοὺς
13 δὲ μηδὲ λόγου μεταδοὺς, ἀνεῖλε. Λέγεται γὰρ ὥς τι ξόανον ἐφ' ἁρμαμάξης ἑστὼς, οἵ γε τοῦτο ποιεῖν ὑπὸ

[t] Ita B. Vales. αὐτὸς ceteri. [u] περὶ C.

traducti, cunctis in rebus ei facile obtemperabant: pro certo habentes, nihil eorum quæ ab illo aut dicerentur aut fierent, improbum esse, sed cuncta ad utilitatem eorum qui zelo Dei ducerentur spectare. Quin et virtutis suæ multiplex experimentum dedit. Quippe qui pro Christi fide innumera subierit pericula, dum barbari adhuc Gentilium ritu simulacra colerent. Primusque apud eos inventor exstitit literarum, et sacros libros in patrium sermonem convertit. Et hæc quidem causa fuit, cur plerique ex barbaris qui ad Istrum habitant, opinionem Arii sectentur. Porro ea tempestate multi ex iis qui Phritigerno parebant, propter Christi confessionem necati sunt. Nam Athanaricus subditos quoque suos, suasu Ulphilæ Christianam religionem amplecti ægre ferens, tanquam innovatis majorum cæremoniis, multos eorum variis suppliciis affecit. Et alios quidem in judicium adductos, cum Christi fidem libere ac fortiter professi essent, alios, ne loquendi quidem facultate eis concessa, e medio sustulit. Fertur enim eos quibus

Ἀθαναρίχου προσετάχθησαν, καθ' ἑκάστην σκηνὴν
περιάγοντες τῶν χριστιανίζειν καταγγελλομένην, ἐκέ-
λευον τοῦτο προσκυνεῖν, καὶ θύειν. Τῶν δὲ παραι-
τουμένων, σὺν αὐτοῖς ἀνθρώποις τὰς σκηνὰς ἐνεπίμ-
14 πρων. Περιπαθέστερον δὲ τότε καὶ ἕτερον συμβῆναι
πάθος ἐπυθόμην. Ἀπειρηκότες γὰρ πολλοὶ τῇ βίᾳ
τῶν θύειν ἀναγκαζόντων, ἄνδρες τε καὶ γυναῖκες, ὧν
αἱ μὲν παιδάρια ἐπήγοντο· αἱ δὲ ἀρτίτοκα βρέφη ὑπὸ
τοὺς μαζοὺς ἔτρεφον, ἐπὶ τὴν σκηνὴν τῆς ἐνθάδε ἐκ-
κλησίας κατέφυγον· προσαψάντων δὲ πῦρ τῶν Ἑλ-
15 ληνιστῶν, ἅπαντες διεφθάρησαν. Οὐκ εἰς μακρὰν δὲ
οἱ Γότθοι πρὸς ἀλλήλους ὡμονόησαν· καὶ εἰς ἀπό-
νοιαν ἐπαρθέντες, τοὺς Θρᾷκας ἐκακούργουν, καὶ τὰς
αὐτῶν πόλεις καὶ κώμας ἐδῄουν. Πυθόμενος δὲ Οὐά-
16 λης, τῇ πείρᾳ μεμάθηκεν ὅσον ἥμαρτεν. Οἰηθεὶς γὰρ
αὐτῷ τε καὶ τοῖς ἀρχομένοις χρησίμους ἔσεσθαι τοὺς
Γότθους, φοβεροὺς δὲ τοῖς ἐναντίοις, ὡς ἐν ὅπλοις ἀεὶ
παρεσκευασμένους, τῶν Ῥωμαϊκῶν ταγμάτων ἠμέλει.
Καὶ ἀντὶ τῶν εἰωθότων εἰς στρατείαν ἐπιλέγεσθαι ἐκ

id mandatum fuerat ab Athanarico, statuam quandam in carpento collocatam, per singula tabernacula eorum, quos Christum colere proditum fuerat, circumduxisse; utque eam supplices adorarent eique sacrificarent, jussisse. Qui cum id facere detrectarent, illos tabernacula una cum ipsis hominibus incendisse. Sed et aliud quiddam longe atrocius eo tempore accidisse accepi. Nam præ violentia eorum qui sacrificare invitos cogebant, despondentes animum tam viri, quam mulieres, quarum aliæ pueros secum ducebant, aliæ recens natos infantes uberibus suis admotos nutriebant, ad tabernaculum ecclesiæ quæ illic erat confugerunt, cui cum ignem subjecissent Gentiles, cuncti qui intus erant, incendio consumpti sunt. Verum paulo post Gothi ad pristinam concordiam redierunt: et repentina defectione concitati, Thraces vexare, urbesque eorum et vicos vastare cœperunt. Qua re audita, Valens experimento ipso didicit quantum errasset. Nam cum sperasset Gothos, sibi quidem ac subditis suis utiles, hostibus vero formidabiles futuros, utpote qui sub armis semper præsto essent; Romanas legiones neglexerat. Et pro tironibus qui ex urbibus

τῶν ὑπὸ Ῥωμαίους πόλεων τε καὶ κωμῶν, χρυσίον
24 εἰσεπράττετο. Σφαλεὶς δὲ τῆς ἐλπίδος, καταλιπὼν τὴν Ἀντιόχειαν, σπουδῇ εἰς τὴν Κωνσταντινούπολιν ἀφίκετο. Ἡνίκα δὴ ὁ κατὰ τῶν ἑτέρως αὐτῷ χριστιανιζόντων διωγμὸς ἀνακωχὴν ἔσχεν. Εὐζωΐου δὲ τελευτήσαντος, προβληθεὶς[u] εἰς τὴν αὐτοῦ ἀρχὴν Δωρόθεος[v], τῶν τὰ Ἀρείου φρονούντων προΐστατο.

ΚΕΦ. ΛΗ'. 275

Περὶ Μανίας[x] τῆς τῶν Σαρακηνῶν[y] φυλάρχου, καὶ ὡς διαλυθεισῶν τῶν μετὰ Ῥωμαίων σπονδῶν, Μωσῆς ὁ ἐπίσκοπος αὐτῶν παρὰ Χριστιανῶν χειροτονηθεὶς, αὐτὰς ἀνενέωσε. Καὶ διήγησις περὶ τῶν Ἰσμαηλίτων καὶ τῶν Σαρακηνῶν, καὶ τῶν τούτοις θεῶν· καὶ ὡς διὰ Ζοκόμου τοῦ αὐτῶν φυλάρχου χριστιανίζειν ἤρξαντο.

1 Ὑπὸ δὲ τὸν αὐτὸν τοῦτον χρόνον, τελευτήσαντος

[u] προκληθεὶς J.

[v] Hunc Dorotheum vocat Philostorgius in ix. 14. et ab Heraclea Thraciæ Antiochiam translatum esse scribit. Interdum tamen Theodorus scribitur apud Philostorgium. Sed verum ejus nomen est Dorotheus: sic enim infra in [vii.] 14. VALESIUS. Ita B. Socrat. iv. 35. Θεόδωρος editt. et Niceph. Conf. adnott. ad Socrat. v. 3, 2.

[x] Maviam reliqui vocant hanc Saracenorum reginam. Sic enim Socrates, Nicephorus, et Epiphanius Scholasticus, et ante omnes Rufinus, ex quo sequentem narrationem mutuatus est Sozomenus. VALES. [Μαυΐα ubique Christ.]

[y] [Inter Σαρακηνοὶ et Σαρρακηνοὶ variant editt. et ut videtur codd.; nos semper Σαρακηνοί. Cf. Socrat. iv. 36, 3.]

et vicis imperii Romani eligi solebant ad militiam, aurum exegit. Sed spe sua frustratus, relicta Antiochia Constantinopolim propere advenit. Quo quidem tempore persecutio contra orthodoxos ab illo concitata, velut quibusdam induciis interquievit. Mortuo interim Euzoïo, Theodorus in ejus locum subrogatus, Arianis illic præfuit.

CAPUT XXXVIII.

De Mavia Saracenorum regina: et quomodo induciæ inter Romanos ac Saracenos ruptæ cum essent, renovatæ sunt a Mose, qui gentis illius episcopus a Christianis fuerat ordinatus. Item narratio de Ismaelitis et Saracenis, et de diis illorum: et qualiter opera Zocomi illorum phylarchi, Christum colere cœperint.

Sub idem tempus mortuo Saracenorum rege, soluta sunt eorum

τοῦ Σαρακηνῶν βασιλέως· αἱ πρὸς τοὺς Ῥωμαίους
σπονδαὶ ἐλύθησαν. Μανία δὲ ἡ τούτου γαμετὴ, τὴν
ἡγεμονίαν τοῦ ἔθνους ἐπιτροπεύουσα, ἐδῄου τὰς Φοι-
νίκων καὶ Παλαιστινῶν[z] πόλεις, μέχρι καὶ Αἰγυπτίων,
ἐξ εὐωνύμων ἀναπλέοντι τὸν Νεῖλον, τὸ Ἀράβιον κα-
2 λούμενον κλίμα οἰκούντων. Ἦν δὲ οὐχ οἷος νομί-
ζεσθαι ῥᾴδιος ὁ πόλεμος, ὡς παρὰ γυναικὸς παρα-
σκευαζόμενος. Καρτερὰν γὰρ καὶ δυσκαταγώνιστον
φασὶ γενέσθαι Ῥωμαίοις ταύτην τὴν μάχην· ὡς καὶ
τὸν ἡγεμόνα τῶν ἐν Φοινίκῃ στρατιωτῶν, εἰς συμμα-
χίαν ἐπικαλέσασθαι τὸν στρατηγὸν πάσης τῆς ἀνὰ
τὴν ἕω ἱππικῆς τε καὶ πεζῆς στρατιᾶς. Τὸν δὲ, γε-
λάσαι μὲν τὴν κλῆσιν, καὶ ἀπόμαχον ποιῆσαι τὸν
3 καλέσαντα. Παραταξάμενον[a] δὲ πρὸς Μανίαν ἀντι-
στρατηγοῦσαν, τραπῆναι, καὶ μόλις διασωθῆναι παρὰ
τοῦ ἡγεμόνος τῶν Παλαιστινῶν καὶ Φοινίκων στρα-
τιωτῶν. Ὡς γὰρ εἶδεν αὐτὸν κινδυνεύοντα, μένειν
ἐκτὸς τῆς μάχης κατὰ τὴν αὐτοῦ πρόσταξιν εὔηθες
ἐνόμισε· προσδραμών τε ὑπήντησε[b] τοῖς βαρβάροις,

[z] Παλαιστηνῶν B.

[a] Ita J. et, al. ταραξαμένων in marg. παραταξαμένων ceteri. [ταραξαμένων Christ. Scal.]

[b] ὑπήντετο B. προσυπήντα Niceph.

fœdera cum Romanis. Ejusque uxor Mavia quæ principatum gentis illius administrabat, urbes provinciæ Phœnices ac Palæstinæ vastavit, ad Ægyptios usque progressa qui regionem Arabiam dictam incolunt, sitam ad lævum latus Nili adverso flumine naviganti. Neque vero id bellum leve videri poterat, utpote quod a muliere gereretur. Adeo enim asperum ac difficile Romanis hoc certamen fuisse ferunt, ut dux militum Phœnices, magistrum pedestris et equestris militiæ quæ erat in Oriente, ad opem sibi ferendam vocaverit. Et magister quidem militum risit vocantem, et prœlio eum interesse vetuit. Ipse vero acie instructa congressus cum Mavia quæ copias suas ex adverso ductabat, in fugam versus, ægre servatus est a duce militum Palæstinæ ac Phœnices. Hic enim cum magistrum in discrimine versari cerneret, stultum esse existimavit, extra prœlium, sicut ille jusserat, manere: statimque accurrens, barbaris sese objecit; ac magistro quidem tuto

4 καὶ τῷ μὲν καιρὸν ἔδωκεν ἀσφαλεστέρας φυγῆς. Αὐτὸς δὲ ὑπαναχωρῶν, ἐν τῷ φεύγειν ἐτόξευε, καὶ τοὺς πολεμίους ἐπικειμένους ἀπεκρούετο τοῖς τοξεύμασι. Ταῦτα δὲ πολλοὶ τῶν τῇδε προσοικούντων, εἰσέτι νῦν ἀπομνημονεύουσι· παρὰ δὲ Σαρακηνοῖς, ἐν ᾠδαῖς ἐστίν.
5 Ἐπιβαροῦντος δὲ τοῦ πολέμου, ἀναγκαῖον ἐδόκει περὶ εἰρήνης πρεσβεύσασθαι πρὸς Μανίαν. Τὴν δὲ λόγος, τοῖς περὶ τούτου πρεσβεύσασιν ἄντικρυς ἀπειπεῖν τὰς πρὸς Ῥωμαίους σπονδὰς, εἰ μὴ τοῖς ὑπ' αὐτὴν ἀρχομένοις ἐπίσκοπος χειροτονηθείη Μωσῆς τις, ἐν τῇ πέλας ἐρήμῳ τηνικάδε φιλοσοφῶν· ἀνὴρ ἀπὸ βίου ἀρετῆς, σημείων τε θείων καὶ παραδόξων ἐπίσημος.
6 Ἐπιτραπέντες δὲ παρὰ βασιλέως οἱ τάδε μηνύσαντες τῶν στρατιωτῶν ἡγεμόνες, συλλαμβάνουσι τὸν Μωσῆν, καὶ παρὰ τὸν Λούκιον ἄγουσιν. Ὁ δὲ, παρόν- 276
των ἀρχόντων καὶ τοῦ συνελθόντος πλήθους, Ἐπίσχες, ἔφη· οὐχ οἷός τε γάρ εἰμι φέρειν ἀρχιερέως[c] ὄνομα καὶ τιμὴν ἀξίως· εἰ δ' ἄρα καὶ ἐπὶ ἀναξίῳ ὄντι μοὶ τοῦτο ἐπινεύοι Θεὸς, μαρτύρομαι τὸν οὐρανοῦ καὶ γῆς δημιουργὸν, ὡς τὰς σὰς οὐκ ἐπιβαλεῖς μοὶ χεῖρας,

[c] ἀρχιερέων C.

fugiendi opportunitatem præbuit. Ipse vero sensim pedem referens, inter fugiendum tela jaciebat, hostesque incumbentes sagittis repellebat. Hæc ita gesta multi ex earum regionum incolis etiamnum commemorant: et apud Saracenos vulgo cantibus celebrantur. Porro cum bellum ingravesceret, legatos de pace ad Maviam necessario mittendos esse Romani decreverunt. At illa legatis ejus rei causa missis, fœdus cum Romanis percussuram se prorsus, ut aiunt, negavit, nisi gentis suæ ordinaretur episcopus Moses quidam, qui tum temporis in vicina solitudine philosophabatur; vir tum ob vitæ sanctitatem, tum ob divina signa atque miracula illustris. Itaque duces militum qui hæc imperatori nuntiaverant, accepta ab eo potestate, Mosem illico comprehendunt, et ad Lucium perducunt. Moses vero præsentibus magistratibus et plebe quæ confluxerat, sic Lucium alloquutus est; Sustine: neque enim dignus sum qui episcopi nomen ac dignitatem geram. Quod si mihi quamvis indigno, munus hoc injungit Deus, testor creatorem

7 *αἵματι καὶ λύθρῳ πεφυρμένας ἁγίων ἀνδρῶν. Ὑπο-*
λαβὼν δὲ Λούκιος, Εἰ μὲν ἔτι, φησὶν, ἀγνοεῖς τὴν ἐμὴν
πίστιν, οὐ δίκαια ποιεῖς, πρὶν μαθεῖν ἀποστρεφόμενος·
εἰ δὲ διαβαλλόντων τινῶν, ἄγε δὴ καὶ νῦν ἄκουσον
8 *παρ' ἐμοῦ, καὶ κριτὴς γενοῦ τῶν λεγομένων. Ἀλλ'*
ἔμοιγε, ἔφη Μωσῆς, λίαν σαφὴς φαίνεται ἡ σὴ πί-
στις· καὶ μαρτυροῦσιν ὁποία τις ἐστὶ, ἐπίσκοποί τε,
καὶ πρεσβύτεροι, καὶ διάκονοι, ἐν ὑπερορίαις φυγαῖς
καὶ μετάλλοις ταλαιπωρούμενοι· ταῦτα οὖν[d] *περὶ*
Θεοῦ νομίζεις τὰ γνωρίσματα, ἃ παντελῶς ἐστιν ἀλ-
λότρια Χριστοῦ καὶ τῶν ὀρθῶς περὶ Θεοῦ δοξαζόν-
9 *των. Ἐπεὶ δὲ τοιαῦτα λέγων ἐπώμνυτο, μήτε*[e] *Λουκίου*
χειροτονοῦντος ὑποδέχεσθαι τὴν ἱερωσύνην, παραιτη-
σάμενοι Λούκιον οἱ Ῥωμαίων ἄρχοντες, ἄγουσι Μω-

[d] Hæc verba per interrogationem legenda esse putavit etiam Nicephorus, sic, *καί γέ συ ἐκεῖνα οἶμαι Χριστοῦ γνωρίσματα οἴει*; Ego vero absque interrogatione scribendum esse existimo: *ταῦτα ὧν περὶ Θεοῦ νομίζεις, τὰ γνωρίσματα.* Nec dubito quin Sozomenus ita scripserit. Certe vulgata lectio ferri non potest. Neque enim Græce dicitur *γνωρίσματα περὶ Θεοῦ*. VALESIUS. Vel expungendum est hoc loco *περὶ*, quod fortasse perperam irrepsit e sequenti *περὶ Θεοῦ δοξαζόντων*. Quod ad *γνώρισμα* attinet, conf. *μέγα γνώρισμα παλιγγενεσίας*, Clem. Alex. Quis Div. Salv. p. 960, et Euseb. H. E. iii. 23; *τὸ γνώρισμα τοῦ ἁγιωτάτου ἐκείνου πάθους* Euseb. Vit. Constant. iii. 30.

[e] Mallem *μὴ ἄν ποτε*. Quemadmodum legitur apud Nicephorum. VALESIUS.

cœli ac terræ, te numquam manus hasce cæde ac sanguine sanctorum virorum maculatas, mihi impositurum. Cui respondens Lucius: Si meam fidem, inquit, ignoras, injuste agis, qui me antequam noveris averseris. Quod si a quibusdam calumniatoribus accepisti, audi nunc ex me ipso, et judex esto eorum quæ dicuntur. Tum Moses: At enim, inquit, satis manifesta mihi videtur fides tua. Episcopi enim, presbyteri ac diaconi, qui in exsilio et in metallis misere vexantur, testes sunt qualis illa sit. Hæc igitur esse censes tuæ de Deo opinionis indicia, quæ prorsus aliena sunt a Christo, et ab iis qui recte sentiunt de divinitate. His dictis, cum jusjurandum adjecisset, numquam se sacerdotium suscepturum esse, si Lucius manum ipsi imponere vellet, magistratus Romani, rejecto Lucio, Mosem ad episcopos in exsilio degentes deduxe-

σῆν πρὸς τοὺς ἐν φυγῇ ὄντας ἐπισκόπους. Παρ' ὧν
χειροτονηθεὶς, ὡς τοὺς Σαρακηνοὺς ἦλθε· καὶ διαλ-
λάξας αὐτοὺς Ῥωμαίοις, αὐτόθι διῆγεν ἱερωμένος, καὶ
πολλοὺς χριστιανίσαι παρεσκεύασε, κομιδῇ ὀλίγους
10 εὑρὼν τοῦ δόγματος μετασχόντας[f]. Τουτὶ γὰρ τὸ
φῦλον ἀπὸ Ἰσμαὴλ τοῦ[g] Ἀβραὰμ παιδὸς τὴν ἀρχὴν
λαβὸν καὶ τὴν προσηγορίαν εἶχε, καὶ Ἰσμαηλίτας
αὐτοὺς οἱ ἀρχαῖοι ἀπὸ τοῦ προπάτορος ὠνόμασαν.
Ἀποτριβόμενοι δὲ τοῦ νόθου τὸν ἔλεγχον, καὶ τῆς
Ἄγαρ[h] τῆς Ἰσμαὴλ μητρὸς τὴν δυσγένειαν, δούλη
γὰρ ἦν, Σαρακηνοὺς σφᾶς ὠνόμασαν, ὡς ἀπὸ Σάρ-
11 ρας τῆς Ἀβραὰμ γαμετῆς καταγομένους. Τοιοῦτον
δὲ τὸ γένος ἕλκοντες, ἅπαντες μὲν ὁμοίως Ἑβραίοις
περιτέμνονται, καὶ ὑείων κρεῶν ἀπέχονται, καὶ ἄλλα
πολλὰ τῶν παρ' αὐτοῖς ἐθῶν φυλάττουσι. Τὸ δὲ μὴ
πάντα ἐπίσης αὐτοῖς πολιτεύεσθαι, χρόνῳ λογιστέον,
ἢ ταῖς ἐπιμιξίαις τῶν πέριξ ἐθνῶν. Μωσῆς τε γὰρ
πολλοῖς ὕστερον χρόνοις γενόμενος, μόνοις τοῖς ἐξ[i]

[f] Post μετασχόντας, usque ad περιτέμνονται lacunam habuit B., quæ nunc ab alia manu recentiori suppleta est.

[g] τοῦ τοῦ B.

[h] τῆς Ἄγαρ om. B. Scal. τῆς Ἰσμαὴλ om. Steph. suppl. Christ. Vales.

[i] τοῖς ἀπ' B.

runt. A quibus ordinatus episcopus, perrexit ad Saracenos. Cumque eos amicos ac benevolos reddidisset Romanis, mansit apud illos sacerdotali fungens munere, et multos ad Christi fidem traduxit, cum perpaucos ibi fideles reperisset. Quippe hæc gens ab Ismaele Abrahami filio originem ducens, vocabulum quoque accepit: eosque antiqui ab auctore generis Ismaelitas nominarunt. Verum ut probrum adulterinæ originis declinarent, et ignobilitatem Agar matris Ismaelis quæ serva erat, abolerent, ipsi se Saracenos nominarunt, quasi ex Sara conjuge Abrahami orti essent. Tali igitur genere prognati, omnes quidem Hebræorum more circumciduntur, et a suillis carnibus abstinent, multosque alios Hebræorum ritus observant. Quod vero non iisdem quibus illi institutis usquequaque utuntur, id vel longinquitati temporis tribuendum est, vel quia finitimis gentibus permixti sunt. Nam Moses quidem, qui multis postea sæculis vixit, solis illis qui ex

12 Αἰγύπτου ἐξελθοῦσιν ἐνομοθέτησε. Καὶ οἱ προσοικοῦντες αὐτοῖς ὡς ἄγαν[k] δεισιδαίμονες ὄντες, ὡς εἰκὸς διέφθειραν τὴν[l] Ἰσμαὴλ πατρῴαν ἀγωγὴν, καθ' ἣν μόνην ἐπολιτεύοντο οἱ πάλαι Ἑβραῖοι πρὸ τῆς τοῦ Μωσέως νομοθεσίας, ἀγράφοις ἔθεσι κεχρημένοι. Ἀμέλει τὰ αὐτὰ δαιμόνια τοῖς ὁμόροις ἔσεβον, καὶ παραπλησίως αὐτὰ τιμῶντες καὶ ὀνομάζοντες, ἐν τῇ 277
πρὸς τοὺς πέλας ὁμοιότητι τῆς θρησκείας, τὸ αἴτιον ἐδείκνυον τῆς παραποιήσεως τῶν πατρίων νόμων.
13 Οἷα δὲ φιλεῖ, χρόνος πολὺς ἐπιγενόμενος τὰ μὲν λήθῃ παρέδωκε· τὰ δὲ πρεσβεύεσθαι παρ' αὐτοῖς ἐποίησε. Μετὰ δὲ ταῦτά τινες αὐτῶν συγγενόμενοι Ἰουδαίοις, ἔμαθον ἀφ' ὧν ἐγένοντο· καὶ ἐπὶ τὸ συγγενὲς ἐπανῆλθον, καὶ τοῖς Ἑβραίοις[m] ἔθεσι καὶ νόμοις προσέθεντο. Ἐξ ἐκείνου τε πολλοὶ παρ' αὐτοῖς
14 εἰσέτι καὶ νῦν Ἰουδαϊκῶς ζῶσιν. Οὐ πρὸ πολλοῦ δὲ τῆς παρούσης βασιλείας, καὶ χριστιανίζειν ἤρξαντο. Μετέσχον δὲ τῆς ἐν Χριστῷ πίστεως, ταῖς συνουσίαις

[k] Scribendum est ἐς ἄγαν. VALESIUS.

[l] τὴν ἐξ Niceph.

[m] Ἑβραίων B.

Ægypto egressi sunt, leges tulit. Et eorum vicini, cum, sicut verisimile est, admodum essent superstitiosi, patriam Ismaelis disciplinam apud ipsos corruperunt; qua sola veteres Hebræi olim utebantur; quippe qui ante leges a Mose conditas, consuetudine non scripta regerentur. Eosdem certe quos finitimi, coluerunt Deos. Eosque simili modo venerantes, iisdemque appellantes vocabulis, hac religionis similitudine quam cum vicinis communem habent, causam cur patria instituta apud ipsos mutata sint, satis declararunt. Porro ut fieri solet, diuturni temporis successio, priora quidem oblivioni tradidit; alia vero ab illis coli fecit. Posthæc quidam eorum cum Judæis congressi, didicerunt unde originem ducerent. Et ad cognatos suos reversi, Hebræorum leges ac ritus sibi adsciverunt. Atque ex eo tempore multi apud illos Judaico more etiamnum vivunt. Christianam quoque religionem amplexi sunt, non multo ante hujus imperatoris tempora cujus res gestas describimus. Traducti sunt autem ad fidem Christi, collo-

τῶν προσοικούντων[n] αὐτοῖς ἱερέων καὶ μοναχῶν, οἳ ἐν
ταῖς πέλας ἐρημίαις ἐφιλοσόφουν, εὖ βιοῦντες καὶ
θαυματουργοῦντες. Λέγεται δὲ τότε καὶ φυλὴν ὅλην
εἰς Χριστιανισμὸν μεταβαλεῖν, Ζοκόμου[o] τοῦ ταύτης
15 φυλάρχου ἐξ αἰτίας τοιᾶσδε βαπτισθέντος. Ἄπαις
ὤν, κατὰ κλέος ἀνδρὸς μοναχοῦ ἦλθεν αὐτῷ συντευ-
ξόμενος, καὶ τὴν συμφορὰν ἀπωδύρετο· περὶ πολ-
λοῦ γάρ ἐστι παιδοποιΐα Σαρακηνοῖς, οἶμαι δὲ καὶ
πᾶσι βαρβάροις· ὁ δὲ, θαρρεῖν παρακελευσάμενος,
ηὔξατο, καὶ ἀπέπεμψεν, ἕξειν αὐτὸν υἱὸν ὑποσχόμενος,
εἰ πιστεύσειεν εἰς Χριστόν. Ἐπεὶ δὲ Θεὸς ἔργῳ τὴν
ὑπόσχεσιν ἐβεβαίωσε, καὶ ἐτέχθη αὐτῷ παῖς, αὐτός τε
Ζόκομος ἐμυήθη, καὶ τοὺς ὑπ' αὐτὸν ἐπὶ τοῦτο ἤγα-
16 γεν. Ἐξ ἐκείνου τε ταύτην τὴν φυλὴν γενέσθαι φασὶν
εὐδαίμονα καὶ πολυάνθρωπον, Πέρσαις τε καὶ τοῖς
ἄλλοις Σαρακηνοῖς φοβεράν. Ὃν μὲν δὴ τρόπον
Σαρακηνοὶ τὴν ἀρχὴν εἰς Χριστιανισμὸν μετέβαλον,

[n] προσηκούντων B.

[o] Ζάκομον appellat Niceph. xi. 47. Ζοκόμος infra habet cod. Fuk. Valesii.

quiis sacerdotum et monachorum, qui per finitimas ipsis solitudines philosophiæ operam dabant, vitæque sanctimonia et miraculis refulgebant. Fertur etiam integram eorum tribum eo tempore ad Christi religionem transiisse, cum Zocomus eorum phylarchus baptismum hujusmodi ob causam suscepisset. Hic orbus cum esset, ad monachum quemdam, fama illius adductus, accessit, ut cum eo colloqueretur: suamque ipsius calamitatem deplorare cœpit. Quippe apud Saracenos, et apud reliquos omnes, ut opinor, barbaros magni fit liberorum procreatio. Monachus vero illum bono animo esse jussit, et oratione facta, hominem dimisit, pollicitus filium ipsi nasciturum esse, si in Christum vellet credere. Postea vero cum Deus promissum re ipsa exhibuisset, et filius Zocomo natus esset, tum ipse sacramentum baptismi accepit, et subditos suos ad idem suscipiendum adduxit. Atque ex eo tempore tribum illam felicem ac numerosam fuisse perhibent, Persisque ac reliquis Saracenis formidabilem. Quo igitur modo Saraceni ad Christi religionem primum conversi sint, et de primo illius gentis episcopo, hæc sunt quæ accepimus.

καὶ οἷα περὶ τοῦ πρώτου παρ' αὐτοῖς ἐπισκοπήσαντος παρειλήφαμεν, ὧδε ἔχει.

ΚΕΦ. ΛΘ'.

Ὅτι ἐπανελθὼν Πέτρος ἐκ Ῥώμης, τὰς τῆς Αἰγύπτου ἐκκλησίας κατέσχε, Λουκίου ἀναχωρήσαντος· καὶ περὶ τῆς κατὰ Σκυθῶν ἐκστρατείας εἰς δύσιν Οὐάλεντος.

1 Οἱ δὲ κατὰ πόλιν τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου ζηλοῦντες πάλιν ἀνεθάρρουν, καὶ μάλιστα οἱ κατ' Αἴγυπτον Ἀλεξανδρεῖς. Ἐπανελθόντι δὲ τότε Πέτρῳ ἀπὸ τῆς Ῥώμης, μετὰ γραμμάτων Δαμάσου τά τε ἐν Νικαίᾳ δόξαντα καὶ τὴν αὐτοῦ χειροτονίαν κυρούντων, παρέδωκαν τὰς ἐκκλησίας. Ὁ δὲ Λούκιος ἐξελαθεὶς
2 ἐπὶ τὴν Κωνσταντινούπολιν ἀπέπλευσεν. Οὐάλης δὲ ὁ βασιλεὺς, ὡς εἰκὸς, ἐν φροντίσι γενόμενος, ἐπεξιέναι τούτοις σχολὴν οὐκ ἦγεν· ἅμα γὰρ ἧκεν εἰς τὴν Κωνσταντινούπολιν, ἐν ὑπονοίᾳ πολλῇ καὶ μίσει ἐγένετο παρὰ τῷ δήμῳ. Οἱ γὰρ βάρβαροι τὴν Θρᾴκην δῃώσαντες, καὶ μέχρι τῶν προαστείων ἤδη προελθόντες, καὶ αὐτοῖς τείχεσι μηδενὸς κωλύοντος προσβάλλειν[p]

[p] προβάλλειν J. Christ. Scal.

CAPUT XXXIX.

Quomodo Petrus Roma reversus, ecclesias Ægypti remoto Lucio obtinuit: et de Valentis expeditione in Gothos.

Cæterum in singulis civitatibus, hi qui Nicænæ synodi doctrinam tuebantur, animos resumere cœperunt: præcipue vero in Ægypto Alexandrini. Qui, cum forte Petrus eo tempore ab urbe Roma reversus esset cum literis Damasi, quibus et Nicæni concilii decreta, et ordinatio ipsius confirmabatur, ecclesias ei tradiderunt. Lucius vero inde expulsus, Constantinopolim navigavit. Verum imperator Valens aliis curis distentus, ut credibile est, istis vindicandis haudquaquam vacare potuit. Nam simulatque venit Constantinopolim, populus eum suspectum atque invisum habere cœpit. Quippe barbari, Thracia vastata, usque ad suburbana regiæ urbis progressi, jam mœnia ipsa oppugnare nemine obsistente aggrediebantur. Ob hæc civitas indignabatur, et imperatorem in

3 ἐπεχείρουν. Ἐπὶ τούτοις δὲ χαλεπῶς ἡ πόλις ἔφερε·
καὶ τὸν βασιλέα, ὅτι μὴ ἀντεξῄει ἀλλ' ἀνεβάλλετο 278
πολεμεῖν, ἐν αἰτίᾳ ἐποιοῦντο· καὶ ἐλογοποίουν, ὡς
αὐτὸς τοὺς πολεμίους ἐπάγοιτο. Τελευτῶντες δέ, καὶ
ἐν ἱπποδρομίᾳ θεώμενοι, εἰς τὸ φανερὸν αὐτοῦ κατε-
βόων, ὡς τὰ κοινὰ πράγματα περιορῶντος, καὶ ὅπλα
4 ᾔτουν, ὡς αὐτοὶ πολεμήσοντες. Ὁ δὲ Οὐάλης ὑβρι-
σθεὶς, ἐπεστράτευσε τοῖς βαρβάροις· ἠπείλησε δὲ ἢν
ὑποστρέψῃ, τιμωρήσειν αὐτῷ[q], τῶν τε ὕβρεων τοῦ
δήμου, καὶ ὅτι πρότερον Προκοπίῳ τῷ τυράννῳ προσ-
έθεντο.

ΚΕΦ. Μ'.

Περὶ τοῦ ἁγίου Ἰσαακίου μοναχοῦ, τοῦ προφητεύσαντος διὰ Οὐάλεντα· καὶ ὡς φεύγων Οὐάλης, ἐν ἀχυρῶνι εἰσελθὼν κατεκαύθη, καὶ οὕτως ἀπέρρηξε τὴν ψυχήν.

1 Ἐξελθόντι δὲ αὐτῷ τῆς Κωνσταντινουπόλεως, προσελθὼν Ἰσαάκιος ἀνὴρ μοναχὸς, τά τε ἄλλα ἀγαθὸς, καὶ διὰ τὸ θεῖον κινδύνων καταφρονῶν· Ἀπόδος, ἔφη, ὦ βασιλεῦ, τοῖς ὀρθῶς δοξάζουσι, καὶ τὴν παρά-

[q] Lege αὐτούς. W. Lowth. READING.

crimen vocabat, quod adversus hostes obviam non prodiret, sed bellum differret. Rumoresque spargebant, hostes ab illo evocatos adductosque esse. Denique cum Circenses ludos spectarent, aperte contra eum vociferati sunt, quod rempublicam neglectui haberet: et arma sibi dari poposcerunt, tanquam ipsi cum hostibus pugnaturi. His igitur contumeliis affectus Valens, adversus barbaros signa movit; minatusque est se, si rediret, pœnas de populo sumpturum esse, tum ob illas contumelias, tum quod antea Procopii tyranni partibus sese adjunxissent.

CAPUT XL.

De Sancto Isaacio monacho, qui Valentis mortem prædixit: et quomodo Valens fugiens, cum in horreum paleis refertum se recepisset, incendio consumptus interiit.

Porro cum Constantinopoli excederet, accedens ad eum Isaacius quidam monachus; vir tum ob alias dotes eximius, tum in subeundis propter Deum periculis intrepidus: Redde, inquit, o impe-

δοσιν φυλάττουσι τῶν ἐν Νικαίᾳ συνεληλυθότων, τὰς
ἀφαιρεθείσας ἐκκλησίας, καὶ νικήσεις τὸν πόλεμον.
Ὀργισθεὶς δὲ ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν συλλη-
φθῆναι καὶ δέσμιον φυλάττεσθαι, ἄχρις ἐπανελθὼν
δίκην εἰσπράξηται τοῦ τολήματος. Ὁ δὲ ὑπολαβὼν,
Ἀλλ' οὐχ ὑποστρέψῃς, ἔφη, μὴ ἀποδοὺς τὰς ἐκκλη-
2 σίας. Καὶ ἀπέβη οὕτως. Ἐπεὶ γὰρ ἅμα τῷ στρατῷ
ἐπεξῆλθεν, οἱ μὲν Γότθοι διωκόμενοι ὑπεχώρουν. Ὁ
δὲ ἀπιὼν[r], ἤδη παραμείψας τὴν Θρᾴκην ἧκεν εἰς τὴν
Ἀνδριανούπολιν[s]. Οὐκ ἀπὸ πολλοῦ τε γενόμενος
τοῖς βαρβάροις, ἐν ἀσφαλεῖ χώρῳ στρατοπεδευομένοις,
θᾶττον ἢ ἔδει συμβάλλει, μὴ προδιαθεὶς ᾗ χρὴ καὶ
3 ὅπῃ τάξαι τὴν στρατιάν. Διασπασθείσης δὲ αὐτῷ
τῆς ἵππου, καὶ τοῦ ὁπλιτικοῦ τραπέντος, διωκόμενος
ὑπὸ τῶν πολεμίων, εἴς τι δωμάτιον ἢ πύργον, ὀλίγοις
ἅμα συνεπομένοις αὐτῷ, ἐν τῷ φεύγειν ἀποβὰς τοῦ
ἵππου, εἰσέδυ καὶ ἔλαθεν. Οἱ δὲ βάρβαροι ἔθεον ἐπ'
αὐτὸν ὡς αἱρήσοντες· καὶ ἐπὶ τὸ πρόσω ἱέμενοι, παρ-
έτρεχον· οὐ γὰρ ὑπενόουν αὐτὸν ἐκεῖσε κρύπτεσθαι.

[r] Malim ἐπιών. Nicephorus habet ἐπιδιώκων, quod magis placet. VALESIUS.

[s] Ita codd. et editt.

rator, orthodoxis, et iis qui Nicæni concilii doctrinam custodiunt, ecclesias quas abstulisti; et victoriam de hostibus reportabis. Verum imperator ira succensus, comprehendi eum jussit, et vinctum servari, donec reversus pœnas audaciæ ab eo exigeret. At ille subjiciens, Non redibis, inquit, nisi ecclesias restitueris. Resque ita evenit. Postquam enim cum copiis ad bellum profectus est, Gothi quidem fugientes paulatim retro cessere. Ipse vero eos insequens, prætercursa jam Thracia, venit Hadrianopolim. Cumque haud procul abesset a barbaris, qui in munito quodam loco castrametati fuerant; citius quam oportuerat pugnam commisit, nec sicut, nec ubi decebat, ordinata prius acie. Disjecto itaque ejus equitatu, et peditibus in fugam versis, cum hostes eum insequerentur, ipse cum paucis qui eum comitabantur, equo desiliens, in casulam aut turrim quandam se recepit, ibique abditus delituit. Barbari vero cursu concito sequebantur, tanquam eum capturi: cumque jam appropinquassent, prætergressi sunt. Neque enim

4 Τῶν δ' αὖ σὺν αὐτῷ τινὲς, ἤδη τῶν πλειόνων βαρβάρων ὑπερβαλόντων τὸν τῇδε χῶρον, ὀλίγων δὲ κατόπιν ὄντων, ἐκ τοῦ ὀρόφου τοὺς παριόντας ἐτόξευον· οἱ δὲ ἐπὶ τούτῳ ἀνέκραγον, Ἐνθάδε Οὐάλης ἐστίν. Ἀκούσαντες δὲ οἱ προστυχόντες πλησίον, ἔμπροσθέν τε καὶ ὄπισθεν βοῇ τοῖς μετ' αὐτοὺς[t] ἐδήλουν ὃ ἤκουον· ὡς ἐν βραχεῖ καὶ τοὺς πορρωτέρω πολεμίους ἀκοῦσαι, καὶ διὰ τάχους εἰς αὐτὸν[u] πάντας
5 συνελθεῖν. Περιλαβόντες δὲ κύκλῳ τὸ δωμάτιον, καὶ 279 πλείστην ὕλην περὶ τοῦτο συλλέξαντες, πῦρ ἐνέβαλον· αὐτίκα δὲ ἡ φλὸξ ὑπὸ ἐπιφόρου πνεύματος ὧδε συμβὰν ἐλαυνομένη, τὴν ὕλην διῆλθεν. Ἅμα δὲ καὶ τὰ ἀποκείμενα[x] ἐν τῷ δωματίῳ τοῦ πυρὸς μετέσχε, καὶ αὐτὸν τὸν βασιλέα καὶ τοὺς ἀμφ' αὐτὸν συγκατέκαυσεν. Ἐτελεύτησε δὲ γεγονὼς ἀμφὶ τὰ πεντήκοντα ἔτη· τρισκαίδεκα δὲ σὺν τῷ ἀδελφῷ βασιλεύσας, καὶ μετ' ἐκεῖνον τρία.

[t] Legendum τοῖς μετ' αὐτῶν. READING.

[u] Melius meo quidem judicio scriberetur εἰς ταὐτόν. Certe in Nicephoro scriptum est εἰς ἓν συνελθεῖν. VALESIUS.

[x] ὑποκείμενα B.

suspicabantur, imperatorem ibi occultum esse. Porro cum major pars barbarorum jam præteriisset, paucique ex illis a tergo relicti essent, quidam ex his qui cum imperatore erant, tela in transeuntes jacere ex tecto cœperunt. Quo facto, isti exclamarunt Valentem illic esse. Quod cum audissent hi qui propius aberant, clamore sublato, tam iis qui præibant, quam sequentibus, ea quæ audierant nuntiarunt. Adeo ut ii quoque qui longius aberant, rem audierint, et celeriter in unum omnes confluxerint. Domo igitur undique circumsessa, magnaque materiæ copia circumquaque congesta, ignem subjiciunt. Flamma vero ingenti vento tunc forte orto incitata, universam statim materiem corripuit. Sed et quæcumque in domo reposita erant, alimentum incendio subministrarunt, et imperatorem ipsum cum universis comitibus consumpserunt. Mortuus autem est anno ætatis circiter quinquagesimo: cum regnasset tredecim quidem annis una cum fratre: post obitum autem illius annis tribus.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΕΙΟΥ ΣΩΖΟΜΕΝΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ Ζʹ.

ΚΕΦ. Αʹ.

Ὡς ὑπὸ τῶν βαρβάρων κατεπειγομένων Ῥωμαίων, Μαβία[a] συμμαχίαν πέμπει· καί τινες ἀπὸ τοῦ δήμου τὴν νίκην ἐργάζονται· καὶ ὡς Γρατιανὸς ἐκέλευσε πιστεύειν ὡς βούλεται ἕκαστος.

1 ΟΥΑΛΕΝΤΙ *μὲν ὧδε θανεῖν ξυνηνέχθη. Οἱ δὲ βάρβαροι ἐπαρθέντες ἐπὶ τῇ νίκῃ, πᾶσαν τὴν Θρᾴκην ἐδῄουν· καὶ τελευτῶντες, τὰ προάστεια Κωνσταντινουπόλεως κατέτρεχον. Κινδυνεύουσι δὲ τότε τοῖς πράγμασι μέγα γεγόνασιν ὄφελος, ἐκ μὲν τῶν ὑπο-*

[a] [Sic editt. Cf. vi. 38, not. y.]

VALESII INTERPRETATIO.

CAPUT I.

Quomodo Romanis qui a barbaris premebantur, Mavia auxilium tulerit, et quidam ex plebe pugnantes victoriam reportarint. Item quomodo Gratianus jusserit ut unusquisque pro arbitrio suo Deum coleret.

AC Valenti quidem hujusmodi exitus vitæ contigit. Barbari vero victoria elati, universam Thraciam populati sunt: tandemque in ipsa Constantinopoleos suburbana incursionem fecere. Quo quidem tempore rebus in maximum discrimen adductis, egregiam operam navarunt, ex fœderatis quidem Saracenis pauci, a Mavia

σπόνδων Σαρακηνῶν[b] ὀλίγοι παρὰ Μανίας ἀποστα-
2 λέντες, πλεῖστοι δὲ ἀπὸ τοῦ δήμου. Ῥητὸν γὰρ ἐκ τοῦ δημοσίου μισθὸν χορηγούσης αὐτοῖς Δομνίκης τῆς Οὐάλεντος γαμετῆς, ὡς ἔτυχεν ἕκαστος ὁπλιζόμενος, ἀντεπεξῄεσαν, καὶ τοὺς πολεμίους ἀμυνόμενοι,
3 πόρρω τῆς πόλεως ἀπεδίωκον. Γρατιανὸς δὲ ἅμα τῷ ἀδελφῷ πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν διέπων, οὐκ ἐπαινέσας τὸν θεῖον τῆς γνώμης, ἣν περὶ τοὺς ἑτέρως αὐτῷ δοξάζοντας διετέλεσεν ἔχων, πᾶσι τοῖς ἐπ' ἐκείνου διὰ τὴν θρησκείαν φεύγειν καταδικασθεῖσι, τὴν κάθοδον ἀπέδωκε· καὶ νόμον ἔθετο, μετὰ ἀδείας ἑκάστους θρησκεύειν ὡς βούλονται, καὶ ἐκκλησιάζειν, πλὴν Μανιχαίων καὶ τῶν τὰ Φωτεινοῦ καὶ Εὐνομίου φρονούντων.

ΚΕΦ. Β'. 280

Ὅτι Γρατιανὸς τὸν ἐξ Ἱσπανίας Θεοδόσιον συμβασιλεύειν ἑαυτῷ εἵλετο· καὶ ὡς ἡ ἕως, πλὴν Ἱεροσολύμων, ὑπὸ Ἀρειανῶν εἴχετο· καὶ περὶ τῆς ἐν Ἀντιοχείᾳ συνόδου, καὶ τῆς τότε περὶ προεδρίας τῶν ἐκκλησιῶν καταστάσεως.

1 Λογισάμενος δὲ[c], ὡς τῶν ἀμφὶ τὸν Ἴστρον βαρ-

[b] Σαρρακηνῶν B. [c] [μὲν Steph. Genev. δὲ tacite Valesius.]

missi; ex plebe vero quamplurimi. Nam cum Dominica Valentis uxor, certum illis stipendium ex ærario subministraret, singuli ut fors tulerat armati, obviam hostibus prodierunt; et fortiter pugnantes, barbaros procul ab urbe repulerunt. Gratianus vero, qui jam cum fratre universum Romanorum imperium gubernabat, cum patrui sui acerbitatem erga eos qui in religione ab ipso dissentiebant nunquam probasset, omnibus qui religionis causa in exsilium ab illo pulsi fuerant, reditum concessit. Legem quoque tulit, ut singuli quamcumque vellent religionem sectarentur; utque omnes colligendi copiam haberent, præter Manichæos, et Photini atque Eunomii sectatores.

CAPUT II.

Quomodo Gratianus Theodosium Hispanum, imperii consortem sibi adscivit: et quomodo Ariani omnes Orientis ecclesias, excepta Hierosolymitana, obtinebant. Item de Antiochena synodo: et de constitutione quæ tunc facta est de primatu ecclesiarum.

Porro cum secum ipse considerasset, barbaris quidem qui circa

βάρων Ἰλλυριοὺς καὶ Θρᾷκας ἐνοχλούντων προσῆκεν
ἐπαμύνειν· ἀναγκαῖον[b] δὲ καὶ τοῖς πρὸς ἑσπέραν ἀρ-
χομένοις παρεῖναι, καὶ μάλιστα Ἀλαμανῶν[c] τοὺς
ἐνθάδε Γαλάτας κακουργούντων, κοινωνὸν ἐποιήσατο
τῆς ἀρχῆς ἐν τῷ Σιρμίῳ Θεοδόσιον, γένους τῶν ἀμφὶ
τὸ Πυρηναῖον ὄρος[d] Ἰβήρων, εὐπατρίδην τε, καὶ ἄρι-
στα πολλάκις ἐν πολέμοις διαγενόμενον[e]· ὡς καὶ πρὸ
τῆς βασιλείας ἐν ταῖς τῶν ὑπηκόων γνώμαις ἐπιτή-
2 δειον αὐτὸν δόξαι πρὸς ἡγεμονίαν. Ἐν τούτῳ δὲ
πλὴν Ἱεροσολύμων, ἔτι τῶν ἀνὰ τὴν ἕω ἐκκλησιῶν
οἱ τὰ Ἀρείου φρονοῦντες ἐκράτουν. Μακεδονιανοὶ δὲ,
καὶ μάλιστα οἱ ἐν Κωνσταντινουπόλει, μετὰ τὰς πρὸς
Λιβέριον συνθήκας, οὐ μέγα τὶ διεφέροντο πρὸς τοὺς
ἐπαινοῦντας τὸ δόγμα τῶν ἐν Νικαίᾳ συνελθόντων·
ὡς ὁμοδόξοις δὲ, κατὰ πόλεις ἐπεμίγνυντο καὶ ἐκοι-
3 νώνουν ἀλλήλοις. Μετὰ δὲ τὸν τεθέντα παρὰ Γρα-
τιανοῦ νόμον, ἀδείας λαβόμενοί τινες τῶν ἐπισκόπων

[b] Pro ἀναγκαῖον, habent λογισάμενος B. Steph. Genev. Mutavit Christoph., quem secuti sunt Scal Curt. Vales., e codice aliquo, ni fallor: nam nullam hic variationem indicavit collator in C. et J.: quamobrem hoc in textu retinui.

[c] Ita B. [ut infra et apud Socrat. Ἀλαμαννῶν editt.]

[d] Πυρηναῖον γένος B. Steph. Genev. corr. Christoph. Curt. Scal.

[e] Legendum videtur διαγωνισάμενον, secundum Nicephor., qui ἀγωνισάμενον habet.

Istrum erant, Illyricum Thraciamque vastantibus, resistendum esse: simul vero Occidentis provincias præsentia sua necessario indigere, cum Alamanni præcipue Gallias infestarent; in urbe Sirmio positus, Theodosium consortem imperii sibi adjunxit, ex Hispanis qui Pyrenæum montem accolunt oriundum; virum nobili stirpe editum, et qui in bello rebus fortiter gestis sæpius inclaruerat: adeo ut etiam ante imperium, omnium Romanorum judicio, idoneus imperio censeretur. Per idem tempus Ariani omnes Orientis ecclesias adhuc obtinebant, exceptis Hierosolymis. Macedoniani vero, præsertim ii qui Constantinopoli degebant, post initam cum Liberio pactionem, ab iis qui doctrinam Nicæni concilii sequebantur, haud magnopere dissidebant: sed cum illis quasi eadem sentientibus miscebantur, et mutuo inter se communica-

ταύτης τῆς αἱρέσεως, κατέλαβον τὰς ἐκκλησίας, ὧν ἐπὶ Οὐάλεντος ἀφῄρηντο. Καὶ συνελθόντες ἐν Ἀντιοχείᾳ τῆς Καρίας, ἐψηφίσαντο μὴ δεῖν ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν ὀνομάζειν, ἀλλ' ὁμοιοούσιον, ὡς
4 *πρόσθεν. Ἐκ τούτου*[f] *δὲ, οἱ μὲν διακριθέντες, ἰδίᾳ ἐκκλησίαζον· οἱ δὲ τῶν ταῦτα ψηφισαμένων ἐναντιότητα καὶ φιλονεικίαν καταγνόντες, ἀπέστησαν αὐτῶν, καὶ βεβαιότερον ὡμοφρόνουν τοῖς κατὰ τὸ δόγμα τῆς*
5 *ἐν Νικαίᾳ συνόδου θρησκεύουσιν. Ἐκ δὲ τῶν τότε κατὰ τὸν Γρατιανοῦ νόμον ἐπανελθόντων ἐπισκόπων ἀπὸ τῆς συμβάσης αὐτοῖς φυγῆς ἐπὶ τῆς Οὐάλεντος βασιλείας, οἱ μὲν, προεδρίας οὐδὲν ἐφρόντισαν· ἀλλὰ τὴν ὁμόνοιαν τῶν λαῶν προτιμήσαντες, μὴ καταλιπεῖν σφᾶς ἐδεήθησαν τῶν ἀπὸ τῆς Ἀρείου αἱρέσεως, μηδὲ διχονοίᾳ κατατέμνειν τὴν ἐκκλησίαν, ἣν παρὰ Θεοῦ καὶ ἀποστόλων μίαν παραδοθεῖσαν, φιλονεικίαι καὶ*
6 *φιλοπροεδρίαι εἰς πολλὰς κατεμέρισαν. Ταύτης δὲ τῆς σπουδῆς ἐγένετο*[g] *καὶ Εὐλάλιος ὁ ἐν Ἀμασείᾳ*[h] *τῇ πρὸς τῷ Πόντῳ ἐπίσκοπος· λέγεται γοῦν μετὰ*

[f] *τούτων* J. Christ.
[g] *ἐγένοντο* B.
[h] Ita B. Niceph. xii. 4. *Ἀμασίᾳ* editt.

bant. Verum post legem a Gratiano latam, quidam ex illius sectæ episcopis licentiam nacti, ecclesias quæ a Valente ipsis ademptæ fuerant occuparunt. Et Antiochiæ in Caria congregati, Filium non consubstantialem, sed similis cum Patre substantiæ, ut antea, dicendum esse decreverunt. Ex eo tempore alii quidem segregati, seorsum collectas egere: alii vero, damnata contentione et pervicacia eorum qui ista decreverant, ab illis secesserunt, et his qui doctrinam Nicænæ synodi sequebantur, constantius adhæserunt. Cæterum ex episcopis qui juxta præceptum Gratiani tunc reversi sunt ab exsilio, quod Valentis temporibus perpessi fuerant, nonnulli de primatu non magnopere laborarunt. Sed plebis concordiam potiore loco ducentes, rogarunt Arianæ partis antistites, ne ipsos desererent, neve ecclesiam mutuis dissensionibus divellerent, quam, cum a Christo et ab apostolis una relicta esset, pervicacia et ambitio in multas diviserat. Hoc animo fuit inter cæteros Eulalius Amasiæ in Ponto episcopus: qui quidem post redi-

τὴν ἐπάνοδον εὑρεῖν ἕτερον προϊστάμενον τῆς αὐτοῦ[1] ἐκκλησίας τῶν Ἀρείου ἐπισκόπων· εἶναι δὲ τοὺς πειθομένους αὐτῷ ἐν τῇ πόλει οὐδ' ὅλους πεντήκοντα· 281
προνοούμενον δὲ τῆς πάντων ἑνώσεως, ἀντιβολῆσαι τοῦτον πρωτεύειν, καὶ κοινῇ τὴν ἐκκλησίαν ἰθύνειν, ἆθλον ἐπὶ τῇ ὁμονοίᾳ τὴν προεδρίαν ἔχοντα. Ἀλλ' ὁ μὲν μὴ πεισθεὶς, οὐκ εἰς μακρὰν ἔμελλεν οὐδὲ ὧν εἶχεν ὀλίγων ἡγήσεσθαι, προσθεμένων τοῖς ἄλλοις.

ΚΕΦ. Γ'.

Περὶ τῶν κατὰ τὸν ἅγιον Μελέτιον καὶ Παυλῖνον τῶν Ἀντιοχείας ἐπισκόπων, καὶ περὶ τῶν γενομένων ὅρκων διὰ τὸν ἐπισκοπικὸν θρόνον.

1 Ἐν δὲ τῷ τότε καὶ Μελετίου κατὰ τοῦτον τὸν νόμον ἐπανελθόντος εἰς Ἀντιόχειαν τῆς Συρίας, δεινή τις τῷ λαῷ φιλονεικία συνέβη. Παυλίνου γὰρ ἔτι περιόντος, οὗ τὴν εὐλάβειαν, ὡς ἔγνωμεν, αἰδεσθεὶς Οὐάλης ὁ βασιλεὺς, καταδικάσαι φυγὴν οὐκ ἐτόλμησεν, οἱ μὲν, σύνθρονον αὐτοῦ γενέσθαι Μελέτιον

[1] In cod. Fuk. τῆς αὐτῆς, quam scripturam meliorem puto. Idem tamen utrobique sensus est, modo ecclesiam accipiamus pro Basilica seu æde in quam fideles conveniebant. VALESIUS. [τῆς αὐτῆς Christ. Scal.]

tum suum, quendam ex Arianis episcopis ecclesiæ suæ præsidentem reperisse dicitur, quem ex tota urbe ne quinquaginta quidem homines sectabantur. Verum Eulalius totius populi unitati prospiciens, eum oravit ut priorem locum obtineret, et ecclesiam una cum ipso regeret, primatu fruens, tanquam præmio servatæ concordiæ. Hic vero cum conditionem istam repudiasset, haud multo post paucis illis præesse desiit, ipsi enim se reliquis adjunxerunt.

CAPUT III.

De his quæ inter Meletium ac Paulinum Antiochenses episcopos gesta sunt: et de jurejurando propter episcopalem sedem facto.

Eodem tempore cum Meletius supradictæ legis beneficio Antiochiam Syriæ remeasset, gravis contentio in populo exorta est. Etenim cum Paulinus adhuc superstes esset, quem imperator Valens ob pietatem, ut supra diximus, reveritus, exsilio mulctare haudquaquam ausus fuerat, quidam postulabant ut Meletius in

ἠξίουν. Ἀντιλεγόντων δὲ[k] τῶν τὰ Παυλίνου φρο-
νούντων, καὶ τὴν Μελετίου χειροτονίαν διαβαλλόν-
των, ὡς ὑπὸ Ἀρειανῶν ἐπισκόπων γεγενημένην, βίᾳ
τὸ σπουδαζόμενον εἰς ἔργον ἦγον οἱ Μελετίου ἐπαι-
3 νέται. Πλῆθος γὰρ οὐ τὸ τυχὸν ὄντες, ἐν μιᾷ τῶν
πρὸ τῆς πόλεως ἐκκλησιῶν εἰς τὸν ἐπισκοπικὸν θρό-
νον ἀνεβίβασαν αὐτόν. Ἑκατέρωθεν δὲ τοῦ λαοῦ
χαλεπαίνοντος, καὶ στάσεως προσδοκωμένης, θαυ-
μαστή τις ἐκράτησε βουλή, πρὸς ὁμόνοιαν αὐτοὺς
4 ἄγουσα. Συνεδόκει γὰρ ὅρκους λαβεῖν παρὰ τῶν
ἐπισκοπεῖν τὸν ἐνθάδε θρόνον ἐπιτηδείων εἶναι νομι-
ζομένων, ἢ προσδοκωμένων· ὧν ἦσαν ἕτεροι πέντε,
καὶ Φλαβιανὸς, ὡς οὔτε σπουδάσουσι, οὔτε χειροτο-
νίας ἐπ᾿ αὐτοῖς γεγενημένης[1] ἀνέξονται ἐπισκοπεῖν,
ἐς ὅσον Παυλῖνος ἢ Μελέτιος τῷ βίῳ περιῶσι· συγ-
χωρεῖν δὲ θατέρου τελευτήσαντος τὸν ἕτερον μόνον
5 τὴν ἐπισκοπὴν ἔχειν. Κατὰ ταῦτα δὲ δοθέντων τῶν
ὅρκων, σχεδὸν τὸ πᾶν ὡμονόει πλῆθος. Ὀλίγοι δὲ

[k] δὲ om. B. Steph. Genev. tacite inseruit Vales.

[1] Ita B. Steph. Genev. γενομένης Vales.

episcopali sede cum illo resideret. Quibus cum Paulini fautores reclamarent, et ordinationem Meletii tanquam ab Arianis factam criminarentur, fautores Meletii id quod studebant, vi perfecere. Cum enim haud pauci numero essent, in quadam ecclesia suburbana Meletium in episcopali solio collocarunt. Populo igitur ex utraque parte concitato, cum seditio futura expectaretur, admirabile quoddam consilium prævaluit, quo ad concordiam revocarentur. Placuit enim ut jurejurando sese adstringerent ii qui ad regendum ejus loci episcopatum idonei esse putabantur, sperabanturve; ex quibus erant tum alii quinque, tum Flavianus; se neque ambituros, neque electione ipsorum facta, episcopatum suscepturos esse, quamdiu Paulinus ac Meletius superstites essent: altero autem illorum mortuo, passuros se ut alter episcopatum solus obtineret. Igitur jurejurando in has conditiones præstito, universa fere plebs ad concordiam rediit. Pauci tamen ex

τῶν Λουκίφερος ἔτι διεφέροντο, ὡς ὑπὸ ἑτεροδόξων Μελετίου χειροτονηθέντος. Ἐπεὶ δὲ τάδε ὧδε γέγονε,
6 Μελέτιος μὲν ἧκεν εἰς Κωνσταντινούπολιν. Ἡνίκα καὶ ἄλλοις πολλοῖς[m] ἐπισκόποις κατὰ ταυτὸ γενομένοις, ἔδοξεν ἀναγκαῖον εἶναι ἐκ τῆς Ναζιανζοῦ μεταθεῖναι Γρηγόριον, καὶ ἐπιτρέψαι αὐτῷ τὴν ἐνθάδε ἐπισκοπήν.

ΚΕΦ. Δ'.

Περὶ τῆς ἀρχῆς Θεοδοσίου τοῦ μεγάλου, καὶ ὡς παρὰ Ἀσχολίου Θεσσαλονίκης τὸ θεῖον ἐμυήθη βάπτισμα· καὶ οἷα ἔγραψε τοῖς μὴ κατὰ τὸν ὅρον τῆς ἐν Νικαίᾳ συνόδου πρεσβεύουσι.

1 Ὑπὸ δὲ τοῦτον τὸν χρόνον, Γρατιανὸς μὲν ἔτι τῶν πρὸς ἑσπέραν Γαλατῶν ὑπὸ Ἀλαμανῶν ταραττομένων, ἐπὶ τὴν πατρῴαν ἀνέστρεψε μοῖραν· ἣν αὐτῷ τε καὶ τῷ ἀδελφῷ διοικεῖν κατέλιπεν, Ἰλλυριοὺς καὶ 282
τὰ πρὸς ἥλιον ἀνίσχοντα τῆς ἀρχῆς Θεοδοσίῳ ἐπι-
2 τρέψας. Κατωρθοῦτο δὲ κατὰ γνώμην αὐτῷ τὰ πρὸς τούτους· Θεοδοσίῳ δὲ τὰ πρὸς τοὺς ἀμφὶ τὸν Ἴστρον

[m] Ita C. πολλοῖς om. ceteri. πολλοὶ συνιόντες ἐπίσκοποι Niceph. xii. 5.

Luciferianis adhuc dissidebant, propterea quod Meletius ab hæreticis ordinatus fuisset. Quibus ad hunc modum peractis, Meletius Constantinopolim profectus est. Quo quidem tempore, aliis quoque episcopis ibi congregatis, operæ pretium visum est, ut Gregorius ab oppido Nazianzo transferretur, ejusque urbis episcopatus ei regendus committeretur.

CAPUT IV.

De imperio Theodosii magni, et quomodo ab Ascholio Thessalonicæ episcopo baptizatus est: et quid decreverit adversus eos qui Nicæni concilii fidem impugnabant.

Sub idem tempus, cum Alamanni crebris incursionibus Gallias infestarent, Gratianus ad occiduas paterni imperii partes reversus est, quas ipse sibi ac fratri regendas retinuerat, cum Illyricum et Orientis partes Theodosio tradidisset. Et ipse quidem, ex animi sui sententia rem gessit adversus Alamannos: Theodosius vero bellum cum barbaris Istrum accolentibus non minus feliciter con-

βαρβάρους. Ἐπεὶ δὲ[n] τῶν μὲν μάχῃ ἐπεκράτησε,
τοὺς δὲ, φίλους ἔχειν Ῥωμαίους ἀντιβολοῦντας, ὁμή-
ρους λαβὼν ὑπὸ σπονδὰς[o] ἐδέξατο, ἧκεν εἰς Θεσσα-
3 λονίκην. Νόσῳ δὲ περιπεσὼν ἐνταῦθα, μυσταγω-
γοῦντος αὐτὸν Ἀσχολίου τοῦ τῇδε ἐπισκόπου, ἐμυήθη,
καὶ ῥᾷον ἔσχεν. Ἐκ προγόνων γὰρ χριστιανίζων
κατὰ τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου ἥσθη τότε[p]
Ἀσχολίῳ ὧδε δοξάζοντι, καὶ ἔργῳ ἀγαθῷ[q], καὶ συλ-
λήβδην, ὡς εἰπεῖν, πρὸς πᾶσαν ἱερωσύνης ἀρετὴν
συντεταγμένῳ, ἥσθη δὲ καὶ Ἰλλυριοῖς ἅπασι μὴ με-
4 τασχοῦσι τῆς Ἀρείου δόξης. Πυνθανόμενος δὲ περὶ
τῶν ἄλλων ἐθνῶν, μέχρι μὲν Μακεδόνων ἔγνω τὰς

[n] ἐπειδὴ δὲ C.

[o] Ita C. εἰς σπονδὰς conjecit Vales. ὑπὸ om. ceteri codd. et editt.

[p] τότε om. B. Steph. Genev. inseruit hoc loco tacite Vales.

[q] Hic locus proculdubio corruptus est. In cod. Fuk. scriptum, ἥσθη τότε, καὶ ἔργῳ ἀγαθῷ, ὡς εἰπεῖν συλλήβδην, πρὸς πᾶσαν ἱερωσύνης ἀρετὴν συντεταγμένῳ. Quæ tamen haud multo meliora sunt vulgata lectione. Mihi quidem totus locus ita restituendus videtur: ἀνδρὶ λόγῳ τε κὰι ἔργῳ ἀγαθῷ. Sic enim legit Nicephorus. Sequentia vero sic emendanda sunt: καὶ ὡς εἰπεῖν συλλήβδην, πρὸς π. ἱερ. ἀρετὴν συντεταγμένῳ. Pro hac voce τεταγμένος, Nicephorus hunc Sozomeni locum describens posuit δεξιὸς, id est, aptus atque habilis. VALESIUS. ἥδετό τε καὶ Steph. Genev. Si conjiciendo emendare libeat, scribi posset ἥσθη τῷ τε Ἀσχολίῳ ὧδε δοξάζοντι καὶ ἔργῳ ἀγαθῷ [ἥσθη Ἀσχολίῳ ὧδε δοξάζοντι, ἥσθη τότε καὶ ἔργῳ B. Christ. Scal. συνέργῳ ἀγαθῷ legit Hadrianus Junius, ex relatione Suffridi Petri.]

fecit. Quorum alios cum prœlio devicisset, alios Romanorum amicitiam postulantes acceptis obsidibus in fœdus suscepisset, Thessalonicam venit. Ibi in morbum delapsus, ab Ascholio ejus urbis episcopo rudimentis fidei perceptis baptizatus, convaluit. Nam cum majoribus ortus esset Christianis, qui Nicænæ fidei doctrinam sequebantur, Ascholio valde tum delectatus est, quippe qui ejusdem sententiæ esset: viro tum sermone, tum operibus eximio, et ut summatim dicam, cunctis sacerdotalis officii dotibus exornato. Delectatus est etiam Illyriis, eo quod nullus eorum Ariani dogmatis labe infectus esset. Percontatus autem de reliquis provinciis, comperit usque ad Macedoniam quidem, omnes

ἐκκλησίας ὁμονοεῖν, καὶ πάντας ἐπίσης τῷ Πατρὶ τὸν
Θεὸν Λόγον καὶ τὸ ἅγιον Πνεῦμα σέβειν· ἐντεῦθεν
δὲ τὰ πρὸς ἕω στασιάζειν, ὡς καὶ τοὺς λαοὺς εἰς δια-
φόρους αἱρέσεις μεμερίσθαι, καὶ μάλιστα ἀνὰ τὴν Κων-
5 σταντινούπολιν. Λογισάμενος δὲ ἄμεινον εἶναι, προα-
γορεῦσαι τοῖς ὑπηκόοις ἣν ἔχει περὶ τὸ θεῖον δόξαν,
ὥστε μὴ βιάζεσθαι δοκεῖν, ἀθρόον ἐπιτάττοντα[r] παρὰ
νόμον θρησκεύειν, νόμον ἐκ Θεσσαλονίκης προσεφώ-
νησε τῷ δήμῳ Κωνσταντινουπόλεως· συνεῖδε γὰρ
ἐνθένδε, ὡς ἀπό τινος ἀκροπόλεως τῆς πάσης ὑπη-
κόου, καὶ ταῖς ἄλλαις πόλεσι δήλην ἔσεσθαι ἐν τάχει
6 τὴν γραφήν. Ἐδήλου δὲ διὰ ταύτης, βούλεσθαι πάν-
τας τοὺς ἀρχομένους θρησκεύειν ὡς ἐξ ἀρχῆς Ῥω-
μαίοις παρέδωκε Πέτρος ὁ κορυφαῖος τῶν ἀποστό-
λων, ἐφύλαττον δὲ τότε Δάμασος ὁ Ῥώμης ἐπίσκο-
πος, καὶ Πέτρος ὁ Ἀλεξανδρείας· μόνων τε[s] τῶν
ἰσότιμον Τριάδα θείαν θρησκευόντων καθολικὴν τὴν

[r] *ἐπιτάττοντι παρὰ νόμον* B. Steph. Genev. *ἐπιτάττοντα παρὰ γνώμην* tacite Valesius. *παρὰ νόμον ἐπιτάττων* Niceph. *Si quenquam subito invitum ad cultum religionis impelleret* Epiphan. in Cassiod. ix. 7; quod quidem emendationi Valesii favet.

[s] *τε* om. B. Steph. Genev. tacite inseruit Vales.

inter se ecclesias consentire, cunctosque Deum Verbum et Spiritum sanctum ex æquo cum Patre venerari. Abhinc vero, reliquas orientem versus provincias tumultuari, ita ut populi in varias sectas divisi essent, ac præcipue Constantinopoli. Cum igitur apud se reputasset, satius esse ut suam de divinitate sententiam ipse subditis suis palam prædicaret, ne vim inferre videretur repente invitis quid colendum esset præcipiendo, Thessalonicæ positus, legem dedit ad populum urbis Constantinopolitanæ. Perpendebat enim animo, fore ut illinc tanquam ex arce totius imperii, rescriptum suum reliquis quoque civitatibus brevi innotesceret. Significabat autem eo rescripto, velle se ut omnes subditi sui eam religionem sequerentur, quam Petrus apostolorum princeps Romanis ab initio tradidisset; et quam eo tempore Damasus Romanæ urbis episcopus, ac Petrus Alexandrinus servarent. Utque eorum duntaxat ecclesia qui divinam Trinitatem æquali honore

ἐκκλησίαν ὀνομάζεσθαι· τοὺς δὲ παρὰ ταῦτα δοξάζοντας, αἱρετικοὺς προσαγορεύεσθαι, καὶ ἀσήμους[t] εἶναι, καὶ τιμωρίαν προσδέχεσθαι.

ΚΕΦ. Ε΄. 283

Περὶ Γρηγορίου τοῦ Θεολόγου, καὶ ὅτι αὐτῷ τὰς ἐκκλησίας παραδέδωκε Θεοδόσιος, ἐξελάσας Δημόφιλον, καὶ τοὺς μὴ ὁμοούσιον τῷ Πατρὶ δοξάζοντας τὸν Υἱόν.

1 Ταῦτα νομοθετήσας, οὐ πολλῷ ὕστερον ἧκεν εἰς Κωνσταντινούπολιν. Ἐκράτουν δὲ τῶν ἐκκλησιῶν ἔτι οἱ τὰ Ἀρείου φρονοῦντες, ὧν ἡγεῖτο Δημόφιλος· Γρηγόριος δὲ ὁ ἐκ Ναζιανζοῦ προΐστατο τῶν ὁμοούσιον Τριάδα δοξαζόντων· ἐκκλησίαζε δὲ ἐν οἰκίσκῳ μικρῷ, παρ' ὁμοδόξων αὐτῷ τε καὶ τοῖς ὁμοίως θρη-
2 σκεύουσιν εἰς εὐκτήριον οἶκον κατασκευασθέντι. Μετὰ δὲ ταῦτα περιφανὴς τῶν ἐν τῇ πόλει νεὼς γέγονεν οὗτος, καὶ ἔστιν, οὐ μόνον οἰκοδομημάτων κάλλει τε καὶ μεγέθει, ἀλλὰ καὶ ἐναργῶν θεοφανειῶν ὠφε-

[t] Ita B. Steph. Genev. ἀτίμους tacite Valesius.

colerent, catholica nominaretur: qui vero aliter sentirent, hæretici dicerentur, infamesque essent, seque scirent supplicio afficiendos.

CAPUT V.

De Gregorio Theologo; utque Theodosius ecclesias ei tradidit; Demophilo, una cum iis qui consubstantialem Patri Filium negabant, exturbato.

Hac constitutione promulgata, haud multo post venit Constantinopolim. Porro ea tempestate Ariani adhuc ecclesiis potiebantur, quibus præerat Demophilus. Gregorius vero Nazianzenus iis præsidebat qui Trinitatem consubstantialem profitebantur. Hic in exigua quadam domo, quæ per quosdam ejusdem fidei homines tum ipsi, tum iis qui eandem religionem sequebantur, in ecclesiæ speciem commutata fuerat, collectas agebat. Sequenti vero tempore, præ cæteris regiæ urbis ecclesiis illustris hæc fuit, et nunc quoque est: non solum ob structuræ elegantiam atque amplitudinem, verum etiam ob assiduas quæ ex divini numinis præsentia

λείαις. Προφαινομένη γὰρ ἐνθάδε θεία δύναμις, ὕπαρ
τε καὶ ἐν ὀνείρασι, πολλοῖς πολλάκις νόσοις καὶ
περιπετείαις πραγμάτων κάμνουσιν ἐπήμυνε· πεπί-
στευται δὲ ταύτην τὴν Θεοῦ μητέρα Μαρίαν τὴν
3 ἁγίαν παρθένον εἶναι· ταύτῃ γὰρ ἐπιφαίνεται. Ἀνα-
στασίαν δὲ ταύτην τὴν ἐκκλησίαν ὀνομάζουσιν, ὡς
μὲν ᾡόμην, καθότι τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου
πεπτωκὸς ἤδη ἐν Κωνσταντινουπόλει καὶ τεθνηκὸς,
ὡς εἰπεῖν, διὰ τὴν δύναμιν τῶν ἑτεροδόξων, ἐνθάδε
4 ἀνέστη καὶ ἀνεβίω διὰ τῶν Γρηγορίου λόγων. Ὡς
δὲ τινῶν ἀληθῆ λέγειν ἰσχυριζομένων ἀκήκοα, ἐκκλη-
σιάζοντος τοῦ λαοῦ, γυνὴ ἐγκύμων ἀπὸ τῆς ὑπερῴου
στοᾶς καταπεσοῦσα, ἐνθάδε τέθνηκε· κοινῆς δὲ παρὰ
πάντων εὐχῆς ἐπ' αὐτῇ γενομένης ἀνέζησε, καὶ σὺν
τῷ βρέφει ἐσώθη· ὡς ἐπὶ παραδόξῳ δὲ θεόθεν
συμβάντι, ταύτην ἔλαχε τὴν προσηγορίαν ἐξ ἐκείνου
ὁ τόπος. Καὶ περὶ μὲν τούτου τοιοῦτος εἰσέτι νῦν
5 φέρεται λόγος. Ὁ δὲ βασιλεὺς πέμψας πρὸς Δη-
μόφιλον, ἐκέλευσεν αὐτὸν κατὰ τὸ δόγμα τῆς ἐν Νι-

illic percipiuntur utilitates. Etenim divina vis, tam vigilantibus, quam in somnis, manifestam ibi se exhibens, multis sæpenumero qui vel morbo, vel diversis casibus premebantur, suppetias tulit. Creditur autem hæc esse sacra virgo Maria Dei mater. Sic enim apparere solet. Porro hanc ecclesiam Anastasiam nominant, ob id, mea quidem sententia, quod Nicænæ synodi doctrina per potentiam hæreticorum oppressa jam, utque ita dicam, intermortua, Gregorii concionibus in eo loco suscitata revixerit. Sive, ut ex aliis audivi, qui se verum dicere asseverabant, eo quod dum populus collectus ibi celebraret, mulier quædam prægnans ex superiori porticu delapsa, illico expiravit. Facta autem ab omnibus oratione super ejus funere, confestim revixit, et una cum fœtu servata est. Ex miraculo igitur quod divinitus illic contigerat, locus hic deinceps appellationem istam sortitus est. Et hujus quidem rei talis causa exstitisse, multorum sermonibus etiamnum memoratur. Cæterum imperator per internuntios mandavit Demophilo, ut Nicæni concilii fidem sequeretur, ut populum ad con-

καίᾳ συνόδου θρησκεύειν, καὶ τὸν λαὸν εἰς ὁμόνοιαν
ἄγειν, ἢ τῶν ἐκκλησιῶν ὑποχωρεῖν. Ὁ δὲ, τὸ πλῆ-
θος συγκαλέσας, τὴν βασιλέως ἐδήλωσε γνώμην·
καὶ εἰς τὴν ὑστεραίαν πρὸ τῶν τειχῶν ἐκκλησιάζειν
προηγόρευσεν· ἐπεὶ θεῖος, ἔφη, ἐπιτάττει νόμος,
Ἐὰν ὑμᾶς διώκωσιν ἐκ τῆς πόλεως ταύτης, φεύ-
6 γετε εἰς τὴν ἄλλην. Τοιάδε προσειπὼν, ἐξ ἐκείνου
πρὸ τῆς πόλεως ἐκκλησίαζε· σὺν αὐτῷ δὲ καὶ Λού-
κιος, ὁ πάλαι πρὸς τῶν Ἀρείου τὴν Ἀλεξανδρέων
ἐκκλησίαν ἐπιτραπείς· ἐξελαθεὶς γὰρ, ὡς εἴρηται,
φυγὰς εἰς Κωνσταντινούπολιν ἐλθὼν, ἐνθάδε διέτρι-
7 βεν. Ἀπολιπόντων δὲ τὴν ἐκκλησίαν τῶν ἀμφὶ Δη-
μόφιλον, εἰσελθὼν ὁ βασιλεὺς ηὔξατο. Καὶ τὸ ἐξ
ἐκείνου, τοὺς εὐκτηρίους οἴκους κατέσχον οἱ Τριάδα
ὁμοούσιον πρεσβεύοντες. Ἔτος δὲ τοῦτο ἦν ἐν ᾧ
Γρατιανὸς τὸ πέμπτον, καὶ Θεοδόσιος τὸ πρῶτον 284
ὑπάτευον· τεσσαρακοστὸν δὲ, ἀφ' οὗ τῶν ἐκκλησιῶν A. D.
ἐκράτησαν οἱ ἀπὸ τῆς Ἀρείου αἱρέσεως. 380.

cordiam revocaret: sin minus, ecclesiis cederet. Qui statim convocata populi multitudine, præceptum imperatoris eis exposuit: et postridie extra urbem se collectas celebraturum pronuntiavit. Quandoquidem, inquit, divina lex jubet: Si vos persecuti fuerint ex hac urbe, fugite in aliam. Hæc cum dixisset, populum extra urbem deinceps collegit: et una cum illo Lucius, qui olim ab Arianis Alexandrinæ ecclesiæ episcopus fuerat constitutus. Inde enim expulsus, uti supra retulimus, cum fugisset Constantinopolim, in ea urbe morabatur. Cum igitur Demophilus una cum suis ecclesia abscessisset, imperator in eam ingressus, Deum oravit. Atque ex eo tempore hi qui Trinitatem consubstantialem profitebantur, ecclesias obtinuerunt. Annus autem hic erat, quo Gratianus quintum, et Theodosius primum consulatum gessere: ex quo vero Ariani ecclesias occupaverant, quadragesimus.

ΚΕΦ. ϛʹ.

Περὶ τῶν Ἀρειανῶν καὶ ἔτι καὶ τοῦ Εὐνομίου ἀκμάζοντος· καὶ περὶ τῆς εἰς βασιλέα παρρησίας τοῦ ἁγίου Ἀμφιλοχίου.

1 Ἔτι δὲ οὗτοι, πλῆθος ὄντες ἐκ τῆς Κωνσταντίου καὶ Οὐάλεντος ῥοπῆς, ἀδεέστερον συνιόντες, περὶ Θεοῦ καὶ οὐσίας αὐτοῦ δημοσίᾳ διελέγοντο· καὶ ἀποπειρᾶσθαι τοῦ βασιλέως ἔπειθον τοὺς ὁμόφρονας αὐτοῖς ἐν τοῖς βασιλείοις. Ἡγοῦντο γὰρ ἐπιτεύξεσθαι τῆς ἐπιχειρήσεως, τὰ ἐπὶ Κωνσταντίου συμβάντα
2 σκοποῦντες. Τοῦτο δὲ αὐτὸ καὶ τοῖς ἀπὸ τῆς καθολικῆς ἐκκλησίας φροντίδα καὶ φόβον ἐκίνει. Οὐχ ἥκιστα δὲ περιδεεῖς ἦσαν, λογιζόμενοι τὴν ἐν ταῖς διαλέξεσιν Εὐνομίου δεινότητα. Οὐ πρὸ πολλοῦ γὰρ οὗτος δι' ἣν ἔσχεν ἐν Κυζίκῳ διαφορὰν ἐπὶ τῆς Οὐάλεντος βασιλείας πρὸς τοὺς αὐτοῦ κληρικοὺς, ἀποσχίσας τῶν Ἀρείου καθ' ἑαυτὸν διῆγεν ἐν Βιθυνίᾳ, πέραν Κωνσταντινουπόλεως· καὶ πλῆθος ἐπεραιοῦτο πρὸς αὐτόν· οἱ δὲ καὶ ἄλλοθεν συνήεσαν· οἱ μὲν,
3 ἀποπειρώμενοι· οἱ δὲ, ὧν λέγει ἀκουσόμενοι. Φήμη

CAPUT VI.

De Arianis, et de Eunomio qui tum maxime florebat: et de sancti Amphilochii in loquendo libertate, qua erga imperatorem usus est.

Ariani tamen, cum adhuc multitudine abundarent ob Constantii ac Valentis imperatorum patrocinium, liberius in unum convenientes, de Deo deque ejus substantia disserebant: et fidei suæ fautoribus quos in palatio habebant, suaserunt ut imperatoris animum tentarent. Sperabant enim perfecturos se id quod conabantur, cum ea quæ principatu Constantii acciderant, considerarent. Id ipsum quoque metum ac sollicitudinem incutiebat catholicis. Quibus etiam non levis terror ex eo accesserat, quod perpendebant quanta vis esset Eunomii in disputando. Namque hic haud multo antea, ob simultatem quam cum clericis suis Cyzici habuerat Valentis Augusti temporibus, cum ab Arianis sese abrupisset, privatus in Bithynia degebat, ex adverso Constantinopolis: multique ad eum transfretabant. Nonnulli etiam aliunde confluebant, partim ut periculum ejus facerent, partim ut ea quæ

δὲ τούτων καὶ εἰς βασιλέα ἦλθε, καὶ συγγενέσθαι
αὐτῷ ἕτοιμος ἦν· ἀλλ' ἡ βασιλὶς Πλακίλλα ἐπέσχε,
σπουδῇ ἀντιβολοῦσα· πιστοτάτη γὰρ οὖσα φύλαξ
τοῦ δόγματος τῆς ἐν Νικαίᾳ συνόδου, ἔδεισε μὴ, ὡς
εἰκὸς, ἐν διαλέξει παραπεισθεὶς ὁ ἀνὴρ, μεταβάλοι εἰς
4 τὴν αὐτοῦ δόξαν. Ἔτι δὲ ἐφ' ἑκάτερα τῆς περὶ ταῦτα
σπουδῆς ἀκμαζούσης, λέγεται, τῶν ἐνδημούντων ἐπι-
σκόπων τῇ Κωνσταντινουπόλει[u] παραγενομένων εἰς
τὰ βασίλεια, οἷά γε εἰκὸς, ἀσπάσασθαι τὸν κρατοῦντα,
ὡς συνῆν αὐτοῖς πρεσβύτης τις, ἀσήμου πόλεως
ἱερεὺς, ἁπλοῦς καὶ πραγμάτων ἀτριβὴς, περὶ δὲ τὰ 285
5 θεῖα νοῦν ἔχων. Οἱ μὲν οὖν ἄλλοι γυμνῶς[x] μάλα καὶ
εὐσεβῶς τὸν βασιλέα ἠσπάσαντο· ὁμοίως δὲ τοῦτον
προσεῖπε καὶ ὁ πρεσβύτης ἱερεύς· τῷ δὲ τοῦ βασι-
λέως παιδὶ συγκαθεζομένῳ τῷ πατρὶ, τὴν ἴσην οὐκ
ἀπένειμε τιμήν· ἀλλὰ προσελθὼν, οἷάγε νηπίῳ, Χαῖρε
τέκνον, ἔφη, τῷ δακτύλῳ σαίνων· κινηθεὶς δὲ πρὸς

[u] Ita B. C. τῆς Κωνσταντινουπόλεως editt.

[x] Nicephorus pro hac voce, ἠπίως substituit. Ac Musculus *detectis capitibus* interpretatus est, pessime, ut apparet. VALESIUS.

dicebat audirent. Cujus rei fama cum ad imperatorem pervenisset, ipse quoque cum eo colloqui jam parabat. Verum imperatrix Flaccilla, impense eum obsecrans repressit. Quæ cum Nicænæ synodi doctrinam fidelissime conservaret, non sine causa verebatur, ne maritus in eo congressu seductus ab Eunomio, in sententiam ejus deflecteret. Dum hæc utrimque ingenti studio agitarentur episcopi qui Constantinopoli morabantur, palatium ingressi sunt, imperatorem, ut solet, salutaturi. Inter quos senex quidam fuisse dicitur, obscuræ urbis antistes: simplex quidem, nec in civilibus negotiis exercitatus: sed rerum divinarum intelligentia præditus. Ac cæteri quidem episcopi candide admodum ac pie imperatorem salutarunt. Pari modo senex quoque episcopus imperatorem salutavit. Imperatoris autem filium qui una cum patre residebat, haudquaquam simili honore prosecutus est: sed propius accedens, velut ad puerum: Salve, inquit, fili. Eumque digito de-

ὀργὴν ὁ βασιλεὺς, καὶ ὡς ἐπὶ ὑβρισμένῳ τῷ[y] παιδὶ
χαλεπαίνων, ὅτι μὴ τῆς ὁμοίας ἠξίωτο τιμῆς, ἐκβάλ-
6 λεσθαι τὸν πρεσβύτην ὑβριστικῶς ἐκέλευσεν. Ὁ δὲ
ὠστιζόμενος, ἐπιστραφεὶς εἶπεν· Οὕτω δὴ νόμισον, ὦ
βασιλεῦ, καὶ τὸν οὐράνιον Πατέρα ἀγανακτεῖν πρὸς
τοὺς ἀνομοίως τὸν Υἱὸν τιμῶντας, καὶ ἥττονα τολ-
μῶντας ἀποκαλεῖν τοῦ γεννήσαντος. Ἀγασθεὶς δὲ ἐπὶ
τῷ εἰρημένῳ ὁ βασιλεὺς, μετεκαλέσατο τὸν ἱερέα, καὶ
συγγνώμην ᾔτει, καὶ ἀληθῶς εἰρηκέναι συνωμολόγει.
7 Καὶ ἀσφαλέστερος γενόμενος, οὐ προσίετο τοὺς παρὰ
τοῦτο δοξάζοντας. Καὶ τὰς ἐπ' ἀγορᾶς ἔριδας καὶ
συνόδους ἀπηγόρευσε· καὶ διαλέγεσθαι τὸν αὐτὸν
τρόπον περὶ οὐσίας καὶ φύσεως Θεοῦ οὐκ ἀκίνδυνον
ἐποιεῖτο, νόμον θέμενος περὶ τούτου καὶ τιμωρίαν
ὁρίσας.

ΚΕΦ. Ζ'.

Περὶ τῆς δευτέρας ἁγίας οἰκουμενικῆς συνόδου, ὅθεν καὶ διὰ ποίαν αἰτίαν συνέστη. Καὶ περὶ τῆς παραιτήσεως Γρηγορίου τοῦ Θεολόγου.

1 Ἐν τάχει τε καὶ σύνοδον ἐπισκόπων ὁμοδόξων

[y] Ita J. τῷ om. ceteri.

mulcere cœpit. Tum vero imperator commotus, et tanquam ob injuriam filio factam indignatus, quod non pari, quo ipse, honore affectus fuisset, senem contumeliose expelli jussit. Qui dum exturbaretur, conversus dixit: Pari modo, imperator, cœlestem quoque Patrem succensere iis existima, qui Filium ipsius dispari cultu venerantur, et genitore suo minorem eum appellare non dubitant. Quod dictum miratus imperator, sacerdotem revocavit: veniamque ab eo petiit; veraque illum dixisse confessus est. Atque exinde cautior factus, eos qui aliter sentirent non admisit. Contentiones quoque et cœtus in foro fieri vetuit: utque de natura et substantia Dei solito more disputare haudquaquam tutum esset, effecit, lata lege, et pœna in eam rem constituta.

CAPUT VII.

De secunda universali synodo: unde et quam ob causam congregata sit. Et de spontanea abdicatione Gregorii Theologi.

Nec multo post, episcoporum communionis suæ synodum con-

αὐτῷ συνεκάλεσε, βεβαιότητός τε ἕνεκα[1] τῶν ἐν Νι-
καίᾳ δοξάντων, καὶ χειροτονίας τοῦ μέλλοντος ἐπι-
2 σκοπεῖν τὸν Κωνσταντινουπόλεως θρόνον. Ὑπολα-
βὼν δὲ δύνασθαι συνάψαι τῇ καθόλου ἐκκλησίᾳ τοὺς
καλουμένους Μακεδονιανοὺς, ὡς μὴ περὶ μέγα τι δια-
φερομένους ἐν τῇ κατὰ τὸ δόγμα ζητήσει, συνεκάλεσε
καὶ τούτους. Συνῆλθον οὖν, ἐκ μὲν τῶν ὁμοούσιον
τὴν Τριάδα δοξαζόντων, ἀμφὶ ἑκατὸν καὶ πεντήκοντα·
τῶν δὲ ἀπὸ τῆς Μακεδονίου αἱρέσεως, ἓξ καὶ τριά-
κοντα, ὧν οἱ πλείους ἐτύγχανον ἐκ τῶν περὶ τὸν Ἑλ-
3 λήσποντον πόλεων. Ἡγοῦντο δὲ τούτων Ἐλεύσιος
ὁ Κυζίκου, καὶ Μαρκιανὸς ὁ Λαμψάκου· τῶν δὲ ἄλ-
λων Τιμόθεος, ὁ τῶν Ἀλεξανδρέων διέπων θρόνον,
οὐ πρὸ πολλοῦ τετελευτηκότα Πέτρον, ἀδελφὸν ὄντα
αὐτοῦ, διαδεξάμενος· καὶ Μελέτιος ὁ Ἀντιοχείας ἐπί-
σκοπος, ἤδη πρῴην εἰς Κωνσταντινούπολιν διὰ τὴν
Γρηγορίου κατάστασιν ἀφικόμενος· καὶ Κύριλλος ὁ
Ἱεροσολύμων, μεταμεληθεὶς τότε, ὅτι πρότερον τὰ
4 Μακεδονίου ἐφρόνει. Σὺν τούτοις δὲ ἦσαν, Ἀσχό-

[1] ἕνεκεν B.

vocavit: tum ut Nicæni concilii decreta confirmarentur, tum ut Constantinopolitanæ sedis episcopus constitueretur. Cumque existimaret eos qui Macedoniani dicuntur, ecclesiæ catholicæ facile adjungi posse, quippe qui in doctrina fidei non magnopere dissiderent, hos etiam cum cæteris evocavit. Ex iis igitur qui Trinitatem consubstantialem profitebantur, convenerunt centum circiter et quinquaginta. Ex Macedonianis vero, sex et triginta: quorum plerique erant ex civitatibus circa Hellespontum sitis. Præerant autem istis Eleusius Cyzicenus, et Marcianus Lampsacenus. Cæteris vero Timotheus Alexandrinæ sedis antistes præsidebat, qui paulo antea Petro fratri suo ex hac luce sublato, in episcopatu successerat: et cum eo Meletius episcopus Antiochiæ, qui non ita dudum ordinationis Gregorii causa Constantinopolim advenerat: et Cyrillus episcopus Hierosolymorum, pœnitentia tum ductus quod opinioni Macedonii antehac adhæsisset. Aderant una cum istis Ascholius Thessalonicæ, Diodorus Tarsi, et Acacius

λιός[a] τε ὁ Θεσσαλονίκης, καὶ Διόδωρος ὁ Ταρσοῦ,
καὶ Ἀκάκιος ὁ Βεροίας· οἳ δὴ πάντες ἐπαινέται 286
τυγχάνοντες τῆς ἐν Νικαίᾳ βεβαιωθείσης γραφῆς,
ἐδέοντο σφίσιν ὁμογνώμονας γενέσθαι τοὺς ἀμφὶ
Ἐλεύσιον, ἀναμιμνήσκοντες ὧν τε πρὸς Λιβέριον
ἐπρεσβεύσαντο καὶ ὡμολόγησαν διὰ Εὐσταθίου, καὶ
5 Σιλβανοῦ, καὶ Θεοφίλου, ὡς εἴρηται. Ἀλλὰ οἱ μὲν,
μήποτε ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν δοξάζειν ἀναφανδὸν εἰπόντες, εἰ καὶ ἐναντία ταῖς πρὸς Λιβέριον
ὁμολογίαις ἐροῦσιν[b], ἀπεδήμησαν· καὶ τοῖς κατὰ
πόλιν ὁμοφρονοῦσιν ἔγραψαν, μὴ συνθέσθαι τοῖς ἐν
6 Νικαίᾳ δεδογμένοις. Οἱ δὲ ἐν Κωνσταντινουπόλει
προσμείναντες, ἐβουλεύσαντο τίνι δέοι ἐπιτρέψαι τὴν ἐνθάδε καθέδραν. Λέγεται γὰρ, τὸν βασιλέα μὲν θαυμάζοντα βίου καὶ τῶν λόγων Γρηγόριον, ἄξιον ψηφίσασθαι ταύτης τῆς ἐπισκοπῆς· συναινέσαι δὲ καὶ τοὺς πλείους τῆς συνόδου, αἰδοῖ τῆς αὐτοῦ ἀρε-

a Ἀχόλιος B.

b Pro ἐροῦσι Nicephorus εἶπον. Et hanc lectionem secuti videntur interpretes. Nos tamen vulgatam scripturam minime rejiciendam putamus. VALESIUS.

Berœæ episcopus. Qui quidem omnes cum fidei formulam in concilio Nicæno conscriptam approbarent, ab his qui cum Eleusio erant contenderunt, ut cum ipsis consentire vellent: revocantes illis in memoriam legationem quam ad Liberium miserant, et sponsionem quam eidem fecerant per Eustathium, Silvanum ac Theophilum, sicut antea dictum est. Verum illi cum diserte affirmassent, numquam se consubstantialem Patri Filium asserturos esse, etiamsi contraria iis quæ Liberio polliciti fuerant dicturi essent, discesserunt. Et ad eos qui in singulis urbibus opinioni ipsorum adhærebant, literas scripserunt, ne decretis Nicænæ synodi consentirent. Reliqui vero episcopi qui Constantinopoli remanserant, inter se consultarunt, cuinam potissimum episcopatus ejus urbis committeretur. Etenim aiunt, imperatorem quidem, cum Gregorium ob vitam atque doctrinam magnopere miraretur, eum hoc pontificatu dignum censuisse: et plerosque ex episcopis qui concilio intererant, præ reverentia qua Gregorii virtutum pro-

της· τὸν δὲ, τὰ μὲν πρῶτα ἑλέσθαι προστατεῖν τῆς
Κωνσταντινουπόλεως *ἐκκλησίας· αἰσθόμενον δέ τινας*
ἀντερεῖν, καὶ μάλιστα τοὺς ἐξ Αἰγύπτου, *παραιτή-*
7 *σασθαι.* Καί *μοι*[c] *τόνδε σοφώτατον ἄνδρα πάντων*
ἕνεκεν, οὐχ ἥκιστα δὲ τοῦ παρόντος θαυμάζεσθαι·
οὔτε γὰρ ὑπὸ εὐγλωττίας ἐνεπλήσθη τύφου, οὔτε
ὑπὸ κενῆς δόξης εἰς ἐπιθυμίαν ἦλθεν ἡγεῖσθαι τῆς
ἐκκλησίας, ἣν παρέλαβε μηκέτι εἶναι κινδυνεύουσαν.
8 Ἀπαιτοῦσι *δὲ τοῖς ἐπισκόποις τὴν παρακαταθήκην*
ἀπέδωκεν, οὐ τοὺς πολλοὺς ἱδρῶτας μεμψάμενος, ἢ
τοὺς κινδύνους οὓς ὑπέστη πρὸς τὰς αἱρέσεις ζυγο-
μαχῶν· καίτοιγε τὸ λυποῦν οὐδὲν ἦν, μηδενὸς ὄντος,
μένειν αὐτὸν Κωνσταντινουπόλεως *ἐπίσκοπον· ἤδη*
γὰρ καὶ Ναζιανζοῦ *ἕτερος ἐπίσκοπος κεχειροτόνητο.*
Ἀλλ' *ὅμως ἡ σύνοδος, καὶ*[d] *τοὺς πατρίους νόμους καὶ*
τὴν ἐκκλησιαστικὴν τάξιν φυλάττουσα, ὃ δέδωκε,

[c] Verbum ex Nicephoro [xii. 11.] supple; *καί μοι ἔπεισι.* VALESIUS. At vero oportebat tunc legi *θαυμάζειν*, quemadmodum scribit Nicephorus hoc loco, et Sozomenus paullo supra. Fortasse in *θαυμάζεσθαι* latet aliquid, quod hiatum supplere posset: sicut, *θαυμάζειν πάρα.*

[d] *καὶ*, et mox *νόμους*, om. B. Steph. Genev. inserunt Christ. Curt. Scal. Vales.

sequebantur, imperatoris judicium comprobasse. Ipsum vero Gregorium, initio quidem Constantinopolitanæ ecclesiæ administrationem non invitum suscepisse; postea vero cum quosdam antistites, ac præcipue Ægyptios refragari intelligeret, eam recusasse. Ac mihi quidem sapientissimum hunc virum, tum ob alia multa, tum maxime in hoc negotio mirari subit. Nam neque fastu elatus propter facundiam; nec inanis gloriæ studio ei ecclesiæ præsidere concupivit, quam pene extinctam ac mortuam ipse regendam susceperat. Sed reposcentibus episcopis depositum reddidit, nihil de multis laboribus suis conquestus, nihil de periculis quæ adversus hæreses decertans subierat. Atqui nulli grave futurum erat, si ipse Constantinopolis episcopus remaneret, cum nullus ibi esset alius. Jam enim Nazianzi alter episcopus fuerat ordinatus. Nihilominus tamen sancta synodus leges majorum, et ecclesiæ disciplinam studiose servans, id quod dederat, a volente

παρ' ἑκόντος ἀπείληφε, μηδὲν αἰδεσθεῖσα τῶν τοῦ
9 ἀνδρὸς πλεονεκτημάτων. Ὡς ἐπὶ μεγίστῳ δὲ πεφρον- 287
τισμένης[e] βουλῆς τῷ βασιλεῖ καὶ τοῖς ἱερεῦσιν οὔσης, παρεγγυωμένου τε τοῦ κρατοῦντος ἀκριβῆ ποιήσασθαι βάσανον, ὅπως ὅτι μάλιστα καλός τε καὶ ἀγαθὸς εὑρεθείη, ᾧ δεήσει πιστεῦσαι τῆς μεγίστης καὶ βασιλευούσης πόλεως τὴν ἀρχιερωσύνην, οὐ τὴν αὐτὴν γνώμην εἶχεν ἡ σύνοδος· ἕκαστοι δέ τινα τῶν αὐτοῖς ἐπιτηδείων ἠξίουν χειροτονεῖν.

ΚΕΦ. Η'.

Περὶ τῆς προχειρίσεως Νεκταρίου εἰς τὸν Κωνσταντινουπόλεως θρόνον, καὶ ὅθεν ἦν, καὶ οἷος τὸν τρόπον.

1 Ἐν τούτῳ δὲ Νεκτάριός τις Ταρσεὺς τῆς Κιλικίας, τοῦ λαμπροτάτου τάγματος τῆς συγκλήτου, ἐν Κωνσταντινουπόλει διέτριβεν. Ἤδη δὲ παρεσκευασμένος εἰς τὴν πατρίδα ἀπιέναι, παραγίνεται πρὸς Διόδωρον τὸν Ταρσοῦ ἐπίσκοπον, εἴγε βούλοιτο γράφειν ἐπι-
2 στολὰς κομισόμενος. Ἔτυχε δὲ τότε διανοούμενος καθ' ἑαυτὸν ὁ Διόδωρος, τίνα χρὴ προβαλέσθαι εἰς

[e] πεφορτισμένης C.

recepit, eximias ejus viri dotes haudquaquam reverita. Porro cum imperator et episcopi tanquam de re maximi momenti consultantes, admodum anxii sollicitique essent; et imperator ipse cohortaretur, ut diligens inquisitio fieret optimi atque integerrimi viri, cui amplissimæ ac regiæ civitatis sacerdotium committeretur: synodi tamen episcoporum nequaquam idem studium fuit. Singuli enim aliquem ex necessariis suis ordinare cupiebant.

CAPUT VIII.

De electione Nectarii episcopi Constantinopolitani: quis et unde, et quibus moribus fuerit.

Eo tempore Nectarius quidam Tarso Ciliciæ oriundus, vir senatorii ordinis, Constantinopoli degebat. Qui cum in patriam reverti jam pararet, adiit Diodorum episcopum Tarsi, velut laturus epistolas, si quas ille Tarsum scribere voluisset. Forte tum Diodorus secum ipse tacitus agitabat, quisnam potissimum eligendus

*τὴν σπουδαζομένην χειροτονίαν. Καὶ ἰδὼν εἰς Νεκτά-
ριον, ἄξιον εἶναι τῆς ἐπισκοπῆς ἐνόμισε· καὶ κατὰ
νοῦν εὐθὺς αὐτῷ προσετέθη, πολιάν τ' ἀνδρὸς καὶ
εἶδος ἱεροπρεπὲς καὶ τὸ προσηνὲς τῶν τρόπων λογι-
3 σάμενος[f]. Καὶ ὡς ἐπ' ἄλλο τι ἀγαγὼν αὐτὸν παρὰ
τὸν Ἀντιοχείας ἐπίσκοπον, ἐπῄνει, καὶ σπουδάζειν
αὐτῷ παρεκάλει. Ὁ δὲ, ἐπὶ μεμεριμνημένῳ πράγματι,
πολλῶν ἐπισημοτάτων ἀνδρῶν ὑποψήφων ὄντων, ἐγέ-
λασε τὴν Διοδώρου ψῆφον· ὅμως δὲ πρὸς[g] ἑαυτὸν
καλέσας Νεκτάριον, περιμένειν βραχύν τινα χρόνον
4 ἐκέλευσεν. Οὐκ εἰς μακρὰν δὲ προστάξαντος τοῦ
βασιλέως τοῖς ἱερεῦσιν, ἐγγράψαι χάρτῃ τὰς προση-
γορίας ὧν ἕκαστοι δοκιμάζουσιν εἰς τὴν χειροτονίαν
ἀξίων, ἑαυτῷ δὲ φυλάξαντος ἐκ πάντων τοῦ ἑνὸς τὴν
αἵρεσιν, ἄλλοι μὲν ἄλλους ἐνέγραψαν, ὁ δὲ τῆς
Ἀντιοχέων ἐκκλησίας ἡγούμενος, ἐγγράφει μὲν οὓς
ἐβούλετο· ἔσχατον δὲ πάντων προστίθησι Νεκτάριον
5 διὰ τὴν πρὸς Διόδωρον χάριν. Ἀναγνοὺς δὲ ὁ βα-*

[f] Ita C. λογισάμενος om. ceteri. Valesius monuerat, esse "addendum omnino verbum ὁρῶν, aut aliud simile:" ὁρῶν habet Nicephor.

[g] ὁ δὲ πρὸς J. Christ. Scal.

esset ad eam ordinationem, quæ tanta ambitione celebrabatur. Qui Nectarium conspicatus, eum episcopatu dignum esse censuit. Statimque in intimo mentis recessu suffragium suum ei contulit; canitiem viri, vultumque sacerdotio dignum, et morum suavitatem considerans. Itaque tanquam alterius negotii causa, eum ad episcopum Antiochensem deduxit; multisque laudibus prosecutus, oravit episcopum ut illum suffragio suo adjuvaret. Ille vero in tanti momenti negotio, ubi multi illustres viri eligendi proponebantur, Diodori suffragium derisit. Nihilominus evocatum ad se Nectarium, aliquantulum temporis opperiri jussit. Haud multo post, cum imperator mandasset episcopis, ut nomina eorum quos quisque episcopatu dignos judicaret, in charta perscriberent, unumque ex omnibus eligendi facultatem sibi ipse reservasset, alii quidem aliorum nomina perscripserunt. Antiochensis autem ecclesiæ antistes scripsit et ipse eos quos voluit: omnium tamen postremum adjecit Nectarium in gratiam Diodori. Imperator igitur

σιλεὺς τῶν ἐγγραφέντων τὸν κατάλογον, ἔστη ἐπὶ Νεκταρίῳ. Καὶ σύννους γενόμενος, σχολῇ καθ' ἑαυτὸν ἐβουλεύετο, τὸν δάκτυλον ἐπιθεὶς τῇ τελευταίᾳ γραφῇ. Καὶ ἀναδραμὼν εἰς τὴν ἀρχὴν, αὖθις πάντας
6 ἐπανῆλθε, καὶ Νεκτάριον αἱρεῖται. Θαῦμα δὲ πᾶσιν ἐγένετο· καὶ ἐπυνθάνοντο ὅστις εἴη Νεκτάριος οὗτος, καὶ ποδαπὸς τὸ ἐπιτήδευμα, καὶ πόθεν. Μαθόντες δὲ μηδὲ μυστηρίων μετεσχηκέναι τὸν ἄνδρα, ἔτι μᾶλλον ἐθαύμαζον τὸ παράδοξον τῆς τοῦ βασιλέως κρίσεως. Ἠγνόει δὲ τοῦτο, οἶμαι, καὶ Διόδωρος· οὐ γὰρ ἂν ἐθάρρησεν εἰδὼς, ἔτι ἀμυήτῳ δοῦναι ψῆφον ἱερωσύνης· ἀλλ' οἷα εἰκὸς, νομίσας πολιὸν ὄντα μὴ[h] καὶ
7 πάλαι μεμυῆσθαι. Οὐκ ἀθεεὶ δὲ ταῦτα συνέβαινεν· 288
ἐπεὶ καὶ βασιλεὺς ἀμύητον αὐτὸν εἶναι μαθὼν, ἐπὶ τῆς αὐτῆς ἔμεινε γνώμης, πολλῶν ἱερέων ἀντιτεινόντων. Ἐπεὶ δὲ πάντες εἶξαν, καὶ τῇ ψήφῳ τοῦ κρατοῦντος συνέβησαν, ἐμυήθη. Καὶ τὴν μυστικὴν

[h] Savilius negativam particulam e suo codice expunxit. Mihi tamen elegantius videtur, si legamus ἤδη καὶ πάλαι etc. Forte etiam corrigendum est initium hujus periodi hoc modo: ἀλλ' ἴσως νομίσας ἦν, etc. VALESIUS. μὴ om. Nicephor.

perlecto indiculo eorum qui inscripti fuerant, substitit in Nectario. Et intenta mentis acie, secum ipse consultabat, digito in postremum vocabulum impresso. Rursusque ad caput reversus, cum cunctos ordine percurrisset, Nectarium eligit. Tum vero admiratio omnes invasit: quærebantque, quis et unde esset Nectarius ille, et quod vitæ genus sectaretur. Cumque didicissent ne sacro quidem lavacro eum initiatum esse, inopinatum principis judicium eo amplius mirabantur. Ignorabat autem istud, ut opinor, etiam Diodorus. Neque enim si id sciisset, ausus esset unquam viro nondum initiato sacerdotii suffragium dare. Sed, ut verisimile est, virum jam canum pridem baptizatum fuisse existimabat. Verum hæc non sine Dei nutu evenere. Siquidem imperator, postquam eum baptismi expertem esse intellexisset, in eadem sententia permansit, multis licet episcopis refragantibus. Postquam vero universi cesserunt, et imperatoris sententiam suffragio suo comprobarunt, baptizatus est: et adhuc neophyti vestem indutus,

ἐσθῆτα ἔτι ἠμφιεσμένος, κοινῇ ψήφῳ τῆς συνόδου 8 ἀναγορεύεται Κωνσταντινουπόλεως ἐπίσκοπος. Ταῦτα δὲ οὕτω γενέσθαι πολλοῖς πεπίστευται[i], τοῦ Θεοῦ χρηματίσαντος τῷ βασιλεῖ· οὐκ ἀκριβῶ δὲ τοῦτο, πότερον ἀληθὲς, ἢ οὔ· πείθομαί γε μὴν, οὐκ ἐκτὸς θείας ῥοπῆς ἐπιτελεσθῆναι τὸ συμβὰν, καὶ εἰς τὸ παράδοξον τῆς χειροτονίας ἀφορῶν, καὶ ἐκ τῶν μετὰ ταῦτα σκοπῶν, ὡς ἐπὶ πρᾳότατον καὶ ἀγαθὸν καὶ καλὸν ταυτηνὶ τὴν ἱερωσύνην ὁ Θεὸς ἤγαγε. Καὶ τὰ μὲν ἀμφὶ τὴν Νεκταρίου χειροτονίαν ὧδε ἔσχεν, ὡς ἐπυθόμην.

ΚΕΦ. Θ'.

Περὶ ὧν ἡ δευτέρα οἰκουμενικὴ ἐθέσπισε σύνοδος· καὶ περὶ Μαξίμου τοῦ Κυνικοῦ φιλοσόφου.

1 Μετὰ δὲ ταῦτα συνελθόντες αὐτός τε Νεκτάριος καὶ οἱ ἄλλοι ἱερεῖς, ἐψηφίσαντο τῆς ἐν Νικαίᾳ συνόδου κυρίαν μένειν[k] τὴν πίστιν, καὶ πᾶσαν αἵρεσιν

[i] πεπίστευτο, et mox χρήσαντος, B. Steph. Genev. χρήσαντος quoque Niceph. mutavit tacite Valesius, nescio quo auctore: nihil aliud tamen indicat collator in C. et J.

[k] βεβαίαν μένειν B. Steph. Genev. tacite mutavit Vales.

communi totius concilii calculo episcopus Constantinopolis renuntiatur. Multi porro crediderunt hæc ita ab imperatore gesta esse, Deo id illi mandante ac præcipiente. Sed utrum id verum sit, necne, certo equidem affirmare non possum. Mihi tamen ipse persuaserim, non sine Divina providentia id actum esse, dum et ordinationis illius miraculum considero, et ex iis quæ consecuta sunt animadverto, Deum mansuetissimo et optimo atque honestissimo viro hunc episcopatum conferre voluisse. Et hæc quidem in ordinatione Nectarii ita gesta sunt, ut auditione accepi.

CAPUT IX.

De his quæ in secunda universali synodo decreta sunt. Et de Maximo Cynico philosopho.

Post hæc tam Nectarius ipse, quam reliqui episcopi, in unum convenientes, decreverunt ut Nicæni concilii fides rata permaneret, universæ autem hæreses anathemate damnarentur: utque

ἀποκεκηρύχθαι· διοικεῖσθαι δὲ τὰς πανταχοῦ[1] ἐκκλη-
σίας κατὰ τοὺς πάλαι κανόνας· καὶ τοὺς ἐπισκόπους
ἐπὶ τῶν ἰδίων μένειν ἐκκλησιῶν, καὶ μὴ εἰκῇ ταῖς
ὑπερορίαις ἐπιβαίνειν, μήτε ἀκλήτοις[m] χειροτονίαις
μηδὲν αὐτοῖς προσηκούσαις σφᾶς ἐπιβάλλειν, καθὸ[n]
πρότερον, ὡς ἔτυχε διωκομένης τῆς καθόλου ἐκκλη-
2 σίας, πολλάκις συνέβη. Τὰ δὲ παρ' ἑκάστην συμ-
βαίνοντα, τὴν τοῦ ἔθνους σύνοδον, ὡς ἂν ἄριστα
φανείη, διοικεῖν τε καὶ πράττειν. Μετὰ δὲ τὸν Ῥώ-
μης, τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον τὰ πρεσβεῖα
ἔχειν, ὡς νέας Ῥώμης τὸν θρόνον ἐπιτροπεύοντα.
3 Ἤδη γὰρ οὐ μόνον εἶχε ταύτην τὴν προσηγορίαν ἡ
πόλις, καὶ γερουσίᾳ καὶ τάγμασι[o] δήμων καὶ ἀρχαῖς
ὁμοίως ἐχρῆτο· ἀλλὰ καὶ τὰ συμβόλαια[p] κατὰ τὰ
νόμιμα τῶν ἐν Ἰταλίᾳ Ῥωμαίων ἐκρίνετο, καὶ τὰ δί- 289

[1] πανταχοῦ B. Curt. πανταχῇ Christoph. Vales. πάντων Steph. Genev.

[m] Scribendum est ἀκλήτους ex Nicephoro, et ex Canone secundo concilii Constantinopolitani, qui sic habet: ἀκλήτους δὲ ἐπισκόπους ὑπὲρ διοίκησιν, μὴ ἐπιβαίνειν ἐπὶ χειροτονίᾳ ἢ τισὶν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς. VALESIUS.

[n] καθὰ C.

[o] τάγματι in correctione B. τάγματι Steph. Genev. πράγμασι Christ.

[p] Hujus loci emendatio debetur codici Fuketiano. Prius enim legebatur τὰ σύμβολα, quemadmodum legit etiam Nicephorus. Et Musculus quidem Græcam vocem in versione sua retinuit, ut interdum facere solet. VALESIUS. Ita B. Vide Annott.

omnes ubique locorum ecclesiæ, ex præscripto veterum canonum regerentur; et ut episcopi in propriis manerent ecclesiis, nec temere in extraneas pedem inferrent: neve ordinationibus nihil ad se pertinentibus invocati sese ingererent, sicut antea sæpe contigerat, dum ecclesia catholica persecutionibus vexaretur. Ea vero quæ in singulis provinciis contigissent, synodus cujusque provinciæ pro arbitrio suo ordinaret et constitueret. Præterea ut post episcopum urbis Romæ, Constantinopolitanus habeat honoris prærogativam, utpote qui junioris Romæ episcopatum administret. Jamtum enim urbs illa, non solum hanc appellationem meruerat, et senatum et ordines populi, ac magistratus similiter habebat: verum etiam contractus civium ejus urbis, juxta leges Romanorum

4 *καια καὶ τὰ γέρα περὶ πάντα ἑκατέρᾳ ἰσάζετο. Μάξι-*
μον δὲ μήτε γεγενῆσθαι ἢ εἶναι ἐπίσκοπον, μήτε
κληρικοὺς, τοὺς παρ᾽ αὐτοῦ χειροτονηθέντας· καὶ τὰ
ἐπ᾽ αὐτῷ ἢ παρ᾽ αὐτοῦ πεπραγμένα, ἄκυρα ἐψηφί-
σαντο. Τοῦτον γὰρ Ἀλεξανδρέα τὸ γένος ὄντα, Κυ-
νικόν τε φιλόσοφον τὸ ἐπιτήδευμα, σπουδαῖον δὲ περὶ
τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου, κλέψαντες τὴν χει-
ροτονίαν, ἐπίσκοπον Κωνσταντινουπόλεως κατέστη-
5 *σαν οἱ τότε ἐξ Αἰγύπτου συνεληλυθότες. Καὶ τὰ*
μὲν ὧδε τῇ συνόδῳ ἔδοξε· καὶ ὁ βασιλεὺς ἐπεψηφί-
σατο· καὶ νόμον ἔθετο, κυρίαν εἶναι τὴν πίστιν τῶν
ἐν Νικαίᾳ συνεληλυθότων· παραδοθῆναί τε τὰς παν-
ταχοῦ[q] *ἐκκλησίας τοῖς ἐν ὑποστάσει τριῶν προσώπων*
ἰσοτίμων καὶ ἰσοδυνάμων μίαν καὶ τὴν αὐτὴν ὁμολο-
γοῦσι θεότητα, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύμα-
6 *τος· τούτους δὲ εἶναι τοὺς κοινωνοῦντας Νεκταρίῳ*
ἐν Κωνσταντινουπόλει· ἐν Αἰγύπτῳ δὲ Τιμοθέῳ τῷ
ἐπισκόπῳ Ἀλεξανδρείας· ἐν δὲ ταῖς ἀνὰ τὴν ἕω ἐκ-

q Ita B. Curt. *πανταχῇ* Christ. Vales.

qui in Italia sunt judicabantur: juraque omnia et privilegia æqualia seniori Romæ possidebat. Maximum item nec esse, nec fuisse umquam episcopum decreverunt; nec clericos, eos qui ab illo ordinati fuissent. Cuncta denique quæ sub illo, aut ab illo acta fuissent, irrita esse statuerunt. Namque hunc, Alexandrinum quidem genere, professione vero philosophum Cynicæ sectæ; cæterum Nicænæ fidei defensorem acerrimum, episcopi qui ex Ægypto advenerant, furtiva ordinatione episcopum Constantinopolitanæ urbis sacraverant. Et hæc quidem a synodo constituta sunt in hunc modum: imperator vero ea suffragio suo comprobavit: legemque tulit ut fides eorum qui Nicææ olim convenerant, rata esset: utque omnibus in locis ecclesiæ iis traderentur, qui in trium personarum subsistentia, honore ac potestate æqualium, unam eandemque Deitatem confiterentur Patris ac Filii et Spiritus sancti. Hos autem esse definivit, qui Constantinopoli quidem communicarent cum Nectario: in Ægypto vero cum Timotheo episcopo Alexandriæ: in Orientis autem provinciis eos qui com-

κλησίαις, Διοδώρῳ τῷ Ταρσοῦ, καὶ Πελαγίῳ τῷ 290
ἐπισκόπῳ Λαοδικείας τῆς Σύρων· παρὰ δὲ Ἀσιανοῖς Ἀμφιλοχίῳ τῷ προϊσταμένῳ τῆς ἐν Ἰκονίῳ ἐκκλησίας· ἐν δὲ ταῖς παρὰ τὸν Πόντον [r] πόλεσιν, ἀπὸ Βιθυνῶν μέχρις Ἀρμενίων, Ἑλλαδίῳ τῷ Καισαρείας τῆς Καππαδοκῶν ἐκκλησίας ἐπισκόπῳ, καὶ Γρηγορίῳ τῷ Νύσσης, καὶ Ὀτρηΐνῳ [s] τῷ Μελιτίνης· ἐν δὲ ταῖς περὶ Θρᾴκην καὶ Σκυθίαν πόλεσι, Τερεντίῳ τῷ Το-
7 μέων, καὶ Μαρτυρίῳ τῷ Μαρκιανουπόλεως. Τούτους γὰρ καὶ βασιλεὺς αὐτὸς ἐπῄνεσεν ἰδὼν καὶ συγγενόμενος· καὶ δόξα ἀγαθὴ περὶ αὐτῶν ἐκράτει, ὡς τὰς ἐκκλησίας εὐσεβῶς ἀγόντων. Ἐπεὶ δὲ τάδε ἐγένετο, καὶ ἡ σύνοδος τέλος ἔσχεν, οἱ μὲν ἄλλοι ἕκαστος οἴκαδε ἐπανῆλθον.

ΚΕΦ. Ι'.

Περὶ Μαρτυρίου τοῦ Κίλικος, καὶ περὶ τῆς ἀνακομιδῆς τῶν λειψάνων τῶν ἁγίων Παύλου τοῦ ὁμολογητοῦ, καὶ Μελετίου Ἀντιοχείας.

1 Νεκτάριος δὲ, ὑπὸ διδασκάλῳ Κυριακῷ τῷ ἐπι-

[r] περὶ Πόντον J. Scal. περὶ τὸν H. Christ.

[s] Scribendum est Ὀτρηΐῳ, ut scribitur in lege tertia codice Theodosiano de fide catholica, quam legem hic designat Sozomenus. VALESIUS. Ὀτρήϊος vocatur a Socrate.

municarent cum Diodoro episcopo Tarsi, et Pelagio episcopo Laodiceæ in Syria: in Asiana autem diœcesi cum Amphilochio Iconiensis ecclesiæ antistite: in Pontica vero diœcesi, a Bithynis usque ad Armenios, eos qui communione juncti essent cum Helladio Cæsareæ Cappadocum episcopo, et Gregorio Nysæ, et Otreio Melitinæ: in urbibus denique Thraciæ ac Scythiæ, eos qui cum Terentio Tomitano, et Martyrio Marcianopolis episcopo communicarent. Istos enim tum imperator ipse approbavit, cum eos vidisset et allocutus esset: tum egregia de illis constabat fama, quod ecclesias suas sanctissime gubernarent. His peractis, finitoque concilio, cæteri quidem episcopi ad suas quisque sedes rediere.

CAPUT X.

De Martyrio Cilice. Et de translatione reliquiarum Pauli confessoris, et Meletii Antiocheni.

Nectarius vero, Cyriaco Adanorum episcopo præceptore usus,

σκόπῳ Ἀδάνων, τὴν ἱερατικὴν τάξιν ἐμάνθανε· τοῦτον γὰρ αὐτῷ συγγενέσθαι ἐπί τινα χρόνον, ᾔτησε Διόδωρον τὸν Ταρσέων ἐπίσκοπον. Προὐτρέψατο δὲ καὶ πολλοὺς ἄλλους Κίλικας αὐτῷ συνεῖναι, καὶ Μαρτύριον, ὃν ἐπιτήδειον ἰατρὸν ἔχων καὶ συνίστορα τῶν ἐν νεότητι ἡμαρτημένων αὐτῷ, διάκονον χειροτονεῖν
2 ἐβουλεύετο. Οὐ μὴν ἠνέσχετο Μαρτύριος, ἀνάξιον αὐτὸν εἶναι θείας διακονίας ἰσχυριζόμενος, καὶ τῶν αὐτῷ βεβιωμένων αὐτὸν Νεκτάριον μάρτυρα ποιούμενος. Καὶ ὁ Νεκτάριος, Ἦ οὐκ ἐγὼ[t], ἔφη, ὁ νῦν ἱερεὺς, ἀμελέστερόν σου πολλῷ τὸν προτοῦ διετέθην βίον, ὡς καὶ αὐτὸς μαρτυρεῖς, πολλάκις διακονησά-
3 μενος ταῖς πολλαῖς ἐμαῖς ἀκολασίαις; Ὁ δὲ, Ἀλλὰ σὺ, ὦ μακάριε, ὑπολαβὼν ἔφη, ἔναγχος βαπτισθεὶς κεκάθαρσαι, καὶ ἐπὶ τούτῳ ἱερωσύνης ἠξίωσαι· ἀμφότερα δὲ καθάρσια ἁμαρτημάτων τὸ θεῖον ἐνομοθέτησε· καί μοι δοκῶ, οὐδὲν διαφέρεις τῶν ἀρτιτόκων βρεφῶν· ἐγὼ δὲ πάλαι τῆς θείας βαπτίσεως μετασχὼν, τῇ αὐτῇ διετέλεσα βιοτῇ χρώμενος. Καὶ ὁ

[t] ἀγὼ B.

sacerdotale officium condidicit. Diodorum enim Tarsensem episcopum rogaverat, ut iste aliquamdiu secum maneret. Sed et alios multos Cilicas pellexit ut secum morarentur, atque inter cæteros Martyrium. Quem cum familiarem haberet ac medicum, et omnium quæ in juventute deliquerat conscium, diaconum ordinare cogitabat. Sed Martyrius nequaquam id fieri passus est, indignum se divino ministerio esse affirmans, ipsumque Nectarium anteactæ vitæ suæ testem esse jubens. Cui Nectarius: An non ego, inquit, qui nunc sacerdos sum, meam retro vitam multo quam tu negligentius traduxi, sicut tu ipse testari potes, qui intemperantiæ meæ sæpius ministrasti? Ille subjiciens: At tu, inquit, o beate, percepto recens baptismo mundatus es, et post baptismum sacerdotium accepisti. Horum vero utrumque ad expianda peccata, lege divina constitutum est. Ac mihi quidem videris ipse ab infantibus recens natis nil differre. Ego vero qui jam pridem sacrum baptismum consecutus sum, in eadem qua prius vivendi

μὲν τοιάδε λέγων, οὐχ ὑπέστη τὴν χειροτονίαν. Ἐγὼ
δὲ καὶ τῆς παραιτήσεως ἐπαινῶ τὸν ἄνδρα, καὶ διὰ
τοῦτο μέρος ἐποιησάμην αὐτὸν ταύτης τῆς γραφῆς.
4 Ὁ δὲ βασιλεὺς μαθὼν τὰ συμβάντα Παύλῳ τῷ
Κωνσταντινουπόλεως ἐπισκόπῳ γενομένῳ, μετεκόμι-
σεν αὐτοῦ τὸ σῶμα, καὶ ἐν τῇ ἐκκλησίᾳ ἔθαψεν, ἣν
ᾠκοδόμησε Μακεδόνιος ὁ ἐπιβουλεύσας αὐτῷ· εἰσέτι 291
τε νῦν ἐπωνυμός ἐστιν αὐτῷ, μέγιστος ὢν καὶ ἐπιση-
μότατος ὁ ναὸς οὗτος. Ὃ καὶ πολλοὺς ἀγνοοῦντας
τὴν ἀλήθειαν, ὑπονοεῖν ποιεῖ Παῦλον τὸν ἀπόστολον
ἐνθάδε κεῖσθαι, μάλιστα δὲ καὶ τὰς γυναῖκας, καὶ τοῦ
5 δήμου τοὺς πλείους. Περὶ δὲ τοῦτον τὸν χρόνον, καὶ
τὸ Μελετίου λείψανον ἐκομίσθη εἰς Ἀντιόχειαν, καὶ
παρὰ τὴν θήκην Βαβύλα τοῦ μάρτυρος ἐτάφη. Λέ-
γεται δὲ διὰ πάσης τῆς λεωφόρου κατὰ βασιλέως
πρόσταγμα, ἐντὸς τειχῶν εἰς τὰς πόλεις εἰσδεχθῆναι,
παρὰ τὸ νενομισμένον Ῥωμαίοις· ἀμοιβαδόν τε ὑπὸ
ψαλμῳδίαις ταῖς ἐν ἑκάστῳ τόπῳ τιμώμενον, ἕως
Ἀντιοχείας διακομισθῆναι.

ratione perseveravi. Atque hic quidem hujusmodi causam allegans, ordinationem detrectavit. Ego vero eum ob istam recusationem magnopere laudo, atque idcirco huic historiæ illum inserui. Porro imperator, cum de iis quæ Paulo quondam Constantinopolis episcopo acciderant certior factus esset, corpus ejus transferendum curavit, et in ecclesia sepelivit, quam Macedonius ejus persecutor ædificaverat, et quæ hactenus ipsius vocabulo insignita est, ædes maxima atque illustrissima. Quæ causa est ut multi veritatem rei ignorantes, ac præsertim mulieres, et quamplurimi ex plebe, Paulum apostolum illic conditum esse suspicentur. Per idem tempus Meletii cadaver Antiochiam deportatum, et juxta loculum Babylæ martyris depositum est. Aiunt porro, per totam viam publicam ex imperatoris jussu, cadaver illud intra urbes receptum fuisse, præter morem institutumque Romanorum; et psalmorum cantibus per singula loca alternatim exceptum, honorifice Antiochiam usque deductum fuisse.

ΚΕΦ. ΙΑʹ.

Περὶ τῆς χειροτονίας Φλαβιανοῦ τοῦ ἐπισκόπου Ἀντιοχείας, καὶ τῶν ἐπὶ ταύτῃ συμβάντων διὰ τὸν ὅρκον.

1 Καὶ Μελέτιος μὲν τοιᾶσδε ἠξιώθη ταφῆς. Χειρο-
τονεῖται δὲ ἀντ' αὐτοῦ Φλαβιανὸς παρὰ τοὺς δοθέντας
ὅρκους· ἔτι γὰρ Παυλῖνος τῷ βίῳ περιῆν. Ἐκ
τούτου δὲ μεγίστη πάλιν ταραχὴ τὴν Ἀντιοχέων ἐκ-
κλησίαν ἐπέλαβε· καὶ πλεῖστοι σφᾶς ἀπέσχισαν τῆς
πρὸς Φλαβιανὸν κοινωνίας, καὶ ὑπὸ Παυλίνῳ ἰδίᾳ
2 ἐκκλησίαζον. Διεφέροντο δὲ τούτου χάριν πρὸς ἀλ-
λήλους καὶ αὐτοὶ οἱ[u] ἱερεῖς. Καὶ Αἰγύπτιοι μὲν καὶ
Ἀράβιοι καὶ Κύπριοι ὡς ἐπὶ ἠδικημένῳ Παυλίνῳ
ἠγανάκτουν. Σύροι δὲ καὶ Παλαιστινοὶ καὶ Φοίνικες,
Ἀρμενίων τε καὶ Καππαδοκῶν καὶ Γαλατῶν καὶ τῶν
πρὸς τῷ Πόντῳ οἱ πλείους, τὰ Φλαβιανοῦ ἐφρόνουν.
3 Οὐχ ἥκιστα δὲ ἐχαλέπαινεν ὁ Ῥωμαίων ἐπίσκοπος,
καὶ πάντες οἱ πρὸς ἑσπέραν ἱερεῖς. Καὶ Παυλίνῳ
μὲν ὡς ἐπισκόπῳ Ἀντιοχείας τὰς συνήθεις ἔγραφον
ἐπιστολὰς, ἃς συνοδικὰς καλοῦσι· πρὸς δὲ Φλαβιανὸν

[u] Ita B. οἱ om. ceteri.

CAPUT XI.

De ordinatione Flaviani Antiochensis episcopi, et de his quæ propter jusjurandum acciderunt.

Ac Meletius quidem hujusmodi sepulturam est consecutus. Flavianus vero ejus loco ordinatus est, contra jurisjurandi fidem. Nam Paulinus adhuc superstes erat. Qua ex re ingens perturbatio Antiochensem ecclesiam iterum occupavit: et plurimi se a communione Flaviani sejunxerunt, ac seorsum sub Paulino collectas celebrarunt. Sed et sacerdotes ipsi, hujus rei causa inter se dissidebant. Et Ægyptii quidem cum Arabicis et Cypriis, Paulini tanquam injuria affecti vicem dolebant. Syri vero et Palæstini ac Phœnices, et ex Armeniis, Cappadocibus, Galatis ac Ponticis plerique, Flaviani partes fovebant. Verum episcopus Romanus et reliqui Occidentalium partium sacerdotes, non mediocriter indignabantur. Et ad Paulinum quidem tanquam episcopum Antiochiæ, consuetas scribebant epistolas, quas synodicas appel-

σιωπὴν ἦγον· καὶ τοὺς ἀμφὶ Διόδωρον τὸν Ταρσοῦ, καὶ Ἀκάκιον τὸν Βεροίας, τοὺς αὐτὸν χειροτονήσαν-
4 τας, ἐν αἰτίᾳ ἐποιοῦντο, καὶ ἀκοινωνήτους εἶχον. Ὥστε δὲ τὰ περὶ τούτων διαγνῶναι, ἔγραψαν αὐτοί τε καὶ Γρατιανὸς ὁ βασιλεὺς, συγκαλοῦντες εἰς τὴν δύσιν τοὺς ἀπὸ τῆς ἀνατολῆς ἐπισκόπους.

ΚΕΦ. ΙΒʹ. 292

Ὅτι ἐβουλεύσατο Θεοδόσιος πάσας τὰς αἱρέσεις ἑνῶσαι· καὶ περὶ Ἀγελίου καὶ Σισινίου, τῶν Ναυατιανῶν, τί εἰσηγήσαντο· καὶ ὡς συνόδου πάλιν γενομένης, μόνους τοὺς τὸ ὁμοούσιον δοξάζοντας ὁ βασιλεὺς ἀπεδέξατο· τοὺς δὲ ἄλλως φρονοῦντας, τῶν ἐκκλησιῶν ἀπήλασε.

1 Κατὰ δὲ τοῦτον τὸν χρόνον, τῶν ἀπὸ τῆς καθόλου ἐκκλησίας καταλαμβανόντων τοὺς εὐκτηρίους οἴκους, πλεῖσται πολλαχῇ τῆς ὑπηκόου ταραχαὶ συνέβησαν, τῶν ἀπὸ τῆς Ἀρείου αἱρέσεως ἀνθισταμένων. Θεοδόσιος δὲ ὁ βασιλεὺς, ὀλίγον τῆς προτέρας συνόδου διαλιπὼν χρόνον, αὖθις τοὺς προεστῶτας τῶν ἀκμαζουσῶν τότε αἱρέσεων συνεκάλεσεν, ἢ πεισθησομέ-
2 νους, ἢ πείσοντας περὶ ὧν διεφέροντο. Ὑπέλαβε γὰρ

lant. Ad Flavianum vero nullas literas dabant. Quin et Diodorum Tarsi et Acacium Berœæ episcopos qui illum ordinaverant, in crimen vocabant, et ab eorum communione abstinebant. Itaque ut his de rebus cognosceretur, tum ipsi, tum imperator Gratianus, ad Orientales episcopos scripserunt, eos in Occidentem convocantes.

CAPUT XII.

Quomodo Theodosius omnium religionum sectas unire voluerit. Item de Agelio et Sisinio Novatianis: quid ab illis consilii datum sit. Et quomodo synodo iterum congregata, solos homusianos probaverit imperator: eos vero qui aliter sentirent ecclesiis ejecerit.

Eodem tempore cum catholici ecclesias occuparent, multis in partibus imperii Romani graves motus contigerunt, obsistentibus videlicet Arianis. Imperator autem Theodosius, exiguo tempore post priorem synodum elapso, sectarum quæ tum temporis maxime vigebant, principes iterum convocavit, ut de iis quorum causa dissidebant, rationem redderent aut acciperent. Sperabat enim

πάντας ὁμοδόξους ποιῆσαι, εἰ κοινὴν αὐτοῖς διάλεξιν
προθείη[x] περὶ τῶν ἀμφιβόλων τοῦ δόγματος. Ἐπεὶ
δὲ συνῆλθον· ἔτος δὲ τοῦτο ἦν, ἐν ᾧ Μεροβαύδης τὸ
δεύτερον καὶ Σατορνῖνος[y] ὑπάτευον, ἡνίκα δὴ συμ-
βασιλεύειν αὐτῷ τὸν υἱὸν Ἀρκάδιον ἀνηγόρευσε· A. D. 383.
μετακαλεσάμενος Νεκτάριον, ἐκοινώσατο περὶ τῆς
ἐσομένης συνόδου, καὶ τὰ ποιοῦντα τὰς αἱρέσεις ζη-
τήματα εἰς διάλεξιν ἄγειν ἐκέλευσεν· ὅπως μία τῶν
εἰς Χριστὸν πιστευόντων ἐκκλησία γένοιτο, καὶ δόγμα
3 καθ' ὃ θρησκεύειν δεῖ, σύμφωνον. Καθ' ἑαυτὸν δὲ
Νεκτάριος ἐν φροντίσι γενόμενος, ὡς ὁμόφρονι περὶ
τὴν πίστιν, δήλην ἐποίησε τὴν βασιλέως γνώμην
Ἀγελίῳ, τῷ προϊσταμένῳ τῆς Ναυατιανῶν ἐκκλησίας.
4 Ὁ δὲ, τὴν ἀρετὴν τοῦ βίου διὰ τῶν ἔργων φέρων,
κομψότητος δὲ καὶ τερθρείας λόγων ἀτριβὴς, προεβά-
λετο ἀντ' αὐτοῦ[z] τὸ πρακτέον ἰδεῖν, διαλεχθῆναί τε
εἰ δεήσειεν, ἄνδρα τῶν ὑπ' αὐτὸν ἀναγνωστῶν τότε,

[x] προσθείη J. Scal.

[y] Μερογαύδου—Σατορνίλου Socrat. v. 10, 5.

[z] αὐτῆς superscript. cod. Fuk. Quod licet corruptum sit, viam tamen nobis commonstravit ad veram hujus loci emendationem. Sic igitur scribendus est hic locus, προεβάλετο ἀντ' αὐτοῦ εἰς τὸ πρακτέον ἰδεῖν etc. VALESIUS.

perfecturum se, ut omnes inter se consentirent, si communem ipsis disputationem de controversiis fidei proposuisset. Cum igitur convenissent, Merobaude iterum et Saturnino consulibus, quo anno Theodosius Arcadium filium suum imperii consortem sibi adjunxit: imperator evocato ad se Nectario, de futura synodo cum eo communicavit; jussitque ut quæstiones ex quibus natæ erant hæreses, disceptandas proponeret. Quo una fieret ecclesia credentium in Christum, et doctrina fidei concors stabiliretur. Porro Nectarius domum reversus, cum variis curis angeretur, Agelio Novatianorum episcopo, ut qui eandem cum ipso fidem teneret, consilium imperatoris aperuit. Agelius vero, utpote qui vitæ sanctimoniam factis ipsis profitebatur, in dicendo vero ac disputando parum erat exercitatus, alterum vice sua proposuit, qui et dispicere quid agendum esset, et disputare, si opus foret, egregie calleret, Sisinium nomine: qui tum quidem lector sub ipso erat: postea vero episcopus

Σισίνιον[a] ὀνόματι, ὃς καὶ[b] ὕστερον ἐπετράπη τὴν αὐ-
τὴν ἐπισκοπήν· ἱκανὸν νοῆσαί τε καὶ φράσαι, καὶ τὰς
ἐξηγήσεις τῶν ἱερῶν βίβλων ἀκριβῶς ἐπιστάμενον·
καὶ πολυμαθῆ τῶν ἱστορημένων ὑπὸ τῶν παρ' Ἕλλησι
5 καὶ τῇ ἐκκλησίᾳ φιλοσοφησάντων. Ὃς δὴ καὶ τότε
δόξας ἄριστα λέγειν, συνεβούλευσεν ἀποφυγεῖν τὰς
πρὸς τοὺς ἑτεροδόξους διαλέξεις, ὡς ἔριδος καὶ μάχης
αἰτίους· πυνθάνεσθαι δὲ αὐτῶν, εἰ προσίενται τοὺς
πρὸ τῆς διαιρέσεως τῆς ἐκκλησίας καθηγητὰς καὶ δι-
6 δασκάλους τῶν ἱερῶν λόγων γενομένους· Εἰ μὲν γὰρ
τούτων, ἔφη, τὰς μαρτυρίας ἀποβάλωσιν, ὑπὸ τῶν
οἰκείων ἐξελαθήσονται· εἰ δὲ ἱκανοὺς εἰς ἀπόδειξιν
τῶν ἀμφιβόλων ἡγήσονται, προΐσχεσθαι δεῖ τὰς αὐ-
τῶν βίβλους. Εὖ γὰρ ᾔδει, ὡς οἱ παλαιοὶ συναΐδιον
τῷ Πατρὶ τὸν Υἱὸν εὑρόντες, οὐκ ἐτόλμησαν εἰπεῖν
7 ἔκ τινος ἀρχῆς τὴν γένεσιν αὐτὸν ἔχειν. Ἐπεὶ δὲ τάδε
καλῶς ἔχειν καὶ Νεκταρίῳ συνεδόκει, μαθὼν δὲ καὶ βα- 293
σιλεὺς ἐπῄνεσε τὴν βουλήν, ἀπεπειρᾶτο τῶν ἀπὸ τῶν
ἄλλων αἱρέσεων, ὅπως ἔχουσι γνώμης περὶ τὰς τῶν

[a] Σισίννιον Socrat. v. 10. [b] καὶ om. B.

ibidem Novatianorum fuit. Virum intelligendi facultate ac dicendi copia præditum: qui sacrorum librorum expositiones accurate didicerat, et multiplicem habebat notitiam eorum quæ tum ab ethnicis, tum ab ecclesiasticis auctoribus scripta erant. Hic pro loco ac tempore rectissime consulere visus, auctor fuit ut fugerent disputationes cum hæreticis, tanquam contentionis ac discidii fomites: interrogarentque potius illos, num admitterent eos doctores atque interpretes sacrarum scripturarum, qui ante discidium ecclesiæ vixissent. Etenim, aiebat, si istorum testimonia rejecerint, a suis consortibus explodentur. Si vero illos ad dirimendas controversias idoneos esse arbitrabuntur, proferendi sunt eorum libri. Probe enim norat, antiquos qui Filium Patri coæternum credi reperissent, numquam ausos fuisse dicere, quod generationis suæ aliquod habuisset initium. Cum igitur Nectario id placuisset, et imperator certior factus consilium approbasset, tentare cœpit hæreticorum animos, quidnam ipsi de veterum interpretationibus sen-

παλαιοτέρων ἐξηγήσεις. Τῶν δὲ μάλα θαυμασάντων,
ἀναφανδὸν ἐδήλωσεν, εἰ ἐπὶ τοῖς εἰρημένοις αὐτοῖς
καταπαύσουσι τὰς ζητήσεις, καὶ ἀξιοχρέους ἡγοῦνται
8 μάρτυρας τοῦ δόγματος. Διχονοίας δὲ καὶ περὶ τοῦτο
συμβάσης τοῖς προεστῶσι τῶν αἱρέσεων· οὐ ταυτὰ
γὰρ ἕκαστοι περὶ τὰς τῶν ἀρχαιοτέρων ἐφρόνουν βί-
βλους· ἔγνω ὁ βασιλεὺς, ὡς διαλέξεσι μόναις οἰκείων
λόγων πεποιθότες παρῃτοῦντο[c] τὴν πρότασιν· καὶ
τῆς γνώμης αὐτοὺς μεμψάμενος, ἐκέλευσεν ἑκάστην
αἵρεσιν γραφὴν αὐτῷ διδόναι τοῦ οἰκείου δόγματος.
9 Ἐπεὶ δὲ ἡμέρα παρῆν, καθ' ἣν ὥριστο τοῦτο ποιεῖν,
συνῆλθον εἰς τὰ βασίλεια, ὑπὲρ μὲν τῶν ὁμοούσιον
Τριάδα δοξαζόντων, Νεκτάριος καὶ Ἀγέλιος· ὑπὲρ δὲ
τῆς Ἀρείου αἱρέσεως, Δημόφιλος ταύτης[d] προεστώς·
τῆς δὲ Εὐνομίου, αὐτὸς Εὐνόμιος· Ἐλεύσιος δὲ ὁ
Κυζίκου ἐπίσκοπος, ὑπὲρ τῶν καλουμένων Μακεδο-
νιανῶν. Δεξάμενος δὲ τὴν ἑκάστου γραφὴν, μόνην
τὴν ὁμοούσιον Τριάδα εἰσηγουμένην ἐπήνεσε· τὰς δὲ
10 ἄλλας, ὡς ἐναντίας διέρρηξε. Καὶ Ναυατιανοῖς μὲν

[c] παραιτοῦνται J. [d] ὁ ταύτης C.

tirent. Qui cum eas magnopere laudassent, imperator apertius ex iis percontatus est, utrum ex illorum dictis controversias decisuri essent, et num illos idoneos doctrinæ testes judicarent. Cum vero hac etiam de re inter sectarum principes orta esset dissensio; neque enim eadem omnes de veterum interpretationibus sentiebant: intellexit imperator, illos opinionum suarum altercationibus confisos, conditionem propositam recusare. Et damnato illorum consilio, jussit ut unaquæque secta, fidei suæ formulam scripto comprehensam ipsi traderet. Postquam dies illuxit quæ huic negotio constituta fuerat, convenerunt in palatium, pro iis quidem qui Trinitatem consubstantialem profitebantur, Nectarius et Agelius: pro Arianis autem Demophilus ejus sectæ antistes: pro Eunomianis Eunomius ipse: pro iis vero qui Macedoniani dicuntur, Eleusius episcopus Cyzicenus. Porro acceptis singulorum libellis, eam solam fidei formulam imperator probavit, quæ Trinitatem consubstantialem assereret. Reliquas vero, tanquam huic

οὐδὲν ἐντεῦθεν παρὰ γνώμην ἀπέβη· ὁμοίως γὰρ τῇ καθόλου ἐκκλησίᾳ τὰ περὶ Θεοῦ δοξάζουσιν. Οἱ δὲ ἄλλοι πρὸς τοὺς αὐτῶν ἱερέας ἐχαλέπαινον, ὡς ἀμαθῶς σφίσιν ἐναντίους ἐπὶ τοῦ κρατοῦντος γενομένους· πολλοὶ δὲ καὶ καταγνόντες, πρὸς τὴν ἐπαινεθεῖσαν
11 μετέθεντο. Ὁ δὲ βασιλεὺς νομοθετῶν, ἐκέλευσε τοὺς ἑτεροδόξους μήτε ἐκκλησιάζειν, μήτε περὶ πίστεως διδάσκειν, μήτε ἐπισκόπους ἢ ἄλλους χειροτονεῖν· καὶ τοὺς μὲν, πόλεων καὶ ἀγρῶν ἐλαύνεσθαι· τοὺς δὲ, ἀτίμους εἶναι, καὶ πολιτείας ὁμοίως μὴ μετέχειν τοῖς
12 ἄλλοις. Καὶ χαλεπὰς τοῖς νόμοις ἐπέγραφε[e] τιμωρίας. Ἀλλ' οὐκ ἐπεξῄει· οὐ γὰρ τιμωρεῖσθαι, ἀλλ' εἰς δέος καθιστᾷν τοὺς ὑπηκόους ἐσπούδαζεν, ὅπως ὁμόφρονες αὐτῷ γένοιντο περὶ τὸ θεῖον· ἐπεὶ καὶ τοὺς ἑκοντὶ μετατιθεμένους ἐπῄνει.

ΚΕΦ. ΙΓ'.

Περὶ Μαξίμου τοῦ τυράννου, καὶ περὶ τῶν μεταξὺ τῆς βασιλείας Ἰουστίνου[f] καὶ τοῦ ἁγίου Ἀμβροσίου, καὶ ὡς δόλῳ ἀνῃρέθη ὁ βασιλεὺς Γρατιανός· καὶ Οὐαλεντινιανὸς μετὰ τῆς μητρὸς εἰς Θεοδόσιον ἐν Θεσσαλονίκῃ κατέφυγε.

1 Ὑπὸ δὲ τοῦτον τὸν χρόνον ἠσχολημένῳ Γρατιανῷ

[e] ἐνέγραφε C. [f] Lege Ἰουστίνης.

adversantes discerpsit. Ac Novatianis quidem nihil ex hoc negotio accidit præter sententiam. Idem enim quod ecclesia catholica, de divinitate sentiunt. Cæteri vero episcopis suis succensuerunt, quod coram imperatore, pugnantia secum ipsis atque contraria, imperite dixissent. Multi etiam, damnatis illis, ad eam fidem quæ probata fuerat se transtulerunt. Cæterum imperator lege lata præcepit, ne hæretici collectas agerent, neve de fide docerent, neve episcopos aut alios ordinarent: utque alii quidem urbibus et agris pellerentur: alii vero notarentur infamia, nec jus æquum civitatis cum reliquis civibus possiderent. Et graves quidem pœnas legibus suis adscripsit: haudquaquam tamen executioni mandavit. Neque enim punire subditos, sed terrere tantummodo studebat, ut idem cum ipso de divinitate sentirent. Nam et illos laudabat, qui sua sponte converterentur.

εἰς τὸν πρὸς Ἀλαμανοὺς πόλεμον, ἐπανέστη Μάξι-
μος ἐκ τῆς Βρετανίας[g], καὶ ὑφ' ἑαυτὸν τὴν Ῥωμαίων
ἀρχὴν ποιήσασθαι ἐσπούδαζεν. Ἐν Ἰταλίᾳ δὲ τότε
διέτριβεν Οὐαλεντινιανὸς, ἔτι νέος ὤν· ἐπετέτραπτο 294
δὲ τῶν τῇδε πραγμάτων τὴν διοίκησιν ὕπαρχος ὢν
2 Πρόβος, ὑπατικὸς ἀνήρ. Ἡνίκα δὴ Ἰουστίνα ἡ τοῦ
βασιλέως μήτηρ, τὰ Ἀρείου φρονοῦσα, πράγματα
παρεῖχεν Ἀμβροσίῳ ἐπισκόπῳ Μεδιολάνων, καὶ τὰς
ἐκκλησίας ἐτάραττεν, ἐπιχειροῦσα νεωτερίζειν κατὰ
τῶν ἐν Νικαίᾳ δοξάντων, καὶ περὶ πολλοῦ ποιουμένη
κρατεῖν τὴν πίστιν τῶν ἐν Ἀριμίνῳ[h] συνεληλυθότων.
3 Ἐπεὶ δὲ τὸ ἐναντίον ἐσπούδασεν Ἀμβρόσιος, χαλε-
πήνασα διαβάλλει αὐτὸν πρὸς τὸν υἱὸν, ὡς ὑβρισμένη.
Ὑπολαβὼν δὲ Οὐαλεντινιανὸς ἀληθεῖς εἶναι τὰς δια-
βολὰς, ἅτε δὴ μητρὶ τιμωρῶν, στρατιωτῶν πλῆθος
4 ἐπιπέμπει τῇ ἐκκλησίᾳ. Οἱ δὲ, τῷ ναῷ προσβαλόν-

[g] Βρεττανίας B. [h] Ἀριμήνῳ hic et bis infra B.

CAPUT XIII.

De Maximo Tyranno: et de his quæ inter Justinam Augustam et sanctum Ambrosium gesta sunt: et quomodo Gratianus imperator per fraudem interemptus est, et Valentinianus cum matre sua Thessalonicam ad Theodosium confugit.

Sub idem tempus cum Gratianus bello adversus Alamannos occuparetur, Maximus ex Britanniæ partibus in eum consurrexit, et imperium Romanum in potestatem suam redigere conatus est. Degebat tunc in Italia Valentinianus adhuc adolescens: et rempublicam illic administrabat Probus præfectus prætorio, vir qui consulatus honorem gesserat. Quo quidem tempore Justina imperatoris mater, Arianorum opinioni addicta, Ambrosium Mediolanensem episcopum variis affecit molestiis, et ecclesiarum statum perturbavit, res novas tentans adversus decreta concilii Nicæni, omnique studio in id incumbens, ut fides eorum qui Arimini convenerant prævaleret. Sed cum Ambrosius in contrarium niteretur, mulier id moleste ferens, accusavit illum apud filium, tanquam contumelia affecta. Valentinianus autem eas criminationes veras esse arbitratus, militum copias in ecclesiam immisit, velut matris injuriam ulturus. Qui mox templum expugnare adorti, per vim

τες, βίᾳ τῶν θυρῶν ἐντὸς ἐγένοντο, καὶ τὸν Ἀμβρό-
σιον εἷλκον αὐθωρὸν, εἰς τὴν ὑπερορίαν ἄξοντες.
Περιχυθέντες δὲ αὐτῷ τὸ πλῆθος τῆς ἐκκλησίας, ἀντ-
έσχον[i] τοῖς στρατιώταις· καὶ πρότερον ἔγνωσαν ἀπο-
5 θανεῖν, ἢ τὸν ἱερέα ὑπεριδεῖν. Ἐκ τούτου τε εἰς μεί-
ζονα ὀργὴν Ἰουστίνα ἐξήφθη, καὶ νόμῳ κρατῦναι τὴν
ἐγχείρησιν ἐβουλεύετο[k]. Μετακαλεσαμένη τοίνυν Με-
νίβολον[l] τὸν ἐπὶ τοῖς γραμματεῦσι τῶν θεσμῶν τότε
τεταγμένον, ἐκέλευε τὴν ταχίστην τιθέναι νόμον ἐπὶ
βεβαιώσει τῆς ἐν Ἀριμίνῳ ἀναγνωσθείσης πίστεως.
6 Ὑποπαραιτούμενον δὲ τὴν πρᾶξιν, ἦν γὰρ τῆς καθό-
λου ἐκκλησίας, προὐτρέπετο μείζονος τιμῆς ἐπαγγε-
λίαις δελεάζουσα. Ἀλλ' οὐκ ἔπεισε, περιελὼν δὲ τὴν
ζώνην Μενίβολος, πρὸ τῶν ποδῶν τῆς βασιλίδος ἔρ-
ριψε, μήτε τῆς οὔσης τιμῆς, μήτε μείζονος μεταποι-
7 εῖσθαι φήσας ἐπὶ μισθῷ ἀσεβείας. Ἐπεὶ οὖν ἐνέστη
μή ποτε τοῦτο διαπράξασθαι[m], ἕτεροι διηκονήσαντο

[i] ἀντέκειντο τοῖς C.

[k] ἐβούλετο ab ead. man. in marg. cod. Fuket. probante Valesio.

[l] Lege Βενίβολον. *Benivolum* Epiph. in Cassiod. H. T. ix. 20. *Benevolum* Rufin. xi. 16. Litera β nonnunquam in codd. resupina scribitur instar illius μ. Κλεόβουλον Niceph. ix. 19.

[m] Mallem διαπράξεσθαι.

irruperunt, et Ambrosium inde abstrahentes, confestim in exsilium abducere parabant. Verum plebs ecclesiæ catholicæ, antistitem suum cingens, militibus sese objecit, mori præoptans, quam episcopum suum deserere. Hanc ob causam Justina graviore adhuc ira exarsit, et conatus suos legis auctoritate munire constituit. Accito igitur Benivolo, qui tunc scriniis memoriæ præsidebat, præcepit ut confestim legem dictaret, qua fides in Ariminensi concilio olim recitata confirmaretur. Quod cum ille facere recusaret: erat enim catholicæ communionis: eum regina altioris gradus pollicitatione demulcens, cœpit hortari. Nec tamen ei persuadere potuit. Nam Benivolus detractum sibi cingulum ante pedes reginæ abjecit; nec præsentem dignitatem, nec ullam aliam majorem, pro mercede impietatis se velle suscipere affirmans. Cum ergo iste numquam id se facturum constanter asseveraret, adhibiti sunt

*πρὸς τὴν θέσιν τοῦ τοιούτου νόμου. Παρεκελεύετο
δὲ ἀδεῶς συνιέναι τοὺς ὁμοίως δοξάζοντας τοῖς ἐν
Ἀριμίνῳ, καὶ μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει συν-
εληλυθόσι· τοὺς δὲ ἐμποδὼν γενομένους, ἢ ἐναντίᾳ
τῷ νόμῳ βασιλέως θεομένους, θανάτῳ ζημιοῦσθαι.
8 Ταῦτα σπουδαζούσης τῆς τοῦ βασιλέως μητρὸς, καὶ
τὸν νόμον εἰς ἔργον ἄγειν κατεπειγούσης, ἀγγέλλεται
δόλῳ Ἀνδραγαθίου ὃς στρατηγὸς ἦν Μαξίμου, Γρα-
τιανὸν ἀνῃρῆσθαι. Ἐφ' ἁρμαμάξης γὰρ βασιλικῆς 295
ὀχούμενος, ἀπεκρύβη· καὶ ὡς τοῦ βασιλέως εἴη γα-
9 μετὴ τοῖς ἡγουμένοις ἀγγέλλειν ἐκέλευεν. Ἀπερι-
σκέπτως δὲ Γρατιανὸς τὸν τῇδε ποταμὸν διαβὰς, ὡς
ἔναγχος γήμας, καὶ νέος ὢν, καὶ ἐρωτικῶς πρὸς τὴν
γυναῖκα διατεθεὶς, ὑπὸ προθυμίας τοῦ θεάσασθαι αὐ-
τὴν μηδὲν προϊδόμενος, εἰς τὰς Ἀνδραγαθίου ἐνέπεσε
χεῖρας. Καὶ συλληφθεὶς, οὐκ εἰς μακρὰν ἀνῃρέθη,
ἔτη μὲν ἀμφὶ τὰ εἰκοσιτέσσαρα γεγονὼς, δέκα δὲ καὶ
πέντε βασιλεύσας. Ὡς ἐπιγενομένης δὲ τοσαύτης
συμφορᾶς, ἐπαύσατο Ἰουστίνα τῆς κατὰ Ἀμβροσίου
10 ὀργῆς. Ἐν τούτῳ δὲ Μάξιμος πλείστην ἀγείρας*

qui hanc legem dictarent. Præcipiebat autem ea lex, ut quicumque eandem fidem tenerent quam ii qui olim Arimini, ac postea Constantinopoli fuerant congregati, libere in ecclesias convenirent: si qui vero obsisterent, aut contraria huic legi postularent, capite plecterentur. Dum imperatoris mater ista molitur, et legem executioni mandare studet, adfertur nuntius, Gratianum fraude Andragathii qui comes erat Maximi, interfectum esse. Hic enim, cum imperiali carpento vectus delitesceret, præcursoribus mandaverat ut imperatoris conjugem advenire nuntiarent. Gratianus vero, utpote qui recens uxorem duxerat, et adhuc juvenis ingenti ejus amore flagrabat, ejus videndæ studio, nihil doli suspicatus, fluvium interlabentem improvide transgressus est, atque ita in manus Andragathii incidit. Captusque, haud multo post trucidatur, cum vixisset annos circiter quatuor et viginti, imperasset autem quindecim. Ob tantam igitur calamitatem quæ acciderat, Justina iram adversus Ambrosium abjecit. Interea Maximus, col-

στρατιὰν Βρετανῶν[n] ἀνδρῶν, καὶ τῶν ὁμόρων Γαλατῶν, καὶ Κελτῶν, καὶ τῶν τῇδε ἐθνῶν, ἐπὶ τὴν Ἰταλίαν ᾔει· πρόφασιν μὲν ὡς οὐκ ἀνεξόμενος νεώτερόν τι γενέσθαι περὶ τὴν πάτριον πίστιν, καὶ τὴν ἐκκλησιαστικὴν τάξιν· τὸ δὲ ἀληθὲς, τυράννου δόξης ἑαυτὸν καθαίρων· πρὸς δὲ τὴν βασιλείαν βλέπων, καὶ πραγματευόμενος, εἴ πη ἄρα δύναιτο δόξαι νόμῳ, οὐ
11 βίᾳ, τὴν ἀρχὴν Ῥωμαίων ἑαυτῷ περιποιεῖν. Οὐαλεντινιανὸς δὲ ὑπὸ τοῦ καιροῦ βιασθεὶς, ἐδέξατο τὰ σύμβολα τῆς αὐτοῦ βασιλείας. Δείσας δὲ μή τι πάθοι, φεύγων ἐξ Ἰταλίας, εἰς Θεσσαλονίκην ἧκε· σὺν αὐτῷ δὲ καὶ ἡ μήτηρ, καὶ Πρόβος ὁ ὕπαρχος.

ΚΕΦ. ΙΔʹ.

Περὶ τῆς γενέσεως Ὀνωρίου. Καὶ ὅτι τῇ Κωνσταντίνου λιπὼν Ἀρκάδιον εἰς Ἰταλίαν ἔρχεται. Καὶ περὶ τῆς διαδοχῆς τῶν Ναυατιανῶν, καὶ τῶν ἄλλων πατριαρχῶν· καὶ περὶ τοῦ θράσους τῶν Ἀρειανῶν. Καὶ ὡς ἀνελὼν τὸν τύραννον Θεοδόσιος, μεγαλοπρεπῆ θρίαμβον ἐν Ῥώμῃ ποιεῖ.

1 Ἐν τούτῳ δὲ, παρασκευαζομένῳ Θεοδοσίῳ εἰς τὸν

[n] βρεττανῶν B.

lecto ex Britannia et vicinis Galliis, et ex Germanis ac finitimis gentibus numeroso exercitu, in Italiam profectus est: specie quidem, quasi non passurus ut circa fidem majorum, et in ecclesiastica disciplina quidquam innovaretur: re autem ipsa ut suspicionem tyrannidis procul a se depelleret, utpote principatum adsectans, omnique arte studens, ut imperium Romanum non vi, sed jure sibi vindicare videretur. Valentinianus vero necessitate temporum coactus, insignia imperii illius admisit. Sed tamen veritus ne quid mali pateretur, relicta Italia Thessalonicam profugit, una cum matre, et Probo præfecto prætorii.

CAPUT XIV.

De ortu Honorii: et quomodo Theodosius, relicto Constantinopoli Arcadio, in Italiam profectus est. Item de successione Novatianorum, et reliquorum patriarcharum: et de Arianorum audacia. Et quomodo Theodosius occiso tyranno magnificum Romæ triumphum egit.

Eodem tempore, cum Theodosius adversus Maximum expedi-

πρὸς Μάξιμον πόλεμον, γίνεται παῖς Ὀνώριος. Ὡς δὲ αὐτῷ τὰ περὶ τὴν στρατιὰν ηὐτρέπιστο, καταλιπὼν ἐν Κωνσταντινουπόλει βασιλεύοντα Ἀρκάδιον τὸν υἱὸν, καταλαμβάνει ἐν Θεσσαλονίκῃ Οὐαλεντινιανόν. Καὶ τοὺς μὲν ἀποσταλέντας παρὰ Μαξίμου πρέσβεις, οὔτε ἀπέπεμπεν[o] εἰς τὸ προφανὲς, οὔτε προσίετο· ἀναλαβὼν δὲ τοὺς στρατιώτας ἐπὶ τὴν Ἰταλίαν ἐχώ-
2 ρει. Περὶ δὲ τοῦτον τὸν χρόνον μέλλων τελευτᾷν Ἀγέλιος ὁ ἐν Κωνσταντινουπόλει τῶν Ναυατιανῶν ἐπίσκοπος, ἐψηφίσατο ἀντ' αὐτοῦ Σισίνιον πρεσβύτερον[p] τῶν ὑπ' αὐτόν. Μεμφομένου δὲ τοῦ πλήθους ὅτι μὴ Μαρκιανὸν ἐπὶ εὐλαβείᾳ ἐπίσημον, ῥᾷον ἔχειν δόξας, ἐχειροτόνησε Μαρκιανόν· καὶ τῷ λαῷ ἐν τῇ ἐκκλησίᾳ προσεφώνησε, Κατ' ἐμὲ, λέγων, Μαρκιανὸν
3 ἔχετε· μετὰ δὲ τοῦτον, Σισίνιον. Καὶ ὁ μὲν τάδε εἰπὼν, οὐκ εἰς μακρὰν ἐτελεύτησεν, ἐπὶ τεσσαράκοντα ἔτεσιν εὐδοκίμως τῆς οἰκείας αἱρέσεως προστάς· εἰσὶ δὲ οἳ καὶ ὁμολογητὴν ἰσχυρίζονται τοῦτον τὸν ἄνδρα
4 ἐν Ἑλληνικοῖς καιροῖς γενέσθαι. Οὐ πολλῷ δὲ ὕστε-

[o] ἀπεπέμπετο J. Christ. Scal.
[p] πρεσβύτερον Σισίνιον B. Σισίννιον Socrat. v. 21, et alibi.

tionem pararet, Honorius ei filius nascitur. Tandem vero paratis jam omnibus quæ ad bellum necessaria erant, ipse Constantinopoli excedens, Arcadium Augustum filium suum illic reliquit, ac Thessalonicam profectus, Valentinianum ibi offendit. Et legatos qui a Maximo missi erant, nec repulit aperte, nec admisit: sed assumpto exercitu, in Italiam contendit. Sub idem tempus Agelius Novatianorum apud Constantinopolim episcopus, fato instante, Sisinium unum ex presbyteris suis, successorem sibi designavit. Conquerente autem plebe quod non potius ordinasset Marcianum, virum religionis causa celeberrimum; cum jam melius se habere videretur, Marcianum ordinavit: et populum in ecclesia alloquutus est his verbis, Post me Marcianus sit vester episcopus: post illum vero Sisinius. Quæ cum dixisset, haud multo post ex hac vita migravit, per annos quadraginta præsulatu sectæ suæ magna cum laude perfunctus. Nec desunt, qui eum virum persecutionum temporibus confessorem fuisse affir-

ρον, Τιμοθέου καὶ Κυρίλλου τὸν βίον μεταλλαξάν-
των, διαδέχεται τὸν Ἀλεξανδρέων θρόνον Θεόφιλος·
τῶν δὲ[q] Ἱεροσολύμων, Ἰωάννης. Ἐπὶ δὲ[r] τῆς Κων- 55
σταντινουπόλεως, καὶ Δημόφιλος ὁ τῆς Ἀρείου αἱρέ-
σεως ἡγούμενος ἐτελεύτησε· Μαρῖνος δέ τις ἐκ Θρᾴ- 296
κης μετακληθεὶς ἐπιτρέπεται τὴν αὐτοῦ διαδοχήν·
ὡς ἐπιτηδειότερος δὲ Δωρόθεος ἐκ τῆς παρὰ Σύροις 40
5 Ἀντιοχείας ἐλθὼν, προΐστατο τῆς αἱρέσεως. Ἐν τού-
τῳ δὲ Θεοδοσίου εἰς Ἰταλίαν ἀφικομένου, φῆμαι περὶ
τοῦ πολέμου πρὸς τὸ ἑκάστῳ δοκοῦν ἐκράτουν· παρὰ
δὲ τοῖς[s] Ἀρειανοῖς, ὡς πολλῶν ἐν τῇ μάχῃ πεσόντων
ὑπὸ τὸν τύραννον ὁ βασιλεὺς ἐγένετο. Καὶ ὡς ἐπὶ
γενομένοις[t] ἤδη οἷς ἐλογοποίουν, ἐθάρρησαν· καὶ κα-
ταδραμόντες Νεκταρίου τοῦ ἐπισκόπου τὴν οἰκιαν
ἐνέπρησαν, χαλεπαίνοντες, ὅτι τῶν ἐκκλησιῶν ἐκράτει.
6 Τῷ δὲ βασιλεῖ τὰ περὶ τὸν πόλεμον κατὰ γνώμην
ἀπέβη. Οἱ γὰρ ὑπὸ Μαξίμῳ στρατιῶται, ἢ φόβῳ
τῆς ἐπ' αὐτοὺς παρασκευῆς, ἢ προδοσίᾳ, συλλαβό-

[q] τὸν δὲ C.
[r] ἐπεὶ δὲ B.
[s] τοῖς om. B. Steph. Genev. addidit Christoph. Vales.
[t] Ita Valesius post Savilium. ἐπιγενομένοις libri omnes.

ment. Haud multo post Timotheo et Cyrillo ex hac luce sublatis, Alexandrinam quidem sedem Theophilus, Hierosolymitanam vero Joannes suscepit. Constantinopoli quoque, Demophilus Arianæ sectæ episcopus extremum diem obiit. Cujus in locum Marinus quidam ex Thracia est substitutus. Sed cum Dorotheus Antiochia Syriæ advenisset, tanquam magis idoneus, Arianorum sectæ illic præfuit. Interea temporis Theodosio in Italiam ingresso, varii pro cujusque libidine rumores de bello increbuere. Apud Arianos quidem ferebatur, quod multis in prælio occisis, imperator in tyranni potestatem venisset. Qui non aliter ac si re ipsa completa essent quæ inter se susurrabant, animos sumpserunt: et impetu facto, Nectarii episcopi domum incenderunt, ægre ferentes quod ecclesias obtineret. Verum imperator ex animi sui sententia bellum confecit. Etenim milites Maximi, seu metu bellici apparatus quem Theodosius adversus ipsos contraxe-

μενοι τὸν τύραννον ἀνεῖλον. Ἀνδραγάθιος δὲ ὁ Γρατιανὸν ἀνελὼν, ὡς τάδε ἔγνω, σὺν αὐτοῖς ὅπλοις εἰς
7 ποταμὸν παραρρέοντα ἥλατο, καὶ διεφθάρη. Τοῦ δὲ πολέμου τούτου διαλυθέντος τὸν τρόπον, ἔπειτα[u] εἰκότα Γρατιανῷ τιμωρήσας, ἧκεν εἰς Ῥώμην καὶ ἐπινίκιον πομπὴν ἅμα Οὐαλεντινιανῷ ἐπετέλεσε, καὶ τὰ περὶ τῆς ἐν Ἰταλίᾳ ἐκκλησίας εὖ διέθηκε. Συνέβη γὰρ καὶ Ἰουστίναν ἀποθανεῖν.

ΚΕΦ. ΙΕ'.

Ὅτι περὶ Φλαβιανοῦ, καὶ Εὐαγρίου τῶν Ἀντιοχέων· καὶ περὶ τῶν εἰς Ἀλεξάνδρειαν γενομένων ἐπὶ καθαιρέσει τοῦ ἱεροῦ Διονύσου· καὶ περὶ τοῦ Σεραπίου, καὶ τῶν καταστραφέντων ἄλλων εἰδωλικῶν νεῶν.

1 Ἐν δὲ τῷ τότε Παυλίνου ἐν Ἀντιοχείᾳ τελευτήσαντος, διέμειναν οἱ ὑπ' αὐτῷ ἐκκλησιάζοντες, ὡς

[u] Hic quoque separanda sunt vocabula hoc modo: ἐπεὶ τὰ εἰκότα. Quam scripturam in versione mea sum secutus. Vulgata certe lectio ferri non potest. Neque enim bello jam finito, Theodosius posthac Gratianum ultus est. Sed in ipso bello cædem Gratiani vindicavit, sumpto de Maximo interfectore Gratiani supplicio. VALESIUS. Non eo modo locum accipere videtur Nicephorus; sed de pœna quam dedit Maximus postquam Theodosio traditus esset, cum hujus jussu occideretur.

rat, seu proditione ducti, tyrannum comprehensum interemerunt. Andragathius vero, is qui Gratianum necaverat, his rebus compertis, armatus ut erat, sese in præfluentem fluvium præcipitavit, atque ita extinctus est. Hunc in modum finito bello, cum imperator Gratianum, sicuti par erat, ultus, Romam venisset, et una cum Valentiniano insignem triumphum egisset, res quoque ecclesiasticas in Italia recte ordinavit. Commodum enim Justina e vivis excesserat.

CAPUT XV.

De Flaviano et Evagrio Antiochenis episcopis: et de his quæ Alexandriæ gesta sunt in eversione templi Bacchi: et de Serapeo, aliisque idolorum templis destructis.

Per idem tempus mortuo Antiochiæ Paulino, hi qui sub illo in ecclesia congregabantur, Flavianum, utpote qui jurisjurandi sub

παραβάντα τοὺς ἐπὶ Μελετίου δοθέντας ὅρκους ἀποστρεφόμενοι Φλαβιανὸν, καίπερ οὐδὲν περὶ τὸ δόγμα διαφερόμενοι· καθίσταται δὲ αὐτῶν ἐπίσκοπος Εὐάγριος. Τοῦ δὲ βραχύν τινα χρόνον ἐπιβιώσαντος, οὐκέτι ταύτην τὴν διαδοχὴν ἕτερος ἐπλήρωσε, Φλαβιανοῦ ἀντιπράττοντος· ἰδίᾳ δὲ ἐκκλησίαζον ὅσοι
2 *τὴν πρὸς αὐτὸν παρῃτοῦντο κοινωνίαν. Ὑπὸ δὲ τοῦτον τὸν χρόνον Ἀλεξανδρέων ἐπίσκοπος τὸ παρ' αὐτοῖς Διονύσου ἱερὸν εἰς ἐκκλησίαν μετεσκεύαζε· δῶρον γὰρ εἰλήφει τοῦτο παρὰ τοῦ βασιλέως αἰτήσας. Καθαιρουμένων δὲ τῶν ἐνθάδε ξοάνων, καὶ τῶν ἀδύτων ἀνακαλυπτομένων, ἐπίτηδες σπουδάζων ἐνυβρίσαι*[x] *τοῖς Ἑλληνικοῖς μυστηρίοις, ἐξεπόμπευε*
3 *ταῦτα*[y]. *Καὶ φαλλοὺς, καὶ εἴ τι ἕτερον ἐν τοῖς ἀδύ-* 297
τοις κεκρυμμένον[z] *κατεγέλαστον ἦν ἢ ἐφαίνετο, δημοσίᾳ ἦγεν εἰς ἐπίδειξιν. Πρὸς δὲ τὸ ἀληθὲς*[a] *καὶ τὸ ἀδόκητον τοῦ συμβάντος καταπλαγέντες οἱ Ἕλληνες,*

[x] *ἐνυβρίσαι σπουδάζων* B.

[y] *τε ταῦτα* B.

[z] *κεκρυμμένον* supra scriptum B.

[a] Non dubito quin scribendum sit *ἄηθες*, quam scripturam in versione mea sum secutus. Nam in vulgata lectione nullus est sensus. VALESIUS. At vero pœne tautologum videtur illud *ἄηθες* atque *ἀδόκητον*.

Meletio præstiti fidem violasset, aversari perseveraverunt, licet in doctrina fidei nihil ab eo dissentirent. Et Evagrius eorum episcopus est ordinatus. Qui cum exiguo temporis spatio supervixisset, nemo deinceps in ejus locum successit, obsistente videlicet Flaviano. Sed quicumque communionem Flaviani detrectabant, separatim collectas agebant. Eodem tempore Alexandrinæ urbis episcopus, templum Bacchi quod illic erat, in ecclesiam commutavit. Illud enim ab imperatore petitum, dono acceperat. Porro dum simulachra ejus loci everterentur, et adyta recluderentur, episcopus sacris paganorum contumeliose studens illudere, ea de industria publicavit ac traduxit. Phallos etiam, et quidquid in adytis occultum aut erat aut videbatur esse ridiculum, publice spectandum proposuit. Tum vero pagani, et insolito et insperato

ἠρεμεῖν οὐκ ἠνείχοντο· παρασκευασάμενοι δὲ ἐν ἑαυ-
τοῖς κατέδραμον τοὺς Χριστιανούς. Καὶ τοὺς μὲν
κτείναντες, τοὺς δὲ τραυματίας ποιήσαντες, καταλαμ-
βάνουσι τὸ Σεράπιον[b]· ναὸς δὲ οὗτος ἦν κάλλει καὶ
4 μεγέθει ἐμφανέστατος, ἐπὶ γεωλόφου κείμενος. Ἐν-
τεῦθεν ὡς ἀπ' ἄκρας τινὸς ἐξαπιναίως ἐλθόντες[c],
συνέλαβόν[d] τε πολλοὺς Χριστιανῶν, καὶ βασανίζον-
τες ἠνάγκαζον θύειν. Παραιτουμένους δὲ, τοὺς μὲν
ἀνεσκολόπισαν, τῶν δὲ τὰ σκέλη κατέαξαν· ἄλλους
5 δὲ ἄλλως ἀνῄρουν. Ἐπὶ πολλῷ δὲ χρόνῳ τῆς στά-
σεως κρατούσης, παραγενόμενοι πρὸς αὐτοὺς οἱ ἄρ-
χοντες νόμων ὑπεμίμνησκον, καὶ παύεσθαι πολέ-
μου παρεκελεύοντο, καὶ τὸ Σεράπιον καταλιμπάνειν.
Ἦρχε δὲ τότε τῶν ἐν Αἰγύπτῳ στρατιωτικῶν ταγ-
μάτων Ῥωμανός· Εὐάγριος δὲ ὕπαρχος[e] τῆς Ἀλε-
ξανδρείας ἡγεῖτο. Ὡς δὲ οὐδὲν ἤνυον, ἐμήνυσαν τῷ
6 βασιλεῖ τὰ γενόμενα. Προθυμοτέρους δὲ τοὺς ἐν τῷ
Σεραπίῳ παρεσκεύαζεν εἶναι, τὸ συνειδέναι σφίσιν ἃ

[b] Σεραπεῖον Socrat. v. 16.
[c] Rescribe ἐξελθόντες: intercidit fortasse præpositio propter ἐξ in prævia voce.
[d] συνελάβοντο πολλοὺς B.
[e] ὕπατος C.

rei spectaculo commoti, nequaquam quiescere potuerunt. Sed conspiratione inter se facta, in Christianos irruerunt. Multisque eorum occisis et vulneratis, Serapium occuparunt. Erat hoc templum et venustate et amplitudine nobilissimum, in exiguo colle situm. Ex eo loco, tanquam ex arce quadam, improviso erumpentes, multos Christianorum comprehendebant, et tormentis excruciatos sacrificare cogebant. Si qui vero id facere detrectarent, eos aut in crucem agebant, aut fractis cruribus, aut alio mortis genere perimebant. Porro cum hæc seditio diutius perseveraret, magistratus ad eos progressi, leges ipsis in memoriam revocarunt, hortantes ut a bello abstinere, et Serapium relinquere vellent. Erat tunc temporis dux militum in Ægypto Romanus: Evagrius vero, præfectus Augustalis erat Alexandriæ. Qui cum nihil proficerent, ea quæ gesta fuerant imperatori significarunt. Eos autem qui in Serapio erant, alacriores reddebat et conscientia

τετολμήκασιν· ἔπειτα δὲ καὶ Ὀλύμπιός τις ἐν φιλο-
σόφου σχήματι συνὼν αὐτοῖς, καὶ πείθων χρῆναι μὴ
ἀμελεῖν τῶν πατρίων, ἀλλ' εἰ δέοι ὑπὲρ αὐτῶν θνή-
σκειν· καθαιρουμένων δὲ τῶν ξοάνων, ἀθυμοῦντας
ὁρῶν, συνεβούλευε μὴ ἐξίστασθαι τῆς θρησκείας,
ὕλην φθαρτὴν καὶ ἰνδάλματα λέγων εἶναι τὰ ἀγάλ-
ματα, καὶ διὰ τοῦτο ἀφανισμὸν ὑπομένειν· δυνάμεις
δέ τινας ἐνοικῆσαι αὐτοῖς, καὶ εἰς οὐρανὸν ἀποπτῆναι.
Καὶ ὁ μὲν, τοιάδε εἰσηγούμενος, καὶ πληθὺν Ἑλλή-
7 νων ἔχων περὶ αὐτὸν, ἐν τῷ Σεραπίῳ διέτριβεν. Ὁ
δὲ βασιλεὺς ἀγγελθέντων τῶν γενομένων, τοὺς μὲν
ἀναιρεθέντας Χριστιανοὺς ἐμακάριζεν, ὡς μαρτυρίας
γερῶν μετασχόντας, καὶ ὑπὲρ τοῦ δόγματος προκιν-
δυνεύσαντας· τοὺς δὲ ἀνελόντας, συγγνώμης τυχεῖν
προσέταξεν, ὡς ἂν ῥᾷστα εἰς Χριστιανισμὸν μετα-
βάλοιεν, τὴν εὐεργεσίαν αἰδούμενοι· καθαιρεθῆναι
δὲ τοὺς ἐν Ἀλεξανδρείᾳ ναοὺς, ὡς αἰτίους στάσεως
8 τῷ δήμῳ. Λέγεται δὲ τῶν περὶ τούτων γραφέντων
παρὰ βασιλέως εἰς τὸ κοινὸν ἀναγνωσθέντων, μέγα

facinoris illius quod admiserant; et præterea Olympius quidam, qui in habitu philosophico cum ipsis degens, suadebat haudquaquam negligenda esse sacra patria, sed pro illis, si res ita postularet, mortem quoque subeundum esse. Cumque eos ob eversionem simulachrorum despondere animos videret, monebat ne idcirco a religione sua absisterent: asserens statuas materiam esse corruptioni obnoxiam, nec aliud quam simulachra; ideoque ad nihilum redigi: quasdam autem potestates in illis habitasse, easque in cœlum avolasse. Atque hic quidem talia docens, et turbam circa se habens Paganorum, in Serapio morabatur. Imperator vero his rebus compertis, Christianos quidem qui occisi fuerant, beatos pronuntiavit, quippe qui honorem martyrii adepti essent, et pro religione fortiter decertassent. Interfectoribus autem veniam dari præcepit, quo facilius ad Christianam religionem transgrederentur, accepti beneficii reverentia inducti. Verum Alexandrinæ urbis templa, utpote quæ populo seditionis causam præberent, solo æquari jussit. Porro cum literæ ea de re ab

ἀναβοῆσαι Χριστιανοὺς, καθότι εὐθὺς ἐκ προοιμίων ἐν αἰτίᾳ τοὺς Ἑλληνιστὰς ἐποιεῖτο. Ἐντεῦθεν δὲ εἰς δέος ἐμπεσόντας τοὺς τὸ Σεράπιον φυλάσσοντας, εἰς φυγὴν τραπῆναι· καταλαβόντας δὲ τὸν τόπον τοὺς 298
9 Χριστιανοὺς, ἐξ ἐκείνου κατασχεῖν. Ὁ δὲ Ὀλύμπιος, ὡς ἐπυθόμην, οὐ πολλῷ πρότερον, ἀωρὶ τῆς νυκτὸς μεθ' ἣν ταῦτα ἐπιγενομενης ἡμέρας συνέβη, ἐπήκουσέ τινος ἐν τῷ Σεραπίῳ Ἀλληλούϊα ψάλλοντος. Ἐπεὶ δὲ τῶν θυρῶν κεκλεισμένων, καὶ ἡσυχίας οὔσης, οὐδένα καθεώρα, φωνῆς δὲ μόνης ἤκουε τὸν αὐτὸν ψαλμὸν μελῳδούσης, ἔγνω τὸ σύμβολον. Καὶ λαθὼν πάντας ἔξεισι τοῦ Σεραπίου, καὶ πλοίου τυ-
10 χὼν εἰς Ἰταλίαν ἀνήχθη[f]. Φασὶ δὲ τοῦ ναοῦ τούτου[g] τότε καθαιρουμένου, τινὰ[h] τῶν καλουμένων ἱερογλυφικῶν χαρακτήρων, σταυροῦ σημείῳ ἐμφερεῖς ἐγκεχαραγμένοις τοῖς λίθοις ἀναφανῆναι· παρ' ἐπι-

[f] ἀνηνέχθη B. Steph. corr. Christ. Scal. Vales.

[g] τούτου post καθαιρουμένου B.

[h] Scribendum omnino est τινὰς. Sequitur enim σταυροῦ σημείῳ ἐμφερεῖς. Quanquam in Fuk. cod. scriptum inveni ἐμφερὲς, mendose ut apparet. Mox scribendum est proculdubio ἐγκεχαραγμένους. Quod confirmat Socrates v. 17. VALESIUS.

imperatore scriptæ publice recitarentur, aiunt Christianos ingentem clamorem sustulisse, eo quod imperator in ipso statim exordio paganis culpam adscriberet. Atque ob hanc causam metu perculsos eos qui Serapium custodiebant, in fugam se conjecisse: et Christianos eum locum occupasse, et ex eo tempore ad hunc usque diem obtinere. Olympius vero, sicut a quibusdam accepi, non multo antea, nocte intempesta, quæ illum diem quo hæc facta sunt præcessit, quendam in Serapio Alleluia canentem audivit. Et quoniam foribus occlusis, cunctisque quiescentibus, neminem conspiciebat, sed solam audiebat vocem psalmum illum modulantem, intellexit quid sibi vellet hoc signum. Et omnibus insciis, templo egressus est: cumque navigium forte nactus esset, in Italiam trajecit. Cæterum dum hoc templum everteretur, aiunt literas quasdam quas hieroglyphicas appellant, signo crucis similes, lapidibus incisas apparuisse: quas cum viri earum rerum periti

στημόνων δὲ τὰ τοιάδε ἑρμηνευθεῖσαν σημᾶναι ταύ-
την τὴν γραφὴν, ζωὴν ἐπερχομένην· τοῦτο δὲ πρό-
φασιν Χριστιανισμοῦ πολλοῖς γενέσθαι τῶν Ἑλλη-
νιστῶν, καθότι καὶ γράμματα ἕτερα τοῦτο τὸ ἱερὸν
τέλος ἕξειν ἐδήλου, ἡνίκα οὗτος ὁ χαρακτὴρ φανῇ.
Τὸ μὲν δὴ Σεράπιον ὧδε ἥλω, καὶ μετ' οὐ πολὺ εἰς
ἐκκλησίαν μετεσκευάσθη, Ἀρκαδίου τοῦ βασιλέως
11 ἐπώνυμον. Εἰσέτι δὲ κατὰ πόλεις τινὰς προθύμως
ὑπερεμάχοντο τῶν ναῶν οἱ Ἑλληνισταί· παρὰ μὲν
Ἀραβίοις, Πετραῖοι, καὶ Ἀρεοπολῖται[i]· παρὰ δὲ Πα-
λαιστινοῖς[k], Ῥαφιῶται καὶ Γαζαῖοι· παρὰ δὲ Φοί-
12 νιξιν, οἱ τὴν Ἡλιούπολιν οἰκοῦντες. Σύρων δὲ μά-
λιστα οἱ τοῦ ναοῦ Ἀπαμείας τῆς πρὸς τῷ Ἀξίῳ πο-
ταμῷ· οὓς ἐπυθόμην ἐπὶ φυλακῇ τῶν παρ' αὐτοῖς
ναῶν, συμμαχίαις χρήσασθαι πολλάκις Γαλιλαίων
ἀνδρῶν, καὶ τῶν περὶ τὸν Λίβανον κωμῶν· τὸ δὲ
τελευταῖον ἐπὶ τοσοῦτον προελθεῖν τόλμης, ὡς Μάρ-
13 κελλον[l] τὸν τῇδε ἐπίσκοπον ἀνελεῖν. Λογισάμενος

[i] Hunc locum correxi ex cod. Fuk. in quo scriptum est Ἀρεοπολῖται. VALESIUS. Ita B. Ἀεροπολῖται Steph. Genev.

[k] Παλαιστηνοῖς B.

[l] καὶ Μαρκέλλον J.

interpretarentur, significare dixerunt vitam venturam. Atque ob hanc causam multos paganorum ad Christianam religionem conversos esse dicunt, cum aliæ quoque literæ significarent, templum illud tunc destructum iri, cum hæc nota cruci similis apparuisset. Et Serapium quidem hoc modo captum atque expugnatum, nec multo post in ecclesiam Arcadio imperatori cognominem immutatum est. Adhuc tamen in aliquot urbibus, pagani pro templis suis acriter dimicabant: in Arabia quidem Petræi et Areopolitæ: in Palæstina Raphienses et Gazæi: in Phœnice vero Heliopolitæ. Apud Syros denique, cives urbis Apameæ quæ ad Axium fluvium sita est: quos quidem accepi, ad tutelam templorum suorum sæpenumero usos esse præsidio Galilæorum, et rusticorum hominum ex vicis qui sunt circa Libanum: tandemque eo audaciæ prorupisse, ut Marcellum ejus loci episcopum interfecerint. Nam cum hic intelligeret, illos non aliter a priori superstitione

γὰρ ὡς οὐκ ἄλλως αὐτοῖς ῥᾴδιον μετατεθῆναι[m] τῆς προτέρας θρησκείας, τοὺς ἀνὰ τὴν πόλιν καὶ τὰς κώμας ναοὺς κατεστρέψατο. Πυθόμενος δὲ μέγιστον εἶναι ναὸν ἐν τῷ Αὐλῶνι, κλῖμα δὲ τοῦτο τῆς Ἀπαμέων χώρας, στρατιώτας τινας καὶ μοναμάχους[n] πα-
14 ραλαβὼν, ἐπὶ τοῦτο ᾔει. Πλησίον δὲ γενόμενος, ἔξω βελῶν περιέμενεν· ἦν γὰρ ποδαλγὸς, καὶ οὔτε μάχεσθαι, οὔτε διώκειν ἢ φεύγειν ἠδύνατο. Ἠσχολημένων δὲ τῶν στρατιωτῶν καὶ μονομάχων περὶ τὸ ἑλεῖν τὸν ναὸν, μαθόντες αὐτὸν τινες τῶν Ἑλληνι- 299
στῶν μεμονῶσθαι, καθ' ὃ μέρος ἐλεύθερον ἦν μάχης τὸ χωρίον, ἐξῆλθον· ἐξαπίνης τε ἐπιστάντες, συνέ-
15 λαβον αὐτὸν, καὶ πυρᾷ ἐμβαλόντες ἀνεῖλον. Καὶ πρὸς τὸ παρὸν ἔλαθον. Ἐπεὶ δὲ τῷ χρόνῳ ἐφωράθησαν, οἱ μὲν Μαρκέλλου παῖδες τιμωρεῖν τῷ πατρὶ ἐσπούδαζον· ἡ δὲ ἀνὰ τὸ ἔθνος σύνοδος διεκώλυσε, μὴ δίκαιον νομίσασα τοιαύτης τελευτῆς τιμωρίαν λαμβάνειν, ἐφ' ᾗ προσῆκε χάριν ὁμολογεῖν τὸν ὧδε

[m] μεταθεῖναι B. quod si legeretur, tum mutandum foret αὐτοῖς in αὐτοὺς, nec male.

[n] μονομάχον B.

facile converti posse, fana quæ in urbe et in pagis erant subvertit. Cumque audiisset maximum templum esse in Aulone, qui tractus est regionis Apamenorum, assumptis secum militibus et gladiatoribus, eo perrexit. Et cum propius accessisset, ipse quidem extra telorum jactum remansit. Erat enim pedibus æger: et neque pugnare, nec persequi aut fugere poterat. Militibus vero et gladiatoribus in expugnatione templi occupatis, quidam ex paganis eum illic solum relictum esse cum cognovissent; qua parte locus pugna vacabat egressi sunt. Et ex improviso supervenientes, eum corripiunt, injectumque in rogum interficiunt. Et in præsenti quidem, quinam fuissent auctores cædis, latuit. Postquam vero processu temporis detecti sunt, filii quidem Marcelli, mortem patris ulcisci cupiebant. Verum provinciæ synodus id prohibuit, æquum non esse censens eam ulcisci mortem, ob quam gratias Deo agere oporteret, tum ipsum mortuum, tum filios ejus

θανόντα, καὶ γένος αὐτοῦ καὶ φίλους, ὡς ὑπὲρ Θεοῦ ἀποθανεῖν ἠξιωμένου· καὶ τὰ μὲν οὕτως ἔσχεν.

ΚΕΦ. ΙϚʹ.

Ὅπως καὶ δι' ἣν αἰτίαν ἀνεπαύθη ὁ ἐν ἐκκλησίᾳ τῶν μετανοούντων πρεσβύτερος· καὶ ἐπεξεργασία περὶ τρόπου μετανοίας.

1 *Ἐν τούτῳ δὲ τὸν ἐπὶ τῶν μετανοούντων τεταγμένον πρεσβύτερον οὐκέτι συνεχώρησεν εἶναι πρῶτος Νεκτάριος, ὁ τὴν ἐκκλησίαν Κωνσταντινουπόλεως ἐπιτροπεύων· ἐπηκολούθησαν δὲ σχεδὸν οἱ πανταχοῦ ἐπίσκοποι. Τοῦτο δὲ τί ποτέ ἐστι, ἢ πόθεν ἤρξατο, ἢ κατὰ ποίαν αἰτίαν ἐπαύσατο, ἄλλοι μὲν ἴσως ἄλλως λέγουσιν. Ἐγὼ δὲ ὡς οἶμαι ἀφηγήσομαι.*
2 *Ἐπεὶ γὰρ τὸ μὴ παντελῶς ἁμαρτεῖν θειοτέρας ἢ κατὰ ἄνθρωπον ἐδεῖτο φύσεως, μεταμελουμένοις δὲ καὶ πολλάκις ἁμαρτάνουσι συγγνώμην νέμειν ὁ Θεὸς παρεκελεύσατο, ἐν δὲ*[o] *τῷ παραιτεῖσθαι συνομολογεῖν τὴν*

[o] Epiphanius Scholasticus hunc locum ita vertit: *Qui vero confiteri refugiunt, majus peccatorum onus acquirunt.* Christophorsonus vero sic interpretatus est: *Et ad impetrandam veniam peccata confiteri necessarium sit.* Quam versionem sequutus est

atque amicos: quippe qui dignus habitus esset qui pro Deo moreretur. Atque hæc quidem ita gesta sunt.

CAPUT XVI.

Quomodo et ob quam causam sublatus est in ecclesia presbyter, qui pœnitentibus præerat: et narratio de modo ac ratione pœnitentiæ.

Per idem tempus Nectarius Constantinopolitanus episcopus, presbyterum illum qui præpositus erat pœnitentibus, primus ex ecclesia sustulit. Cujus exemplum omnes fere episcopi postea sunt secuti. Quid autem hoc sit, et unde originem sumpserit, et quam ob causam sublatum sit, alii quidem aliter fortasse narrant. Ego vero ea dicam quæ sentio. Cum in nullo penitus peccare, divinioris cujusdam naturæ sit, et humana præstantioris; pœnitentibus vero, etiam si sæpius deliquerint, veniam dare Deus præceperit: cumque in petenda venia peccatum necessario confiteri

ἁμαρτίαν χρεὼν, φορτικὸν, ὡς εἰκὸς, ἐξ ἀρχῆς τοῖς ἱερεῦσιν ἔδοξεν, ὡς ἐν θεάτρῳ ὑπὸ μάρτυρι τῷ πλήθει τῆς ἐκκλησίας, τὰς ἁμαρτίας ἐξαγγέλλειν· πρεσβύτερον δὲ τῶν ἄριστα πολιτευομένων, ἐχέμυθόν τε καὶ
3 *ἔμφρονα, ἐπὶ τοῦτο*[p] *τετάχασιν. Ὧι δὴ προσιόντες οἱ ἡμαρτηκότες, τὰ βεβιωμένα ὡμολόγουν· ὁ δὲ, πρὸς τὴν ἑκάστου ἁμαρτίαν, ὅ, τι χρὴ ποιῆσαι ἢ ἐκτίσαι*

etiam Bellarminus. Musculus vero Epiphanii versionem sequutus, sic transtulit: *Et illis qui peccata sua confiteri detrectant, delicta, ut credibile est, aggravantur.* Verum hæc Epiphanii et Musculi interpretatio ferri non potest, quippe quæ sit contra mentem Sozomeni. Sic enim interpretantur, quasi prisci illi ecclesiæ sacerdotes initio decreverint, ut fideles peccata sua palam velut in theatro cunctis astantibus, confiterentur. Atqui plane contrarium dicit Sozomenus, idque jure merito. Nunquam enim ecclesia, utpote bona ac prudens mater, hujusmodi quippiam filiis suis imperavit. Restat ergo interpretatio Christophorsoni, haud penitus reprehendenda. Illud tamen probare non possum, quod verba illa *ἐν τῷ παραιτεῖσθαι* vertit *ad impetrandam veniam:* Cum potius ita vertere debuisset, *in deprecando*, vel *in petenda venia.* Idem tamen utrobique sensus est. Assentior Christophorsono et Savilio, qui post vocem *χρεὼν* subdistinctionem apposuerunt. Nam nisi ita distinguamus, nullus esse poterit hujus loci sensus. Quod cum non vidisset Nicephorus, hunc Sozomeni locum interpolavit hoc modo: *ἡμῖν δὲ τῇ παραβάσει καθάπαξ κληρωσαμένοις τὸ πλημμελεῖν, συγγνώμην κελεύει Θεὸς μεταμέλῳ ἀναλόγῳ χρωμένοις τῷ παραιτεῖσθαι τοῦ λοιποῦ καὶ συνομολογεῖν τὸ ἁμάρτημα* etc. Quæ Langus ita vertit: *Nos autem qui per transgressionem peccandi hæreditatem adivimus, peccatorum veniam eis concedere Deus jussit, qui legitima et convenienti pœnitentia usi, deinceps simul peccatum et aversantur et confitentur.* VALESIUS. *παρεκελεύσατο τὸ δὲ συνομολογεῖν* C., unde recepi *δὲ* in textum, in ceteris Valesium secutus. Suspicor Epiphanium, qui locum non intellexit, pro *φορτικὸν* legisse *φορτίον.*

p *τούτῳ* C.

oporteat: grave ac molestum ab initio jure merito visum est sacerdotibus, tanquam in theatro, circumstante totius ecclesiæ multitudine, crimina sua evulgare. Itaque ex presbyteris aliquem qui vitæ integritate spectatissimus esset, et taciturnitate ac prudentia polleret, huic officio præfecerunt: ad quem accedentes ii qui deliquerant, actus suos confitebantur. Ille vero pro cujusque delicto, quid aut facere singulos, aut luere oporteret, pœnæ loco indicens,

ἐπιτίμιον θεὶς[q], ἀπέλυε, παρὰ σφῶν αὐτῶν τὴν δίκην
4 εἰσπραξαμένους[r]. Ἀλλὰ Ναυατιανοῖς μὲν, οἷς οὐ λόγος μετανοίας, οὐδὲν τούτου ἐδέησεν· ἐν δὲ ταῖς ἄλλαις αἱρέσεσιν, εἰς ἔτι νῦν τοῦτο κρατεῖ· ἐπιμελῶς δὲ καὶ ἐν ταῖς κατὰ δύσιν ἐκκλησίαις φυλάττεται,
5 καὶ μάλιστα ἐν τῇ Ῥωμαίων. Ἐνθάδε γὰρ ἔκδηλός 300 ἐστιν ὁ τόπος τῶν ἐν μετανοίᾳ ὄντων· ἑστᾶσι δὲ κατηφεῖς, καὶ οἱονεὶ πενθοῦντες· ἤδη δὲ πληρωθείσης τῆς τοῦ Θεοῦ λειτουργίας, μὴ μετασχόντες ὧν μύσταις θέμις, σὺν οἰμωγῇ καὶ ὀδυρμῷ πρηνεῖς ἐπὶ
6 γῆς ῥίπτουσι σφᾶς. Ἀντιπρόσωπος δὲ δεδακρυμένος ὁ ἐπίσκοπος προσδραμὼν, ὁμοίως ἐπὶ τοῦ ἐδάφους πίπτει· σὺν ὀλολυγῇ[s] καὶ τὸ πᾶν τῆς ἐκκλησίας πλῆθος δακρύων ἐμπιπλᾶται. Τὸ μετὰ τοῦτο δὲ, πρῶτος ὁ ἐπίσκοπος ἐξανίσταται, καὶ τοὺς κειμένους ἀνίστησι· καὶ ᾗ προσῆκεν ὑπὲρ ἡμαρτηκότων μεταμελουμένων
7 εὐξάμενος, ἀποπέμπει. Καθ' ἑαυτὸν δὲ ἑκοντὶ τα-

[q] ἐπιτιμηθεὶς J. Christ. Scal.

[r] Scribendum est proculdubio εἰσπραξομένους. VALESIUS.

[s] Magis placet scriptura cod. Fuk. συνομολογεῖ etc. Deesse tamen videtur particula conjunctiva. VALESIUS. Huic tamen scripturæ non favet Nicephorus neque Epiphanius in Cassiodori H. T.

absolvebat confitentes, a se ipsis pœnas criminum exacturos. Verum Novatianis quidem qui nullam rationem habent pœnitentiæ, nihil hac re opus fuit. Apud reliquas autem sectas, hic mos etiamnum perseverat. Et in Occidentalibus ecclesiis, ac præcipue in ecclesia Romana studiose observatur. Illic enim in propatulo est pœnitentium locus: in quo illi stant mœsti, ac veluti lugentes. Peractisque jam missarum solemnibus, exclusi a communione sacrorum quæ initiatis præberi mos est, cum gemitu ac lamentis pronos se in terram abjiciunt. Tum episcopus cum lacrymis ex adverso occurrens, pariter ipse humi provolvitur: et universa ecclesiæ multitudo simul confitens, lacrymis perfunditur. Posthæc vero primus exsurgit episcopus, ac prostratos erigit: factaque ut decet precatione pro peccatoribus pœnitentiam agentibus, eos dimittit. Privatim autem unusquisque sua sponte se macerans, aut jejuniis, aut illuvie, aut ciborum abstinentia, vel aliis quibus jussus

λαιπωρούμενος ἕκαστος, ἢ νηστείαις, ἢ ἀλουσίαις, ἢ
ἐδεσμάτων ἀποχῇ, ἢ ἑτέροις οἷς προστέτακται, περι-
μένει τὸν χρόνον, εἰς ὅσον αὐτῷ τέταχεν ὁ ἐπίσκοπος·
τῇ δὲ προθεσμίᾳ, ὥσπερ τι ὄφλημα διαλύσας τὴν
τιμωρίαν, τῆς ἁμαρτίας ἀνίεται[t], καὶ μετὰ τοῦ λαοῦ
ἐκκλησιάζει. Τάδε μὲν ἀρχῆθεν οἱ Ῥωμαίων ἱερεῖς
8 ἄχρι καὶ εἰς ἡμᾶς φυλάττουσιν. Ἐν δὲ τῇ Κωνσταν-
τινουπόλει ἐκκλησίᾳ, ὁ ἐπὶ τῶν μετανοούντων τε-
ταγμένος πρεσβύτερος ἐπολιτεύετο· εἰσότε δὴ γυνή
τις τῶν εὐπατριδῶν, ἐπὶ ἁμαρτίαις αἷς προσήγγειλε
προσταχθεῖσα παρὰ τούτου τοῦ πρεσβυτέρου νη-
στεύειν καὶ τὸν Θεὸν ἱκετεύειν, τούτου χάριν ἐν τῇ
ἐκκλησίᾳ διατρίβουσα, ἐκπεπορνεῦσθαι παρ' ἀνδρὸς
9 διακόνου κατεμήνυσεν. Ἐφ' ᾧ τὸ πλῆθος μαθὸν
ἐχαλέπαινεν ὡς τῆς ἐκκλησίας ὑβρισμένης. Μεγίστη
δὲ διαβολὴ τοὺς ἱερωμένους εἶχεν. Ἀπορῶν δὲ ὅτι
χρήσαιτο τῷ συμβεβηκότι Νεκτάριος, ἀφείλετο τῆς
διακονίας τὸν ἠταιρηκότα. Συμβουλευσάντων δέ τι-
νων συγχωρεῖν ἕκαστον, ὡς ἂν ἑαυτῷ συνειδείη καὶ

[t] In cod. Fuk. post vocem τι-μωρίαν, apposita est virgula. Interpunctionem confirmat Nicephorus. VALESIUS.

est modis, tempus quantumcunque ipsi ab episcopo constitutum est, exspectat. Ubi vero præstitutus dies advenit, tanquam debito quodam persoluto, a pœna commissi sceleris liberatur, et reliquo ecclesiæ populo sociatur. Hæc episcopi urbis Romæ, jam inde ab ultima vetustate ad nostram usque ætatem custodiunt. In Constantinopolitana autem ecclesia, certus presbyter constitutus erat qui pœnitentibus præesset. Donec matrona quædam nobilis, ob peccata quæ confessa fuerat, jussa ab hoc presbytero jejunare, ac Deum suppliciter orare; dum hujus rei causa in ecclesia moraretur, a diacono se stupratam esse prodidit. Quo cognito, plebs omnis vehementer succensuit, eo quod contumelia illata esset ecclesiæ: nec mediocri probro expositi erant sacri ordinis viri. Nectarius vero, cum diu multumque dubitasset quidnam in hoc negotio agendum esset, eum qui stuprum admiserat, diaconatu exuit. Cumque nonnulli consilium ei dedissent, ut unicuique,

θαρρεῖν δύναιτο, κοινωνεῖν τῶν μυστηρίων, ἔπαυσε
10 τὸν ἐπὶ τῆς μετανοίας πρεσβύτερον. Καὶ ἐξ ἐκείνου
τοῦτο κρατοῦν διέμεινεν· ἤδη τῆς ἀρχαιότητος, οἶμαι, 301
καὶ τῆς κατ' αὐτὴν σεμνότητος καὶ ἀκριβείας, εἰς ἀδι-
άφορον καὶ ἠμελημένον ἦθος κατὰ μικρὸν διολισθαί-
νειν ἀρξαμένης· ἐπεὶ πρότερον, ὡς ἡγοῦμαι, μείω
τὰ ἁμαρτήματα ἦν, ὑπό τε αἰδοῦς τῶν ἐξαγγελλόν-
των τὰς σφῶν αὐτῶν πλημμελείας, καὶ ὑπὸ ἀκρι-
11 βείας τῶν ἐπὶ τούτῳ τεταγμένων κριτῶν. Ἐκ ταύτης
δὲ τῆς αἰτίας συμβάλλω, καὶ Θεοδόσιον τὸν βασιλέα
προνοούμενον τῆς τῶν ἐκκλησιῶν εὐκλείας τε καὶ
σεμνότητος, νομοθετῆσαι τὰς γυναῖκας, εἰ μὴ παῖδας
ἔχοιεν καὶ ὑπὲρ ἑξήκοντα ἔτη γένοιντο, διακονίαν
Θεοῦ μὴ ἐπιτρέπεσθαι, κατὰ τὸ ἀποστόλου Παύλου
ῥητὸν πρόσταγμα· τὰς δὲ κειρομένας τὰς κεφαλὰς
ἀπελαύνεσθαι τῶν ἐκκλησιῶν· τοὺς δὲ ταύτας προσ-
ιεμένους ἐπισκόπους ἀφαιρεῖσθαι τῆς ἐπισκοπῆς.

prout sibi conscius esset, ac fiduciam sui haberet, ad sacrorum mysteriorum communionem accedendi liberam faceret potestatem, presbyterum qui agendæ pœnitentiæ præpositus erat, abolevit. Atque ex eo tempore id firmum ac stabile permansit; vetustate, eique adjuncta gravitate ac severitate, jam tum, ut opinor, in laxam ac dissolutam vivendi rationem paulatim delapsa. Nam antea, ut equidem existimo, minora erant peccata, tum ob verecundiam eorum qui sua ipsi delicta enuntiabant, tum ob severitatem judicum qui ad id erant constituti. Atque hac de causa arbitror Theodosium imperatorem, cum ecclesiarum honestati et existimationi prospiceret, lege lata cavisse, ne mulieres ad sacrum ministerium admitterentur, nisi liberos haberent, et sexagesimum ætatis annum implessent, juxta expressum mandatum apostoli Pauli: utque feminæ quæ comam totondissent, arcerentur ab ecclesia: episcopi vero qui eas admittere ausi essent, sacerdotio privarentur.

ΚΕΦ. ΙΖ'.

Ὡς ὑπερόριον Θεοδόσιος ὁ μέγας τὸν Εὐνόμιον ἐποίησε· καὶ περὶ Θεοφρονίου τοῦ διαδόχου αὐτοῦ, καὶ περὶ Εὐτυχίου, καὶ Δωροθέου, καὶ τῶν αἱρέσεων αὐτῶν· καὶ περὶ τῶν λεγομένων Ψαθυριανῶν· καὶ ὡς ἡ τῶν Ἀρειανῶν αἵρεσις εἰς διαφόρους μοίρας διεχωρίσθη, καὶ ὡς οἱ ἐν Κωνσταντινουπόλει μᾶλλον ἡνώθησαν.

1 Ἀλλὰ ταῦτα μὲν ᾗ ἂν ἑκάστῳ δοκῇ, ταυτὶ σκοπείτω. Ὁ δὲ βασιλεὺς ὑπερορίαν φυγὴν Εὐνομίου[u] τότε κατεδίκασεν. Ἔτι γὰρ ἐν Κωνσταντινουπόλει ἐν προαστείοις διατρίβων, ἢ ἐν οἰκίαις, καθ' ἑαυτὸν ἐκκλησίαζε, καὶ τοὺς λόγους, οὓς συνεγράψατο, ἐπεδείκνυτο· καὶ πολλοὺς ἔπειθεν ὁμοίως φρονεῖν· ὡς ἐν ὀλίγῳ πολυάνθρωπον γενέσθαι λαὸν τῆς ἐπωνύμου αὐτῷ αἱρέσεως. Ἀλλ' ὁ μὲν οὐ πολλῷ ὕστερον τῆς φυγῆς τελευτήσας, ἔτυχε τῆς ἐν τῇ πατρίδι ταφῆς. Κώμη δὲ αὕτη Καππαδοκῶν, Δακόρα ἦν δ' ὀνομαζο-
2 μένη, νομοῦ τῆς πρὸς τῷ Ἀργαίῳ Καισαρείας. Θεοφρόνιος δὲ, ὃς ὑπ' αὐτῷ διδασκάλῳ τοὺς ὁμοίους

[u] In cod. Fuk. Εὐνομίῳ, male, ut opinor. VALESIUS.

CAPUT XVII.

Quomodo Theodosius Eunomium in exsilium misit: et de Theophronio Eunomii successore. Item de Eutychio et Dorotheo, deque eorum opinionibus: et de iis qui Psathuriani dicuntur. Et quomodo Arianorum hæresis in diversas factiones divisa est; et ii qui Constantinopoli erant Ariani, magis inter se uniti sunt.

Verum de his unusquisque pro arbitrio suo judicet. Porro imperator Eunomium eo tempore in exsilium misit. Adhuc enim ille Constantinopoli degens, in suburbanis, aut in privatis domibus, conventus ecclesiasticos seorsum agebat, et libros a se conscriptos recitabat, multosque in sententiam suam pertrahebat: adeo ut brevi temporis spatio ingens esset numerus eorum, qui hæresim nominis illius sequebantur. Verum ille paulo postquam in exsilium missus fuisset, fato functus, sepulturam in patria sua sortitus est. Vicus hic erat Cappadocum, nomine Dacora, situs in territorio Cæsareæ, ad Argæum montem. Theophronius vero, et ipse Cappadox, qui ab Eunomio in eadem doctrina fuerat in-

ἐπαιδεύθη λόγους, Καππαδόκης δὲ καὶ οὗτος, συνί-
στατο τοῖς αὐτοῦ δόγμασι. Μετρίως δὲ διὰ τῶν
Ἀριστοτέλους μαθημάτων ἐλθὼν, ἐπιτηδείαν πρὸς εἴ-
δησιν τῶν παρ' αὐτοῖς συλλογισμῶν εἰσαγωγὴν κατ- 302
3 έλιπεν, ἣν περὶ γυμνασίας νοῦ ἐπέγραψεν. Εἰς ἀτό-
πους δὲ διαλέξεις ἐμπεσὼν, ὡς ἐπυθόμην, οὐκ ἠξίωσεν
ἐπὶ τῶν αὐτῶν μένειν τῷ διδασκάλῳ λόγων. Πολυ-
πραγμονῶν δὲ, καὶ ἐκ τῶν κειμένων ταῖς ἱεραῖς γρα-
φαῖς ὀνομάτων κατεσκεύαζεν, ὡς τὸ θεῖον προγίνωσκον
τὸ μὴ ὂν, γίνωσκον δὲ τὸ ὂν, καὶ τοῦ γεγονότος με-
μνημένον, οὐκ ἀεὶ ὡσαύτως ἔχει, πρός τε τὸ μέλλον,
καὶ παρὸν, καὶ παρῳχηκὸς μεταβάλλον τὴν γνῶσιν.
Ἐκ τοιούτων δὲ δογμάτων οὐδὲ τοῖς Εὐνομίου φορη-
τὸς εἶναι δόξας, ἐκβληθεὶς τῆς αὐτῶν ἐκκλησίας τοὺς
4 ἀπ' αὐτοῦ καλουμένους Θεοφρονιανοὺς ἐποίησεν. Οὐκ
εἰς μακρὰν δὲ καὶ Εὐτύχιός[x] τις ἐν Κωνσταντινου-
πόλει τὰ Εὐνομίου φρονῶν, ἐπώνυμον αὐτῷ κατέλιπεν
αἵρεσιν. Ζητουμένου γὰρ εἰ τὴν ἐσχάτην ὥραν γινώ-
σκει ὁ Υἱὸς, καὶ εἰς ἀναίρεσιν τούτου, τῶν εἰρημένων

[x] Εὐψύχιος Niceph.

stitutus, opiniones ejus postea defendit. Qui cum in Aristotelis philosophia mediocriter exercitatus esset, introductionem ad percipienda illorum argumenta accommodatam conscripsit, cui titulum fecit de exercitatione mentis. Cæterum in absurdas disputationes delapsus, in iisdem cum præceptore suo opinionibus permanere haudquaquam dignatus est. Nam curiosius disserens; ex verbis quæ leguntur in sacris voluminibus, probare conatus est, Deum qui futura prænosceret, præsentia vero sciret, et præterita meminisset, non eodem semper modo se habere; sed pro ratione futuri, præsentis, ac præteriti, mutare cognitionem. Ob hujusmodi autem opiniones cum ne ipsis quidem Eunomianis ferendus videretur, ex eorum ecclesia ejectus, hæresim nominis sui condidit. Nec multo post Eutychius quidam ex Eunomianorum secta, degens Constantinopoli, hæresim alteram suo nomine appellatam reliquit. Nam cum quæreretur, utrum Filius cognitam haberet horam novissimam, et verba illa evangelii, quibus solus Pater eam

ἐν τοῖς εὐαγγελίοις ὅτι μόνος ὁ Πατὴρ οἶδεν, ἀντικεῖ-
σθαι δοκούντων, ἰσχυρίζετο μηδὲ ταύτης τῆς γνώσεως
ἄμοιρον εἶναι τὸν Υἱὸν, ὡς ἀνενδεῶς[y] λαβόντα πάντα
5 παρὰ τοῦ Πατρός. Μὴ προσιεμένων δὲ τὸν λόγον
τῶν τότε προεστώτων τῆς αἱρέσεως[z], ἑαυτὸν χωρίσας
τῆς κοινωνίας, ἀφίκετο πρὸς Εὐνόμιον ἐν τῇ ὑπερορίᾳ
ὄντα. Καταλαβόντος δὲ ἤδη διακόνου καὶ ἑτέρων, οἳ
ἐκ τῆς Κωνσταντινουπόλεως ἀπεστάλησαν, διαβα-
λεῖν[a] τε αὐτὸν, καὶ εἰ δεήσοι διαλεξόμενοι[b], μαθὼν
Εὐνόμιος ἐφ᾿ ᾧ παρεγένοντο, τοὺς Εὐτυχίου λόγους
6 ἐπῄνεσε. Καὶ συνηύξατο αὐτῷ, καίπερ οὐ θεμιτὸν ἐν[c]
αὐτοῖς συνεύχεσθαι τοῖς ἀλλαχόθι δίχα γραμμάτων
ἀφικνουμένοις, ἃ πρὸς σφᾶς αὐτοὺς ὁμοδόξους δηλοῖ
διὰ σημείων ἐγγραφομένων ταῖς ἐπιστολαῖς, ἀγνώ-
7 στων τοῖς ἄλλοις. Οὐκ εἰς μακρὰν δὲ ταύτης τῆς
ζητήσεως Εὐνομίου τελευτήσαντος, οὐ προσίετο τὸν
Εὐτύχιον ὁ προεστὼς τῆς ἐν Κωνσταντινουπολει αἱ-

[y] ἂν ἐνδεῶς C.

[z] τῆς αἱρέσεως om. B. Steph. inser. Christ. Curt. Scal. Vales. Vulgata tamen lectio sanior videtur, quam confirmat etiam Nicephorus. VALESIUS.

[a] διαλαβεῖν, suprascr. βαλ, B.

[b] In cod. Fuk. διαζευξόμενοι.

[c] Mallem scribere θεμιτὸν ὂν αὐτοῖς. VALESIUS.

horam nosse dicitur, id negare viderentur de Filio; ille asseruit, Filium ne hujus quidem scientiæ expertem esse, quippe qui cuncta sine exceptione a Patre accepisset. Sed cum sectæ Eunomianorum antistites eam sententiam non probarent, seipsum a reliquorum communione sejungens, ad Eunomium qui tum in exsilio degebat, perrexit. Cum autem diaconus et alii quidam eum prævenissent, ex urbe Constantinopolitana missi ut ipsum accusarent, aut si opus foret, cum eo disputarent; Eunomius certior factus cujus rei causa venissent, Eutychii sententiam comprobavit. Quin etiam una cum illo oravit, quamvis nefas sit apud ipsos orare cum iis qui aliunde adveniunt absque literis, quæ illos suæ communionis esse testantur per notas quasdam literis inscriptas, quæ reliquis ignotæ sunt. Porro cum Eunomius non diu post hanc controversiam e vivis abiisset, is qui Eunomianis præsidebat Constantinopoli, Eutychium admittere recusavit, præ invidia illi infensus, quod

*ρέσεως, ὑπὸ ζηλοτυπίας ἀπεχθανόμενος, ὅτι μηδὲ
κληρικοῦ ὄντος ἐναντίος εἶναι σπουδάζων τοῖς αὐτοῦ
λόγοις, οὐχ οἷός τε ἦν διαλύειν τὸ πρόβλημα. Ἐν-
τεῦθέν τε μετὰ τῶν ὁμοίως αὐτῷ φρονούντων, εἰς
8 ἰδίαν αἵρεσιν ἐχωρίσθη Εὐτύχιος. Τῆς μέντοι περὶ
τὴν θείαν βάπτισιν διαφορᾶς αὐτόν τε καὶ Θεοφρό-
νιον ὁ πολὺς λόγος ἐπαιτιᾶται. Τάδε ἐξ ὧν ἐπυθό-
μην ἔγραψα, πρὸς σύντομον εἴδησιν τῶν αἰτιῶν, ἀφ' 303
ὧν Εὐνομιανοὶ διῃρέθησαν. Ἐπεξελθεῖν δὲ πάντας
τοὺς διὰ τοῦτο κινηθέντας λόγους, μακρὸν ἂν εἴη·
κᾀμοὶ δὲ οὐ ῥᾴδιον, ἐπεὶ μηδὲ ἐμπείρως ἔχω τῶν τοι-
9 ούτων διαλέξεων. Περὶ δὲ τοῦτον τὸν χρόνον καὶ
τοῖς ἐν Κωνσταντινουπόλει Ἀρειανοῖς ἀνεφύη ζήτη-
σις, εἰ πρὶν εἶναι τὸν Υἱὸν, ὡς ἐξ οὐκ ὄντων παρ'
αὐτοῖς ὁμολογούμενον, δύναιτο καλεῖσθαι Πατὴρ ὁ
Θεός. Καὶ Δωρόθεος μὲν, ὃς ἀντὶ Μαρίνου μετα-
κληθεὶς ἐκ τῆς Ἀντιοχείας προΐστατο ταύτης τῆς
αἱρέσεως, ὡς πρός τι τοῦ ὀνόματος ὄντος, πρὶν τὸν
Υἱὸν ὑποστῆναι μὴ καλεῖσθαι Πατέρα τὸν Θεὸν ἀπε-
10 φήνατο. Μαρῖνος δὲ τοὐναντίον ἰσχυρίζετο, καὶ μὴ*

cum assertionem illius qui ne clericus quidem erat, acriter impugnare vellet, quæstionem solvere minime potuisset. Ex eo tempore Eutychius cum iis qui sententiam ipsius sequebantur, secedens, peculiarem sectam conflavit. Hunc porro et Theophronium, plerique affirmant auctores fuisse ejus discrepantiæ, quæ est apud Eunomianos in tradendo sacro baptismate. Atque hæc prout comperi, breviter conscripsi, ut causæ, propter quas Eunomiani inter se divisi sunt, summatim cognoscerentur. Omnes autem controversias quæ de hac re motæ sunt, singillatim explicare prolixum esset: ac mihi quidem difficile, quippe qui hujusmodi disputationum haudquaquam peritus sim. Per idem fere tempus, inter Arianos quoque Constantinopoli degentes quæstio exorta est, utrum antequam Filius esset, siquidem illum ex nihilo ortum esse affirmant, potuerit Deus appellari Pater. Ac Dorotheus quidem, qui Antiochia accitus in locum Marini, Arianis præsidebat, cum nomen istud relativum sit, antequam Filius subsisteret, Deum non potuisse vocari Patrem pronuntiavit. Marinus vero contra-

ὑφεστῶτος τοῦ Υἱοῦ Πατέρα ἀεὶ εἶναι τὸν Πατέρα
ἐδόξαζεν· ἢ οὕτως ἔχων γνώμης, ἢ καθὸ Δωροθέῳ
διάφορος ἦν, προκριθέντι[d] *προεστάναι τῆς αὐτῶν ἐκ-*
κλησίας. Ἐκ ταύτης δὲ τῆς αἰτίας εἰς ἑκάτερον
11 *διεκρίθη τὸ πλῆθος. Δωροθέου δὲ σὺν τοῖς αὐτῷ*
πειθομένοις ἐφ' ὧν κατεῖχεν εὐκτηρίων οἴκων μείναν-
τος, ἑτέρους οἰκοδομήσαντες οἱ ἀμφὶ Μαρῖνον ἰδίᾳ
ἐκκλησίαζον. Ἐπωνομάζοντο δὲ Ψαθυριανοὶ ἤτοι τῶν
Γότθων· τὸ μὲν ὅτι Θεόκτιστός τις Ψαθυροπώλης,
Ποπάνου δὲ τοῦτο τὸ εἶδος, προθύμως ταύτῃ τῇ δόξῃ
συνίστατο· Γότθων δὲ, καθότι καὶ Σελίνας[e] *ὁ τού-*
12 *των ἐπίσκοπος*[f] *ὁμοίως ἐδόξαζεν. Ἐπακολουθήσαν-*
τες δὲ τούτῳ σχεδὸν[g] *πάντες βάρβαροι σὺν αὐτοῖς*
ἐκκλησίαζον. Πειθήνιοι γὰρ ἐς τὰ μάλιστα τῷ Σε-
λίνῳ ἐτύγχανον, ὑπογραφεῖ τε γενομένῳ καὶ διαδόχῳ
Οὐλφίλα τοῦ παρ' αὐτοῖς ἐπισκοπήσαντος, καὶ ἐπὶ
ἐκκλησίας ἱκανῷ διδάσκειν, οὐ μόνον κατὰ τὴν πά-

[d] *προκριθέντος*, *-τος* rescripto a manu recenti, B. Steph. *προκριθέντι* Christ. Scal. *προσκριθέντι* J. [ut apud Reading.]

[e] *Σεληνᾶς* Socrat. v. 23, 8.

[f] Ita Vales. *ἐπίσκοπος τούτων* B. Steph. Genev.

[g] Ita Vales. *σχεδὸν τούτῳ* B. Steph. Genev.

rium asseruit, et Patrem semper esse Patrem, etiam Filio non subsistente, censuit: seu quod revera ita sentiret, seu quia infensus erat Dorotheo, qui in gubernanda Arianorum ecclesia ipsi prælatus esset. Hanc ob causam plebs Arianorum in duas partes divisa est. Cumque Dorotheus una cum sectatoribus suis, in ecclesiis quas occupaverat permaneret, hi qui cum Marino erant, constructis aliis ecclesiis, separatim conventus egerunt. Vocabantur autem isti Psathyriani, vel Gothorum. Psathyriani quidem, propterea quod Theoctistus quidam Psathyropola, est hoc Popani genus, pro hac opinione acriter decertaret. Gothorum vero, eo quod Selina Gothorum episcopus, idem cum ipsis sentiret. Omnes enim propemodum barbari hunc sequentes, cum istis collectas celebrabant. Selinæ quippe parebant libentissime, utpote qui amanuensis et successor fuisset Ulphilæ ipsorum quondam episcopi, et idoneus esset ad docendum populum in ecclesia, non solum patria

τριον αὐτῶν φωνὴν, ἀλλὰ γὰρ καὶ τὴν Ἑλλήνων.
13 Οὐ πολλῷ δὲ ὕστερον διαφορᾶς περὶ προεδρίας γενο-
μένης Μαρίνῳ πρὸς Ἀγάπιον, ὃν ἐπίσκοπον τῶν ἐν
Ἐφέσῳ ὁμοδόξων ἐχειροτόνησε, διακριθέντες ἀλλή-
λων μονονουχὶ πρὸς σφᾶς ἐπολέμουν, ἐπαμυνόντων
Ἀγαπίῳ τῶν Γότθων. Ἐκ ταύτης δὲ τῆς αἰτίας
λέγεται πολλοὺς τῶν ἐνθάδε κληρικῶν, μεμφομένους
τὴν τῶν ἡγουμένων[h] φιλοτιμίαν, τῇ καθόλου ἐκκλησίᾳ
14 κοινωνῆσαι. Ὧδε μὲν Ἀρειανοὶ τὴν ἀρχὴν ἐχωρί-
σθησαν, καὶ εἰσέτι νῦν ἐν αἷς εἰσὶ πόλεσιν ἰδίᾳ ἐκ-
κλησιάζουσι· τοὺς δὲ ἐν Κωνσταντινουπόλει, ἐπὶ
τριάκοντα καὶ πέντε ἔτεσι διενεχθέντας πρὸς σφᾶς,
εἰς[i] ὁμόνοιαν ὕστερον συνῆψεν ὁμόδοξος ὢν αὐτοῖς
Πλινθᾶς, ἀνὴρ ὑπατικὸς, ἵππου τε καὶ πεζῆς στρατιᾶς
ἡγεμὼν, δυνατώτατος τότε ἐν τοῖς βασιλείοις γεγονώς.
Καὶ εἰς ταυτὸν συνελθόντες, ἐψηφίσαντο μή ποτε
ταύτην τὴν ζήτησιν εἰς διάλεξιν ἄγειν. Καὶ τὰ μὲν
ὕστερον ὧδε ἀπέβη.

[h] τὴν τῶν κληρικῶν C. [i] ἐς B.

ipsorum lingua, verum etiam Græca. Cæterum haud multo post orta de primatu controversia inter Marinum et Agapium, quem Marinus sectæ suæ apud Ephesum episcopum ordinaverat; a se invicem segregati, bellum quodammodo inter se gesserunt, Gothis Agapio auxilium ferentibus. Qua de causa multos qui illic erant clericos, præsulum suorum ambitionem damnantes, ad ecclesiæ catholicæ communionem transiisse ferunt. Hunc in modum Ariani inter se primum divisi sunt, et ad hunc usque diem in iis quas incolunt civitatibus separatim colliguntur. Eos vero qui sunt Constantinopoli, cum quinque ac triginta annorum spatio inter se dissensissent, in concordiam postea reduxit Plintha, ex consule magister utriusque militiæ; qui tum temporis in palatio plurimum poterat. Atque illi mox in unum congregati, decreverunt communi suffragio, ne quis unquam de hac quæstione disputaret. Et hæc quidem postea hunc exitum habuerunt.

ΚΕΦ. ΙΗ'. 304

Ὅτι καὶ Ναυατιανοὶ ἑτέραν αἵρεσιν τῶν Σαββατιανῶν συνεστήσαντο· καὶ περὶ τῆς ἐν Σαγγάρῳ συνόδου· καὶ περὶ τῆς ἑορτῆς τοῦ Πάσχα διεξοδικώτερον διήγησις.

1 Ἐπὶ δὲ τῆς παρούσης ἡγεμονίας καὶ Ναυατιανοὶ πρὸς σφᾶς διενεχθέντες περὶ τῆς Πασχαλίας ἑορτῆς, ἑτέραν αἵρεσιν τῶν καλουμένων Σαββατιανῶν συνεστήσαντο. Σαββάτιος γὰρ πρεσβύτερος ὑπὸ Μαρκιανοῦ χειροτονηθεὶς, ἅμα Θεοκτίστῳ καὶ Μακαρίῳ τοῖς συμπρεσβυτέροις ἑπόμενος τοῖς ἐν Παζουκώμῃ[k] συνεληλυθόσιν ἐπὶ τῆς Οὐάλεντος βασιλείας, ἠξίουν[l] ἅμα τοῖς Ἰουδαίοις τὴν τοῦ Πάσχα ἑορτὴν ἐπιτελεῖν. 2 Ἀποστὰς δὲ τῆς ἐκκλησίας, τὰ μὲν πρῶτα, πῇ μὲν ἀσκήσεως ἕνεκα, ἄριστα γὰρ ἐβίου, πῇ δέ τινας ὑπονοεῖν ἀναξίους κοινωνίας μυστηρίων, ἐσκήπτετο. Ὡς δὲ ἐγεγόνει δῆλος νεωτερίζων, ἐμέμφετο μὲν Μαρκιανὸς τὴν ἐπ' αὐτῷ χειροτονίαν· ἄμεινόν τε ἦν ἐπὶ ἀκάνθας ἐπιτεθῆναι[m] τὰς χεῖρας ἢ ἐπ' αὐτὸν, πολ-

[k] Παζουκώμει B. Curt. Παζουμωμει Steph. mendose. Πάζῳ κώμῃ Christ. at infra Παζουκώμῃ. Πάζου κώμῃ Scal.

[l] Scribendum est ἠξίου, ut apparet. VALESIUS.

[m] ἐπιτεθεῖναι B. ἀκάνθαις ἐπιτεθεικέναι C. ἐπ' ἀκάνθαις τεθεικέναι Socrat. v. 21, 10.

CAPUT XVIII.

Quomodo Novatiani aliam hæresim, Sabbatianorum scilicet, conflarunt. Item de synodo apud Sangarum, et de festo die Paschæ longa digressio.

Ejusdem imperatoris temporibus, Novatiani quoque de Paschali festo inter se dissidentes, alteram sectam, eorum qui Sabbatiani dicuntur, condiderunt. Nam Sabbatius qui a Marciano presbyter ordinatus fuerat, una cum Theoctisto et Macario compresbyteris, sequens decretum eorum qui Valentis principatu in Pazucome convenerant, festum Paschæ diem cum Judæis celebrandum esse contendebat. Cumque ab ecclesia recessisset, initio quidem abstinentiæ et arctioris disciplinæ causa, vivebat enim sanctissime, et propterea quod suspicaretur quosdam communione indignos esse, se abscessisse simulabat. Ubi vero deprehensum est eum res novas agitare, Marcianus quidem de ordinatione illius querebatur. Ac sæpenumero, ut aiunt, exclamare solitus erat, satius

3 λάκις, φησὶν[n], ἀνεβόα. Διατεμνομένην δὲ αὐτῷ τὴν ἐκκλησίαν εἰς ἕτερον πλῆθος ὁρῶν, συνεκάλεσεν ὁμοδόξους ἐπισκόπους εἰς Σάγγαρον[o]· χωρίον δὲ τοῦτο Βιθυνίας, οὐκ ἀπὸ πολλοῦ Ἑλενουπόλεως ἐπὶ τῆς θαλάσσης κείμενον· ἔνθα δὴ συνελθόντες, μετεκα-
4 λέσαντο Σαββάτιον. Ἐπεὶ δὲ τῆς λύπης τὴν αἰτίαν ἀπαιτηθεὶς λέγειν, ἐπῃτιᾶτο τῆς ἑορτῆς τὸ διάφορον, ὑπονοήσαντες ἔρωτι προεδρίας τάδε αὐτὸν σκήπτεσθαι, ὅρκον ἀπῄτησαν ὡς ἐπισκοπὴν οὐκ ἂν ἕλοιτό ποτε. Τοῦ δὲ τάδε ἐνωμότως ὁμολογήσαντος, λογισάμενοι μὴ ἀξιόχρεων εἶναι ταύτην τὴν αἰτίαν εἰς χωρισμὸν κοινωνίας, ἅπαντας μὲν ὁμονοεῖν καὶ ἅμα ἐκκλησιάζειν ἐψηφίσαντο· ἕκαστον δὲ ᾗ ἂν αὐτῷ δοκῇ, ταύτην τὴν ἑορτὴν ἐπιτελεῖν. Καὶ κανόνα περὶ τούτου ἔθεντο, ὃν ἀδιάφορον ἐπωνόμασαν. Καὶ τὰ
5 μὲν ὧδε ἔδοξε τοῖς ἐν Σαγγάρῳ συνελθοῦσιν. Ἐξ ἐκείνου δὲ Σαββάτιος τοῖς Ἰουδαίοις ἑπόμενος, εἰ μὴ κατὰ ταυτὸν συνηνέχθη πάντας ἄγειν τὴν ἑορτήν,

[n] Legendum est φασίν.
[o] ἐν Ἀγγάρῳ Socrat., ubi vide quæ adnotavimus.

fuisse ut super spinas, quam ut super caput illius, manus imponeret. Cum autem ecclesiæ suæ populum in duas partes divisum videret, sectæ suæ episcopos Sangarum convocavit. Est hic locus in Bithynia, ad mare situs haud procul Helenopoli. Illic igitur congregati, Sabbatium accersunt. Qui jussus causam doloris sui dicere, cum discrepantiam festi allegaret, suspicati episcopi eum episcopatus cupiditate ductum ista prætexere, jusjurandum ab illo exegerunt, quod episcopatum nunquam suscepturus esset. Id cum ille interposita sacramenti fide promisisset, illi causam hanc non satis idoneam esse arbitrati ob quam communio divelleretur, decreverunt ut omnes quidem inter se consentirent, et collectas una celebrarent: unusquisque vero pro suo arbitratu festum diem perageret. Eaque de re canonem scripserunt, quem adiaphoron appellarunt. Et hæc quidem decreta sunt ab illis qui tum Sangari convenerant. Exinde vero Sabbatius Judæos secutus, nisi forte contigisset ut omnes eodem tempore simul Pascha celebrarent, ipse præveniens, ut moris est, jejunabat, et privatim solemnia

φθάνων ὡς ἔθος ἐνήστευε· καὶ καθ' ἑαυτὸν διὰ τῶν νενομισμένων ἐπετέλει τὸ Πάσχα. Τῷ δὲ σαββάτῳ ἀφ' ἑσπέρας ἐπὶ τὸν δέοντα καιρὸν ἐν ἀγρυπνίᾳ καὶ ταῖς προσηκούσαις εὐχαῖς διαγινόμενος, τῇ ἑξῆς ἡμέρᾳ κοινῇ πᾶσιν ἐκκλησίαζε καὶ τῶν μυστηρίων μετεῖχε.

6 Καὶ τὰ μὲν πρῶτα τὸ πλῆθος ἐλάνθανεν· ὡς δὲ τῷ χρόνῳ ἐντεῦθεν ἐπίσημος ἐγένετο, πολλοὺς τοὺς ζηλοῦντας ἔσχε, καὶ μάλιστα Φρύγας καὶ Γαλάτας, οἷς πάτριον ὧδε τὴν ἑορτὴν ταύτην ἐπιτελεῖν. Ὕστερον δὲ εἰς τὸ προφανὲς ἀποστάς, τῶν αὐτῷ πειθομένων τὴν ἐπισκοπὴν ἀνεδέξατο, ὡς ἐν καιρῷ λελέξεται.

7 Ἐμοὶ δὲ θαυμάζειν ἔπεισι τοῦδε τοῦ ἀνδρός, καὶ τῶν ἑπομένων αὐτῷ, ὅτι τάδε ἐνεωτέρισαν· Ἑβραίων τῶν πάλαι, ὡς ἱστορεῖ Εὐσέβιος, ὑπὸ μάρτυσί τε Φίλωνι 305 καὶ Ἰωσήππῳ καὶ Ἀριστοβούλῳ καὶ ἑτέροις πλείστοις, μετὰ ἐαρινὴν ἰσημερίαν τὰ διαβατήρια θυόντων, ἡλίου τὸ πρῶτον δωδεκατημόριον τμῆμα ὁδεύοντος, ὃ κριὸν Ἕλληνες ὀνομάζουσιν· ἐν διαμέτρῳ δὲ τῆς σελήνης τεσσαρεσκαιδεκαταίας τὴν πορείαν ποιουμένης.

8 Ἐπεὶ καὶ αὐτοὶ Ναυατιανοὶ οἷς ἀκριβείας μέλει ἰσχυ-

Mosaïcæ legis observans, Pascha peragebat. Die vero sabbati, a vespere ad statutum usque tempus, vigiliis et solitis orationibus vacans, sequenti die simul cum reliquis omnibus in ecclesiam conveniebat, et sacra mysteria percipiebat. Et initio quidem, multitudinem latuit: progressu vero temporis, cum ea de causa insignis esset, multos imitatores habuit, ac præsertim Phrygas et Galatas, quibus patrius mos est festum Paschæ ita celebrare. Tandem vero palam deficiens, eorum qui sententiam ipsius sequebantur, episcopatum suscepit, sicut suo loco dicemus. Mihi vero mirari subit tum hominem istum, tum eos qui illum sectati sunt, cur hanc novitatem induxerint: cum veteres Hebræi, ut refert Eusebius, Philonis, Josephi, Aristobuli, aliorumque complurium adducens testimonium, post vernum æquinoctium Pascha immolaverint, quando sol primum signum zodiaci percurrit, quod Græci Arietem vocant, luna vero quartadecima, ex opposito cursum suum peragit. Sed et ipsi Novatiani, qui sunt alioqui exactissimæ diligen-

ρίζονται, ὡς οὔτε αὐτοῖς, οὔτε τῷ ἀρχηγῷ τῆς αἱρέ-
σεως, τοῦτο πρότερον ἦν ἔθος· ἀλλ' ὑπὸ τῶν ἐν
Παζουκώμῃ[p] συνεληλυθότων ἐνεωτερίσθη· εἰσέτι τε
καὶ νῦν ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ ὁμοδόξους αὐτοῖς
σὺν τοῖς ἄλλοις Ῥωμαίοις ἑορτάζειν· οὓς οὔποτε
ἄλλως ἑορτάσαι ὁ[q] παρελθὼν χρόνος ἤλεγξε, Πέτρου
καὶ Παύλου τῶν ἀποστόλων τῇ παραδόσει χρωμέ-
9 νους. Προσέτι δὲ καὶ Σαμαρεῖται, οἱ τοῦ Μωσέως
νόμου τὰ μάλιστα ζηλωταὶ τυγχάνουσι, πρὶν τὸν νέον
τελεσφορεῖσθαι καρπὸν, οὐκ ἀνέχονται ταύτην ἐπι-
τελεῖν τὴν ἑορτήν· νέων γὰρ, φασὶν, αὐτὴν ἑορτὴν
ὁ νόμος καλεῖ· μή ποτε τούτων[r] φανέντων, ἑορτάζειν
οὐ θέμις· ὡς ἐξ ἀνάγκης[s] φθάνειν[t] τὴν ἐν τῷ ἦρι
10 ἰσημερίαν. Τοὺς μὲν Ἰουδαίους περὶ τοῦτο μιμου-
μένους, θαυμαστὸν[u] ὅτι μὴ τὴν παρ' αὐτοῖς ἀρχαιό-
τητα μᾶλλον ἐπῄνεσαν. Ὡς ἔοικε δὲ, πλὴν τούτων

p Παζουκώμει B.

q Ita B. Steph. Genev. ὁ om. Vales.

r Scribendum puto μήπω δὲ τούτων. Id est, nondum novis frugibus visis. At μήποτε eundem sensum non habet, sed significat *nunquam*. VALESIUS.

s ἐξ ἀναστάσης C.

t Forte legendum μὴ φθάνειν, quæ lectio convenit cum Socrate, qui ait, v. 22, Σαμαρεῖς ἀεὶ μετ' ἰσημερίαν τὴν ἑορτὴν ταύτην ἐπιτελοῦσιν. W. Lowth. READING.

u θαυμαστέον C.

tiæ, affirmant nec sibi ipsis, nec auctori sectæ suæ, hunc morem ab initio fuisse: verum ab iis qui in Pazucome convenerunt, id primitus innovatum: et in hunc usque diem, consortes ipsorum qui sunt in urbe Roma, simul cum reliquis Romanis id festum celebrare. Qui quidem nunquam aliter celebrasse superiori tempore deprehensi sunt, cum apostolorum Petri ac Pauli traditionibus uterentur. Præterea Samaritani, qui Mosaïcæ legis observatores sunt studiosissimi, hoc festum nunquam prius celebrare sustinent, quam novæ fruges ad maturitatem pervenerint. Hæc enim festivitas novorum in lege dicitur. Quare novis fructibus nondum visis, nefas est festum peragere. Unde prorsus necesse est ut æquinoctium vernum præcesserit. Et eos quidem qui hac in re Judæos imitantur, magnopere admiror, quod non potius vetustum apud illos morem prætulerint. Porro præter istos, et eos

καὶ τῶν ἐπὶ τῆς Ἀσίας καλουμένων τεσσαρεσκαιδεκατιτῶν, ὁμοίως Ῥωμαίοις καὶ Αἰγυπτίοις καὶ οἱ ἀπὸ τῶν ἄλλων αἱρέσεων ταύτην τὴν ἑορτὴν ἄγουσιν· ἀλλ'[x] οἱ μὲν, ἐν αὐτῇ τῇ τεσσαρεσκαιδεκαταίᾳ σὺν τοῖς Ἰουδαίοις ἑορτάζουσιν· ὅθεν ὧδε ὀνομάζονται.

11 Οἱ δὲ Ναυατιανοὶ, τὴν ἀναστάσιμον ἡμέραν ἐπιτελοῦσιν· Ἰουδαίοις δὲ καὶ οὗτοι ἕπονται, καὶ εἰς ταυτὸ τοῖς τεσσαρεσκαιδεκατίταις καταστρέφουσι· πλὴν εἰ μὴ τύχοι τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης ἡ πρώτη τοῦ σαββάτου ἡμέρα συμπεσοῦσα, κατόπιν γίνονται τῶν Ἰουδαίων, ὅσαις ἂν ἡμέραις συμβαίη[y] τὴν ἐρχομένην[z] Κυριακὴν ὑστερίζειν τῆς[a] τεσσαρεσκαιδεκαταίας τῆς σελήνης.

12 Μοντανισταὶ δὲ, οὓς Πεπουζίτας καὶ Φρύγας ὀνομάζουσι, ξένην τινὰ μέθοδον εἰσαγαγόντες[b], κατὰ ταύτην τὸ Πάσχα ἄγουσι. Τοῖς μὲν γὰρ ἐπὶ τούτῳ τὸν τῆς σελήνης δρόμον πολυπραγμονοῦσι καταμέμφονται· φασὶ δὲ χρῆναι μόνοις τοῖς

[x] ἀλλ' οἱ μὲν seqq. usque ad ἑορτάζουσιν om. B. Steph. inseruit Christ. Scal. Curt. Vales clausulam non habet Nicephorus: non tamen omissa esse notatur a collatore in C. nec in J.

[y] συμβαίνει cod. Fuk. Vales. συμβαίνῃ J. Niceph.

[z] ἐχομένην J. Christ. Curt. Scal. Niceph. quod convenit cum τῇ ἐχομένῃ in fine capitis hujus.

[a] Ita B. C. Niceph. τῆς ante τεσσαρεσκαιδεκαταίας om. editt.

[b] εἰσάγοντες B.

qui in Asia Quartodecimani dicuntur, reliquæ omnes, ut opinor, hæreses, hunc diem festum agunt eodem modo quo Romani atque Ægyptii. Verum Quartodecimani quidem, quartadecima die simul cum Judæis festivitatem celebrant: unde etiam hanc appellationem sortiti sunt. Novatiani vero, resurrectionis diem celebrant. Judæos tamen ipsi quoque sequuntur, et in idem recidunt cum Quartodecimanis. Nisi quod quoties quartadecima luna non incidit in primam sabbati, Judæis posteriores fiunt tot diebus, quot dominicam diem quartadecima luna posteriorem esse contigerit. At Montanistæ, quos Pepuzitas et Phrygas vulgo nominant, peregrinam quandam methodum commenti, juxta illam Pascha celebrant. Eos enim reprehendunt, qui in hac re lunæ cursum curiosius observant: solos vero solis circulos iis qui ista recte dirigere

ἡλιακοῖς ἕπεσθαι κύκλοις τοὺς ὀρθῶς ταῦτα κανονίζοντας· καὶ μῆνα μὲν ἕκαστον εἶναι ἡμερῶν τριάκοντα ὁρίζουσιν· ἄρχεσθαι δὲ τὴν πρώτην ἀπὸ τῆς ἐαρινῆς ἰσημερίας, ἣ ῥηθείη ἂν κατὰ Ῥωμαίους πρὸ ἐννέα[c] καλανδῶν Ἀπριλλίων· ἐπειδή, φασίν, οἱ δύο φωστῆρες τότε[d] ἐγένοντο, οἷς οἱ χρόνοι καὶ οἱ ἐνιαυτοὶ δη- 306
13 λοῦνται. Καὶ τοῦτο δείκνυται τὸ[e] τὴν σελήνην διὰ ὀκταετηρίδος τῷ ἡλίῳ συνιέναι, καὶ ἀμφοῖν κατὰ ταυτὸν νουμηνίαν συμβαίνειν· καθότι ἡ ὀκταετηρὶς τοῦ σεληνιακοῦ δρόμου πληροῦται ἐννέα καὶ ἐνενήκοντα μησίν, ἡμέραις δὲ δισχιλίαις ἐννακοσίαις[f] εἴκοσι δύο· ἐν αἷς ὁ ἥλιος τοὺς ὀκτὼ δρόμους ἀνύει, λογιζομένων ἑκάστῳ ἔτει τριακοσίων ἑξήκοντα πέντε[g] ἡμερῶν, καὶ
14 προσέτι τετάρτου ἡμέρας μιᾶς. Ἀπὸ γὰρ τῆς πρὸ ἐννέα καλανδῶν Ἀπριλλίων, ὡς ἀρχῆς οὔσης κτίσεως

[c] Epiphanius Scholasticus legisse videtur πρὸ ὀκτὼ [ix. 39], sic, *octavo kalend. Aprilis*. Nicephorus tamen nihil mutat. VALESIUS. πρὸ ἕνδεκα Anatolius in Euseb. H. E. vii. 32, 14: non tamen inde corrigendus est hic locus: nam computatio Montanistarum in Sozomeno secum constat, uti videbimus infra, in Annott.

[d] τότε οἱ δύο φ. B.

[e] Supplendum est διὰ ante τὸ, secundum interpretationem Nicephori et Epiphanii. Christophorsonus vero maluit expungere τό. [τῷ conj. Petr. Suff.]

[f] ἐνακοσίαις B. Steph.

[g] Ita Niceph. πέντε om. codd. et editt. Conf. adnott.

volunt, sequendos esse affirmant. Ac singulos quidem menses triginta dierum esse definiunt. Primum autem diem cœpisse ab æquinoctio verno, qui dies juxta Romanos diceretur ante nonum calendas Aprilis. Eo enim die, ut aiunt, facta sunt duo luminaria, quibus tempora et anni designantur. Idque ex eo ostenditur, quod luna octavo quoque anno concurrit cum sole, et utrisque novi mensis initium simul contingit. Quippe octaeteris lunaris completur, mensibus quidem nonaginta novem; diebus vero bis mille nongentis ac viginti duobus. Quo dierum spatio sol octo annorum curricula absolvit, computatis in singulos annos trecentis sexaginta quinque diebus, ac præterea quadrante unius diei. Nam a die nono calendas Aprilis, tanquam a creationis solis ac primi mensis exordio, computant quartumdecimum diem cujus in sacris

ἡλίου καὶ πρώτου μηνὸς, ἀναλογίζονται τὴν εἰρημένην ταῖς ἱεραῖς γραφαῖς τεσσαρεσκαιδεκαταίαν· καὶ ταύτην εἶναι λέγουσι τὴν πρὸ ὀκτὼ εἰδῶν[h] Ἀπριλλίων· καθ' ἣν ἀεὶ τὸ Πάσχα ἄγουσιν, εἰ συμβαίη καὶ τὴν ἀναστάσιμον αὐτῇ συνδραμεῖν ἡμέραν, ἐπὶ[i] τῇ ἐχομένῃ κυριακῇ ἑορτάζουσι. Γέγραπται γάρ, φησιν, ἀπὸ τεσσαρεσκαιδεκάτης μέχρι εἰκοστῆς πρώτης.

ΚΕΦ. ΙΘ'.

Κατάλογος τοῦ συγγραφέως εἰδήσεως ἄξιος, τῶν παρὰ διαφόροις ἔθνεσι καὶ ἐκκλησίαις ἐθῶν.

1 Αἵδε μὲν περὶ ταύτης τῆς ἑορτῆς αἱ διαφοραί. Σοφώτατα δέ πως οἶμαι καταλῦσαι τὴν συμβᾶσαν πάλαι περὶ ταύτης φιλονεικίαν, τοὺς ἀμφὶ Βίκτωρα τὸν τότε τῆς Ῥώμης ἐπίσκοπον καὶ Πολύκαρπον τὸν Σμυρναῖον. Ἐπεὶ γὰρ οἱ πρὸς δύσιν ἱερεῖς οὐκ ᾤοντο δεῖν Παύλου καὶ Πέτρου τὴν παράδοσιν ἀτιμάζειν· οἱ δὲ ἐκ τῆς Ἀσίας Ἰωάννῃ τῷ εὐαγγελιστῇ ἀκολουθεῖν ἰσχυρίζοντο· τοῦτο κοινῇ δόξαν[k], ἕκαστοι ὡς

[h] Ita B. Niceph. ἰδῶν editt.
[i] Ante ἐπὶ supplendum est aliquo modo εἰ δὲ μή. Vide adnott.
[k] οὕτω δοξ. C.

libris fit mentio: et hunc esse dicunt octavum idus Apriles. Quo quidem die Pascha perpetuo celebrant, si in eundem diem inciderit resurrectionis dies. Sin minus, sequenti die Dominico festivitatem agunt. Scriptum est enim, ut aiunt, a quartodecimo die ad vicesimum primum.

CAPUT XIX.

De variis apud varias provincias et ecclesias ritibus, narratio hujus auctoris scitu dignissima.

Et hæ quidem fuerunt in hujus festi observatione discrepantiæ. Porro exortam olim hac de re controversiam sapientissime dissolvisse mihi videter Victor, tunc temporis Romanorum episcopus, et Polycarpus Smyrnæus. Nam quoniam Occidentales episcopi, traditionem Pauli ac Petri abrogandam non esse censebant; Asiani vero, Joannem evangelistam sequi se velle affirmabant, ex communi consilio placuit, ut singuli festum prout consueverant cele-

εἰώθεσαν ἑορτάζοντες τῆς πρὸς σφᾶς κοινωνίας οὐκ
ἐχωρίσθησαν. Εὔηθες γὰρ καὶ μάλα δικαίως ὑπέλα- 307
βον, ἐθῶν ἕνεκεν ἀλλήλων χωρίζεσθαι, περὶ τὰ καίρια
2 τῆς θρησκείας συμφωνοῦντες. Οὐ γὰρ δὴ τὰς αὐτὰς
παραδόσεις περὶ πάντα ὁμοίας, κἂν ὁμόδοξοί εἶεν, ἐν
πάσαις ταῖς ἐκκλησίαις εὑρεῖν ἐστίν. Ἀμέλει Σκύθαι
πολλαὶ πόλεις ὄντες, ἕνα πάντες ἐπίσκοπον ἔχουσιν·
ἐν ἄλλοις δὲ ἔθνεσιν ἐστὶν ὅπη καὶ ἐν κώμαις ἐπί-
σκοποι ἱεροῦνται, ὡς παρὰ Ἀραβίοις καὶ Κυπρίοις
ἔγνων, καὶ παρὰ τοῖς ἐν Φρυγίαις Ναυατιανοῖς, καὶ
3 Μοντανισταῖς. Διάκονοι δὲ παρὰ Ῥωμαίοις εἰσέτι
νῦν οὐ πλείους εἰσὶν ἑπτά, καθ' ὁμοιότητα τῶν ὑπὸ
τῶν ἀποστόλων χειροτονηθέντων, ὧν ἦν Στέφανος ὁ
πρῶτος μαρτυρήσας· παρὰ δὲ τοῖς ἄλλοις ἀδιάφορος[l]
4 ὁ τούτων ἀριθμός. Πάλιν αὖ ἑκάστου ἔτους ἅπαξ ἐν
Ῥώμῃ τὸ Ἀλληλούϊα ψάλλουσι, κατὰ τὴν πρώτην
ἡμέραν τῆς Πασχαλίου ἑορτῆς, ὡς πολλοῖς Ῥωμαίων
ὅρκον εἶναι, τοῦτον τὸν ὕμνον ἀξιωθῆναι[m] ἀκοῦσαί
5 τε καὶ ψάλαι. Οὔτε δὲ ὁ ἐπίσκοπος, οὔτε ἄλλος τις

[l] ἀδιαφόρως C. [m] ἀξιωθῆναι τὸν ὕμνον B.

brantes, a mutua inter se communione nequaquam discederent. Stultum enim, nec immerito, existimabant, consuetudinum causa ab se invicem separari eos, qui in præcipuis religionis capitibus consentirent. Neque enim in omnibus ecclesiis, quamvis eamdem fidei doctrinam profiteantur, easdem traditiones per omnia similes reperire licet. Certe in provincia Scythia, quamvis multæ urbes sint, unus est omnium episcopus. In aliis autem provinciis, interdum etiam vici consecratos habent episcopos, sicut in Arabia, et in insula Cypro animadverti, et apud Novatianos ac Montanistas qui sunt in Phrygia. Apud Romanos Diaconi non plures sunt hactenus quam septem, instar eorum qui ab apostolis primum ordinati sunt, ex quorum numero fuit Stephanus qui primus martyrium pertulit. Apud alios vero haudquaquam definitus est numerus Diaconorum. Præterea Romæ quotannis semel canitur Alleluïa, primo die Paschalis festivitatis; adeo ut multi Romanorum hoc jurejurando uti soleant, ut hunc hymnum audire et ca-

ἐπ' ἐκκλησίας[n] ἐνθάδε διδάσκει. Παρὰ δὲ Ἀλεξανδρεῦσι μόνος ὁ τῆς πόλεως ἐπίσκοπος. Φασὶ δὲ τοῦτο οὐ πρότερον εἰωθὸς ἐπιγενέσθαι, ἢ[o] ἀφ' οὗ Ἄρειος πρεσβύτερος ὢν, περὶ τοῦ δόγματος διαλεγό-
6 μενος ἐνεωτέρισε. Ξένον δὲ κἀκεῖνο παρὰ Ἀλεξανδρεῦσι τούτοις· ἀναγινωσκομένων γὰρ τῶν εὐαγγελίων, οὐκ ἐπανίσταται ὁ ἐπίσκοπος· ὃ παρ' ἄλλοις 308
οὔτ' ἔγνων οὔτ' ἀκήκοα. Ταύτην δὲ τὴν ἱερὰν βίβλον ἀναγινώσκει[p] ἐνθάδε μόνος ὁ ἀρχιδιάκονος· παρὰ δὲ ἄλλοις, διάκονοι· ἐν πολλαῖς δὲ ἐκκλησίαις, οἱ ἱερεῖς μόνοι· ἐν δὲ ἐπισήμοις ἡμέραις, ἐπίσκοποι, ὡς ἐν Κωνσταντινουπόλει κατὰ τὴν πρώτην ἡμέραν τῆς
7 ἀναστασίμου ἑορτῆς. Καὶ τὴν πρὸ ταύτης δὲ καλουμένην τεσσαρακοστὴν, ἐν ᾗ νηστεύει τὸ πλῆθος, οἱ μὲν εἰς ἓξ ἑβδομάδας ἡμερῶν λογίζονται, ὡς Ἰλλυριοὶ καὶ οἱ πρὸς δύσιν, Λιβύη τε πᾶσα καὶ Αἴγυπτος σὺν τοῖς Παλαιστινοῖς· οἱ δὲ, ἑπτὰ, ὡς ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ ἔθνεσι, μέχρι Φοινίκων·

[n] Ita B. Steph. Genev. ἐνθάδε ἐπ' ἐκκλησίας Vales.

[o] ἢ om. omnes præter C.

[p] ἀναγινώσκει βίβλον B.

nere ipsis contingat. In eadem urbe, nec episcopus, nec alius quisquam in ecclesia populum docet. Sed apud Alexandrinos solus civitatis Alexandrinæ episcopus concionatur. Quam consuetudinem, cum antea non fuisset, introductam esse ferunt, ex quo Arius presbyter de doctrina fidei disserens, nova dogmata invexit. Est etiam apud Alexandrinos hoc novum atque insolens. Dum enim leguntur evangelia, non assurgit episcopus: quod tamen alibi usquam fieri, neque vidi, neque audivi. Et illic quidem solus Archidiaconus sacrum illum codicem legit: alibi vero, diaconi. In multis autem ecclesiis, soli duntaxat presbyteri. Alicubi in præcipuis festivitatibus episcopi legunt; ut Constantinopoli primo die paschalis festivitatis. Quadragesimam vero quæ hoc festum proxime antecedit, in qua populus jejunare solet, alii quidem, sex dierum septimanis computant, ut Illyrii et Occidentales, totaque Africa et Ægyptus ac Palæstina. Alii vero, septem hebdomadas computant; ut Constantinopoli et per cunctas in circuitu provincias usque ad Phœnicen. Nonnulli e sex aut septem illis hebdo-

ἄλλοι δὲ, τρεῖς σποράδην ἐν ταῖς ἓξ ἢ ἑπτὰ νηστεύ-
ουσιν· οἱ δὲ, ἅμα τρεῖς πρὸ τῆς ἑορτῆς συνάπτου-
8 σιν· οἱ δὲ, δύο, ὡς οἱ τὰ Μοντανοῦ φρονοῦντες. Οὐ
μὴν ἀλλὰ καὶ τοῦ ἐκκλησιάζειν οὐχ ὁ αὐτὸς παρὰ
πᾶσι καιρὸς ἢ τρόπος. Ἀμέλει οἱ μὲν καὶ τῷ Σαβ-
βάτῳ ὁμοίως τῇ μιᾷ σαββάτου ἐκκλησιάζουσιν, ὡς
ἐν Κωνσταντινουπόλει, καὶ σχεδὸν πανταχοῦ· ἐν
Ῥώμῃ δὲ καὶ Ἀλεξανδρείᾳ, οὐκέτι· παρὰ δὲ Αἰ-
γυπτίοις ἐν πολλαῖς πόλεσι καὶ κώμαις, παρὰ τὸ
κοινῇ πᾶσι νενομισμένον, πρὸς ἑσπέραν τῷ Σαββάτῳ
συνιόντες, ἠριστηκότες ἤδη, μυστηρίων μετέχουσι.
9 Καὶ εὐχαῖς δὲ καὶ ψαλμῳδίαις ταῖς αὐταῖς ἢ ἀναγ-
νώσμασι, κατὰ τὸν αὐτὸν καιρὸν[q], οὐ πάντας κεχρη-
μένους εὑρεῖν ἐστίν. Οὕτω γοῦν τὴν καλουμένην
Ἀποκάλυψιν Πέτρου, ὡς νόθον παντελῶς πρὸς τῶν
ἀρχαίων δοκιμασθεῖσαν, ἔν τισιν ἐκκλησίαις τῆς Πα-
λαιστίνης εἰσέτι νῦν ἅπαξ ἑκάστου ἔτους ἀναγινω-
σκομένην ἔγνωμεν, ἐν τῇ ἡμέρᾳ παρασκευῆς[r], ἣν εὐ-

[q] Supplenda mihi videtur particula hoc modo, *καὶ κατὰ τὸν αὐτὸν καιρόν*. Duplicem enim notat differentiam, quod neque eædem essent ubique preces et lectiones; neque eodem tempore fierent apud omnes. VALESIUS.

[r] *τῆς παρ.* B. Steph. tacite om. Vales.

madis, tres per intervalla jejunant. Alii tres simul hebdomadas Paschale festum proxime antecedentes continuant: quidam duas tantum, ut Montanistæ. Sed neque omnes eodem tempore aut eodem modo, in ecclesiam conveniunt. Alii enim Sabbato, perinde ac dominico die, conventus agunt; at Constantinopoli, ac fere ubique. Romæ vero et Alexandriæ, non item. In multis autem urbibus ac vicis Ægypti, contra receptam omnium consuetudinem, die Sabbati sub vesperam convenientes, jam pransi, sacra mysteria percipiunt. Precibus quoque et Psalmis ac lectionibus, nec iisdem omnes, nec eodem tempore uti reperies. Sic revelationem Petri, quæ ut adulterina a veteribus repudiata est, in quibusdam ecclesiis Palæstinæ semel quotannis legi animadvertimus: die scilicet Parasceves, qua populus admodum religiose jejunat in memoriam Dominicæ passionis. Eam vero quæ nunc

λαβὼς ἄγαν ὁ λαὸς νηστεύει ἐπὶ ἀναμνήσει τοῦ σω-
10 τηρίου πάθους. Τὴν δὲ[s] νῦν ὡς Ἀποκάλυψιν Παύλου
τοῦ ἀποστόλου φερομένην, ἣν οὐδεὶς ἀρχαίων εἶδε,
πλεῖστοι μοναχῶν ἐπαινοῦσιν. Ἐπὶ ταύτης δὲ τῆς
βασιλείας ἰσχυρίζονταί τινες ταύτην ηὑρῆσθαι τὴν
βίβλον. Λέγουσι γὰρ ἐκ θείας ἐπιφανείας ἐν Ταρσῷ
τῆς Κιλικίας κατὰ τὴν οἰκίαν Παύλου, μαρμαρίνην
λάρνακα ὑπὸ γῆν εὑρεθῆναι, καὶ ἐν αὐτῇ τὴν βίβλον
11 εἶναι. Ἐρομένῳ δέ μοι περὶ τούτου, ψεῦδος ἔφησεν
εἶναι Κίλιξ πρεσβύτερος τῆς ἐν Ταρσῷ ἐκκλησίας·
γεγονέναι μὲν γὰρ πολλῶν ἐτῶν καὶ ἡ πολιὰ τὸν ἄν-
δρα ἐδείκνυεν[t]. Ἔλεγε δὲ μηδὲν τοιοῦτον ἐπίστασθαι
παρ' αὐτοῖς συμβάν· θαυμάζειν τε, εἰ μὴ τάδε πρὸς 309
αἱρετικῶν ἀναπέπλασται. Ἀλλὰ περὶ μὲν τούτου τάδε.
12 Πολλὰ δ' ἂν εὕροι τις ἔθη κατὰ πόλεις καὶ κώμας,
ἅπερ αἰδοῖ τῶν ἐξ ἀρχῆς παραδεδωκότων, ἢ τῶν τού-
τους διαδεξαμένων, οὐχ ὅσιον οὐδὲ ἀνεκτὸν ἡγοῦνται

[s] In cod. Fuk. τὴν δὲ μήν. Rectius, ut opinor. Nicephorus vero eam vocem prætermisit, ut superfluam. VALESIUS.

[t] In cod. Fuk. ἐδείκνυ, quod magis placet. Porro post vocem ἐτῶν, idem codex virgulam habet appositam. Ego punctum mallem adscribere. VALESIUS.

quasi Pauli apostoli revelatio circumfertur, quam nullus veterum agnovit, plurimi ex monachis valde commendant. Quidam autem affirmant, hujus de quo agimus imperatoris temporibus repertum esse hunc librum. Aiunt enim apud Tarsum Ciliciæ in ædibus Pauli, arcam marmoream, Deo revelante, sub terra inventam fuisse, in qua hic liber esset reconditus. Mihi vero hac de re percontanti, falsum id esse dixit Cilix quidam, presbyter ecclesiæ Tarsensis: quem quidem jam grandævum esse ipsa canities indicabat. Aiebat autem se nihil ejusmodi apud ipsos gestum comperisse: ac suspicari ne id ab hæreticis confictum esset. Verum de hac re, ista dixisse sufficiat. Multos præterea ritus passim in urbibus et pagis reperire est, quos ob reverentiam eorum qui primitus illos invexerunt, aut eorum qui illis postea successerunt, nefas habent transgredi ii qui sunt illis ritibus innutriti. Idem

παραβαίνειν οἱ τούτοις ἐντραφέντες. Ταυτὸν δὲ τοῦτο[u] πεπονθέναι νομιστέον τοὺς ἀνθρώπους καὶ περὶ ταύτην τὴν ἑορτὴν, ἧς ἕνεκεν εἰς τοὺς περὶ τούτων ἐξήχθη λόγους.

ΚΕΦ. Κ΄.

Περὶ τῆς ἐπιδόσεως τοῦ κατ' ἡμᾶς δόγματος, καὶ καταλύσεως εἰς τέλος τῶν εἰδωλικῶν νεῶν, καὶ τῆς πλημμύρας τῆς τότε Νείλου τοῦ ποταμοῦ.

1 Διασπωμένων δὲ, ὡς εἴρηται, τῶν ἀπὸ τῶν ἄλλων αἱρέσεων, ἔτι μᾶλλον ἐπεδίδου ἡ καθόλου ἐκκλησία, προστιθεμένων αὐτῇ πλείστων ἔκ τε τῆς πρὸς σφᾶς τῶν ἑτεροδόξων διχονοίας, καὶ μάλιστα τοῦ[x] Ἑλληνικοῦ πλήθους. Ἐπεὶ γὰρ εἶδεν ὁ βασιλεὺς τὴν συνήθειαν τοῦ παρελθόντος χρόνου ἔτι πρὸς τὸ πατρῷον σέβας καὶ τοὺς θρησκευομένους παρ' αὐτῶν τόπους ἕλκουσαν τὸ ὑπήκοον, ἀρξάμενος βασιλεύειν ἐκώλυσε
2 τούτων ἐπιβαίνειν. Τελευτῶν δὲ καὶ πολλοὺς καθεῖλεν. Οἱ δὲ, ἀπορίᾳ εὐκτηρίων οἴκων, τῷ χρόνῳ προσειθίσθησαν ταῖς ἐκκλησίαις φοιτᾶν· οὐδὲ γὰρ λάθρα θύειν Ἑλληνικῶς, ἀκίνδυνον ἦν· ἀλλ' ἐν ἀφαιρέσει κεφαλῆς

[u] τούτῳ B. [x] ἐκ τοῦ C.

quoque hominibus accidisse existimandum est in hac festivitate, cujus causa in hunc de istis rebus sermonem sum delapsus.

CAPUT XX.

De incremento religionis catholicæ, et de templis idolorum penitus sublatis: et de Nili fluvii exundatione, quæ tum contigit.

Divulsis inter se ac distractis, sicuti dictum est, aliarum opinionum sectatoribus, ecclesia catholica magis magisque in dies crescebat; cum ad eam plurimi accederent, tum ex dissidentibus inter se hæreticis, tum præcipue ex multitudine paganorum. Nam cum imperator animadverteret, præteriti temporis consuetudinem, ad majorum ceremonias, et ad loca ab illis culta subditos suos pertrahere; sub ipsa imperii sui primordia, vetuit ne quisquam ad ea loca accederet. Tandem vero multa ex iis subvertit. Ita pagani sacris ædibus destituti, progressu temporis ecclesias adire assuefacti sunt. Neque enim clam Gentilium more sacrificare, absque

καὶ οὐσίας νόμος ἔκειτο κατὰ τῶν ταῦτα τολμώντων
τὴν τιμωρίαν κυρῶν. Τηνικαῦτα δὲ φασὶ τὸν Αἰ-
γύπτου ποταμὸν κατόπιν τοῦ καιροῦ γενέσθαι περὶ
τὴν πρώτην ἀνάβασιν τῶν ὑδάτων· οἱ δὲ Αἰγύπτιοι
ἐχαλέπαινον, ὅτι μὴ συγχωροῖντο κατὰ τὸν πάτριον
3 νόμον τῷ ποταμῷ θύειν. Ὑπονοήσας δὲ ὁ τοῦ ἔθνους
ἡγούμενος εἰς στάσιν αὐτοὺς παρασκευάζεσθαι, τάδε
ἐμήνυσε. Μαθὼν δὲ ὁ βασιλεὺς, ἄμεινον ἔφη πρὸς
τὸ θεῖον διαμεῖναι πιστὸν, ἢ τὰ Νείλου νάματα καὶ
τὴν ἐντεῦθεν εὐετηρίαν προτιμῆσαι τῆς εὐσεβείας·
μηδέποτε γὰρ ῥεύσειεν ἐκεῖνος ὁ ποταμὸς, εἴπερ ἀλη-
θῶς οἷός τέ ἐστι γοητείαις ὑπάγεσθαι, καὶ θυσίαις
χαίρειν, καὶ αἱμάτων ῥεύσει μιαίνειν τὰς ἐκ τοῦ θείου
4 Παραδείσου ἐπιρροάς. Οὐκ εἰς μακρὰν δὲ ὁ Νεῖλος
πολὺς ἐκχυθεὶς καὶ τοῖς ὑψηλοτέροις ἐπαφῆκε τὰ
ῥεύματα. Ἐπεὶ δὲ πρὸς τὸ τελειότατον καὶ σπανίως
πληρούμενον μέτρον ἔφθασεν, οὐδὲν δὲ ἧττον ἐκορυ-
φοῦτο τὸ ὕδωρ, εἰς ἐναντίον φόβον περιέστησαν οἱ
Αἰγύπτιοι· καὶ δέος ἦν, μὴ καὶ[y] τὴν Ἀλεξάνδρου

[y] καὶ ante τὴν om. B.

periculo licebat. Sed adversus eos qui hæc admittere ausi essent, lex erat proposita, quæ pœnam capitis et bonorum proscriptionem iis intentabat. Quo quidem tempore, aiunt Ægypti fluvium tardius solito exundare cœpisse. Indignabantur ergo Ægyptii, quod fluvio ex more institutoque majorum sacrificare haudquaquam permitterentur. Unde præfectus Ægypti suspicatus eos seditionem moliri, rem imperatori significavit. Imperator autem re cognita, satius esse dixit, fidelem erga Deum permanere, quam fluenta Nili et frugum ex ea re ubertatem pietati anteponere. Nunquam fluat, inquit, fluvius iste, si incantamentis elici, et sacrificiis oblectari, et cruoris fluxu undas ex divino Paradiso defluentes inquinare revera potest. Verum Nilus haud multo post effusus, superiora quoque loca aquis suis operuit. Cumque ad summam, et quæ raro impleri solet, mensuram pervenisset, et adhuc tamen aqua intumesceret, in contrarium metum inciderunt Ægyptii. Timebantque ne urbs Alexandria, et Libyæ pars, aquis

5 πόλιν, καὶ Λιβύης μέρος οὖσαν[z] κατακλύσῃ. Ἡνίκα δὴ 310
λέγεται τοὺς Ἑλληνιστὰς Ἀλεξανδρέων ἀγανακτοῦντας πρὸς τὸ συμβὰν παρὰ γνώμην, ἐπιτωθάσαι καὶ ἐν τοῖς θεάτροις ἀναβοῆσαι, ὡς οἷα γέρων καὶ λῆρος ἐξούρησεν ὁ ποταμός. Ἐκ τούτου δὲ πλεῖστοι Αἰγυπτίων τῆς πατρῴας δεισιδαιμονίας κατέγνωσαν, καὶ εἰς Χριστιανισμὸν μετεβάλοντο. Καὶ τὰ μὲν, ὡς ἐπυθόμην.

ΚΕΦ. ΚΑ'.

Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, καὶ ὅσα δι' αὐτὴν ἐγένοντο.

1 Ὑπὸ δὲ τοῦτον τὸν χρόνον διεκομίσθη εἰς Κωνσταντινούπολιν ἡ Ἰωάννου τοῦ βαπτιστοῦ κεφαλὴ, ἣν Ἡρωδιὰς ᾐτήσατο παρὰ Ἡρώδου τοῦ τετράρχου. Λέγεται δὲ εὑρεθῆναι παρὰ ἀνδράσι μοναχοῖς τῆς Μακεδονίου αἱρέσεως, οἳ τὰ μὲν πρῶτα ἐν Ἱεροσολύμοις διέτριβον, ὕστερον δὲ εἰς Κιλικίαν μετῳκίσθη-

[z] Postrema vox delenda est, quam nec Nicephorus nec Epiphanius agnoscit, nec Musculus in versione sua retinuit. At Suffridus qui hunc Sozomeni Librum interpretatus est, pessime hunc locum vertit hoc modo: *Nunc et Alexandropolim quæ Libyæ erat portio, fluvius inundaret.* VALESIUS.

obrueretur. Tum vero aiunt paganos qui erant Alexandriæ, moleste ferentes id quod acciderat, per jocum in theatris exclamasse, quod Nilus tanquam senex ac delirus, eminxisset. Hanc ob causam plurimi Ægyptiorum, patriam superstitionem damnantes, ad Christianam religionem se transtulerunt. Atque hæc quidem ita gesta esse accepi.

CAPUT XXI.

De inventione capitis Joannis Baptistæ et præcursoris: et de his quæ circa illud facta sunt.

Sub idem tempus, translatum fuit Constantinopolim Joannis Baptistæ caput, quod Herodias ab Herode Tetrarcha olim petierat. Inventum autem id esse dicitur apud monachos quosdam ex secta Macedonianorum: qui prius quidem Hierosolymis morati

2 σαν. Ἐπὶ δὲ τῆς πρὸ ταύτης ἡγεμονίας, Μαρδονίου
μηνύσαντος, ὃς τῆς βασιλικῆς οἰκίας μείζων ἦν εὐ-
νοῦχος, προσέταξεν Οὐάλης εἰς Κωνσταντινούπολιν
αὐτὴν κομισθῆναι. Καὶ οἱ μὲν ἐπὶ τοῦτο[a] ἀποσταλέν-
τες, ἐπιθέντες ὀχήματι δημοσίῳ ἦγον. Ὡς δὲ εἰς τὸ
Παντείχιον ἧκον, χωρίον δὲ τοῦτο Χαλκηδόνος, οὐκέτι
προσωτέρω βαδίζειν ἠνείχοντο αἱ τὸ ὄχημα καθέλκου-
σαι ἡμίονοι· καὶ ταῦτα τῶν ἱπποκόμων ἐπαπειλούν-
των, καὶ τοῦ ἡνιόχου χαλεπῶς τῇ μάστιγι κεντοῦντος.
3 Ὡς δὲ οὐδὲν ἤνυον, ἐδόκει δὲ πᾶσι καὶ αὐτῷ τῷ βα-
σιλεῖ παράδοξον εἶναι καὶ θεῖον τὸ πρᾶγμα, ἀπέθεντο
ταύτην τὴν ἱερὰν κεφαλὴν ἐν τῇ Κοσιλάου κώμῃ·
ἔτυχε γὰρ ἐκ γειτόνων οὖσα, καὶ Μαρδονίου τούτου
4 κτῆμα. Περὶ δὲ τοῦτον τὸν χρόνον, ἢ τοῦ Θεοῦ, ἢ αὐτοῦ
τοῦ προφήτου κινοῦντος, ἧκεν εἰς τήνδε τὴν κώμην
Θεοδόσιος ὁ βασιλεύς· βουλομένῳ τε τοῦ Βαπτιστοῦ
τὸ λείψανον λαβεῖν, μόνην φασὶν ἀντειπεῖν Ματρῶναν·

[a] τούτῳ C.

fuerant; postea vero in Ciliciam migraverant. Præcedentis autem imperatoris temporibus, cum Mardonius Eunuchus, præpositus imperialis palatii rem detulisset, jusserat Valens ut id caput Constantinopolim deportaretur. Et ii quidem qui ad hoc missi fuerant, caput illud publico vehiculo impositum transferre cœperunt. Sed cum venissent Pantichium, qui locus est in agro Chalcedonensium, mulæ quæ vehiculum trahebant, ulterius progredi detrectarunt: idque licet equisones minas ipsis intentarent, et auriga flagello graviter eas cæderet. Qui cum nihil proficerent, et cunctis ipsique adeo imperatori ea res stupenda ac prorsus divina videretur, in vico Cosilai sacrum illud caput deposuerunt. Erat enim hic vicus in proximo, et ad supradictum Mardonium pertinebat. Porro circa hoc tempus, sive Dei, sive prophetæ ipsius impulsu, imperator Theodosius ad eum locum perrexit. Cumque Baptistæ reliquias inde auferre vellet, sola, ut aiunt, ei restitit Matrona: quæ sacrata quidem virgo erat; cæterum caput illud tanquam ministra et custos comitabatur. Cum igitur illa

ἡ παρθένος μὲν ἦν ἱερά· εἵπετο δὲ αὐτῷ[b] διάκονος καὶ φύλαξ· ἀνθισταμένην[c] δὲ παντὶ σθένει, βιάσασθαι οὐχ ἡγήσατο[d] δεῖν· ἀντιβολῶν δὲ, ἐδεῖτο συγχωρεῖν.
5 Ἐπεὶ δὲ μόλις εἶξεν, ἀνήνυτον εἶναι νομίσασα τῷ 311 κρατοῦντι τὴν ἐπιχείρησιν κατὰ τὸ συμβὰν ἐπὶ τῶν Οὐάλεντος χρόνων, περιλαβὼν τῇ ἀλουργίδι τὴν θήκην ἐν ᾗ ἔκειτο, ἔχων ἐπανῆλθε. Καὶ πρὸ τοῦ ἄστεως Κωνσταντινουπόλεως ἔθετο ἐν τῷ καλουμένῳ ἑβδόμῳ· μέγιστον καὶ περικαλλέστατον τῷ Θεῷ ἐνθάδε ναὸν ἐγείρας· πολλὰ δὲ πολλάκις λιπαρήσας Ματρῶναν, καὶ κεχαρισμένα ὑποσχόμενος, οὐκ ἔπεισε μεταθέσθαι
6 τῆς δόξης· ἦν γὰρ τῆς Μακεδονίου αἱρέσεως. Καίτοιγε Βικέντιος πρεσβύτερος, ὁμόδοξος ὢν αὐτῇ, καὶ

[b] Pessime hunc locum verterunt interpretes, qui vocabulum *αὐτῇ* referri putarunt ad virginem illam, cum tamen referatur ad *κεφαλὴν*, id est caput Joannis Baptistæ quod servabat virgo illa, et cui tanquam famula ministrabat. Hic est sensus hujus loci, quem Nicephorus optime expressit in xii. 49. VALESIUS. Ita B. C. *αὐτῇ* editt. Referendum est non ad *Ματρῶναν* sed ad præcedens *λείψανον*.

[c] Ita B. Niceph. xii. 49. *ἀνθισταμένου* Steph. Genev. *ἀνθισταμένη* Vales.

[d] Ita C. et Niceph. probante Vales. *Cui dum sæpius imperator non violenter sed cum lachrymis supplicaret*, Epiphan. in Cassiod. H. T. ix. 43. *ἡγήσαντο* editt.

omni virium nisu obstaret, imperator nequaquam eam cogendam esse censuit: sed precibus contendebat, ut reliquias tolli permitteret. Quod cum illa vix tandem concessisset, irritum fore imperatoris conatum arbitrata, ex eo quod Valentis temporibus acciderat; imperator loculum in quo conditæ erant reliquiæ, purpurea veste qua indutus erat involvens, secum detulit. Reversusque, in suburbano urbis Constantinopolitanæ, quod septimum dicitur, deposuit; amplissima illic et pulcherrima basilica in honorem Dei constructa. Matronam vero quamvis diu multumque precatus, magnaque ei munera pollicitus esset, nunquam eo adducere potuit, ut sententiam mutaret. Erat enim ex secta Macedonianorum. Vincentius tamen presbyter, qui ejusdem sectæ cum Matrona erat, et pari cum illa obsequio arcam prophetæ servabat, et juxta illam

τὴν σόρον τοῦ προφήτου ἐπίσης θεραπεύων, καὶ περὶ
ταύτην ἱερώμενος[e], ἠκολούθησεν αὐτίκα, καὶ τοῖς ἀπὸ
τῆς καθόλου ἐκκλησίας ἐκοινώνησεν· ἀπώμοτον μὲν,
ὡς λέγουσιν οἱ τὰ Μακεδονίου φρονοῦντες, ποιησά-
μενος, μή ποτε μεταθήσεσθαι τῆς αὐτῶν δόξης· τὸ
δὲ τελευταῖον εἰς τὸ προφανὲς ὁρίσας, ὡς εἰ ἕλοιτο ὁ
Βαπτιστὴς ἀκολουθῆσαι τῷ βασιλεῖ, καὶ αὐτὸν κοι-
7 νωνήσειν αὐτῷ, μηδὲν διαφερόμενον. Ἐγένετο δὲ οὗ-
τος Πέρσης τὸ γένος· ἐπὶ δὲ τῆς Κωνσταντίου βασι-
λείας διωγμοῦ καταλαβόντος τοὺς ἐν Περσίδι Χρι-
στιανοὺς, φεύγων ἅμα Ἀδδᾷ τῷ αὐτοῦ ἀνεψιῷ, εἰς
8 Ῥωμαίους ἦλθεν. Ἀλλ' ὁ μὲν κλήρῳ ἐγκατελέγη,
καὶ εἰς πρεσβυτέρου προῆλθεν ἀξίαν. Ἀδδᾶς δὲ γή-
μας, μέγιστα τὴν ἐκκλησίαν ὠφέλησε, καὶ[f] παῖδα κα-
ταλιπὼν Αὐξέντιον, ἄνδρα περὶ τὸ θεῖον πιστότατον,
καὶ περὶ φίλους σπουδαῖον, ἐμμελῆ δὲ τὸν βίον, καὶ

[e] Correxi ex cod. Fuk. in quo *ταύτην ἱερώμενος* accentu in antepenultima. Id est, *sacra faciens juxta arcam illam*. Mos enim semper fuit apud Christianos, ut sanctorum reliquias repositas haberent sub altari in quo sacrificium Missæ peragebatur. Itaque pro *περὶ*, posset scribi *ὑπέρ*. At Nicephorus scriptum habet *διὰ ταύτην ἱερωμένος* pessime. VALESIUS. *ταῦτα ἱερωμένος* B. Steph. Genev.

[f] *καὶ* delendum esse monuit Valesius.

missarum solemnia celebrabat, illico subsecutus est. Et cum iis, qui erant ex ecclesia catholica, communicavit. Tametsi, sicut Macedoniani asserunt, jurejurando interposito antea affirmasset, nunquam se ab illorum opinione recessurum: ad extremum vero palam decrevisset, ut si Baptista imperatorem sequi vellet, ipse quoque absque ulla dilatione cum illo communicaret. Erat hic origine Persa. Qui Constantii temporibus, cum persecutio adversus Christianos in Perside grassaretur, arrepta fuga, simul cum Adda consobrino, in Romanorum ditionem venerat. Et ipse quidem clero adscriptus, ad presbyterii gradum conscendit. Addas vero, ducta uxore, plurimum profuit ecclesiæ, relicto post se filio Auxentio, viro erga Deum fidelissimo, et erga amicos promptissimo. Qui vita integer, et literarum studiosus, et multiplici

φιλολόγον, καὶ πολυμαθῆ τῶν Ἕλλησι καὶ τοῖς ἐκκλησιαστικοῖς συγγραφεῦσιν ἱστορημένων· μέτριον δὲ τὸ ἦθος, καίπερ βασιλεῖ καὶ τοῖς ἀμφ' αὐτὸν ἐπιτήδειον, καὶ λαμπρᾶς ἐπειλημμένον στρατείας. Ἀλλὰ τοῦδε μὲν πολύς ἐστι λόγος παρά τε εὐδοκιμωτάτοις μοναχοῖς καὶ σπουδαίοις ἀνδράσιν, οἵπερ αὐτοῦ ἐπειράθησαν.
9 Ἡ δὲ Ματρώνα μέχρι τελευτῆς ἐν τῇ Κοσιλάου κώμῃ διέτριβε· διεβίω δὲ ἱεροπρεπῶς μάλα καὶ σωφρόνως[g], ἱερῶν παρθένων ἡγουμένη· ὧν εἰσέτι νῦν πολλὰς περιεῖναι ἐπυθόμην, τῆς ὑπὸ Ματρώναν παιδεύσεως ἄξιον φερούσας ἦθος.

ΚΕΦ. ΚΒʹ.

Περὶ τῆς δι' ἀγχόνης τελευτῆς Οὐαλεντινιανοῦ τοῦ νέου βασιλέως ἐν Ῥώμῃ, καὶ περὶ τῆς τυραννίδος Εὐγενίου· καὶ περὶ τῆς προφητείας Ἰωάννου τοῦ ἐν Θηβαΐδι μοναχοῦ.

1 Καὶ ὁ μὲν Θεοδόσιος, ἐν εἰρήνῃ τὴν πρὸς ἕω ἀρχομένην ἰθύνων, ἐν τούτοις ἐσπούδαζε, καὶ ἐπιμελῶς μάλα τὸ θεῖον ἐθεράπευεν. Ἐν τούτῳ δὲ ἀγγέλλεται 312
Οὐαλεντινιανὸς ὁ βασιλεὺς ἀγχόνῃ ἀπολωλέναι.

g ἱεροπρεπῶς καὶ μάλα σωφ. B. Steph. Genev. corr. Christ. Scal.

tum Gentilium, tum ecclesiasticorum scriptorum cognitione fuit instructus. Idem moribus civilis ac moderatus, licet imperatori et aulicis familiaris esset, et splendidum in palatio officium gereret. Et hujus quidem viri celebris fama est, tum apud præstantissimos monachos, tum apud pios ac religiosos homines, qui notitiam ejus habuerunt. Matrona vero usque ad exitum vitæ mansit in vico Cosilai. Vixitque sanctæ admodum ac religiose, sacrarum Virginum magistra: quarum plerasque adhuc superstites esse accepi, moribus Matronæ magisterio haudquaquam indignis conversantes.

CAPUT XXII.

De nece imperatoris Valentiniani junioris, et de tyrannide Eugenii. Item de prædictione Joannis monachi Thebaide.

Ac Theodosius quidem, cum Orientis imperium pacate gubernaret, his rebus intentus erat, et divinum numen sedulo venerabatur. Interea vero nuncius adfertur, imperatorem Valentinia-

2 Ἐλέγετο δὲ ταύτην αὐτῷ καττῦσαι τὴν τελευτὴν διὰ
τῶν θαλαμηπόλων εὐνούχων, ἄλλους τέ τινας τῶν
εἰς τὰ βασίλεια, καὶ Ἀρβογάστην[h] τὸν ἐπὶ τῶν αὐ-
τοῦ στρατευμάτων τεταγμένον· καθότι πατρῴζοντα
τὸν νέον εὑρὼν[i] περὶ τὴν ἀρχήν, καὶ πρὸς πολλὰ τῶν
ἐκείνοις δοκούντων χαλεπαίνοντα. Οἱ δὲ αὐτὸν ἡγοῦν-
ται αὐτόχειρα ἑαυτοῦ γενέσθαι, ὡς ἐπιχειροῦντα τισὶν
οὐ δέον[k] ἐν τῷ ζέοντι τῆς ἡλικίας, καὶ κωλυόμενον·
καὶ τούτου χάριν οὐ καταξιώσαντα ζῆν, ὅτι βασι-
3 λεύων μὴ συγχωροῖτο ποιεῖν ἃ βούλεται. Φασί γε
μὴν τοῦτο τὸ μειράκιον εὐγενείᾳ σώματος, καὶ βασι-
λικῶν τρόπων ἀρετῇ, ὑπερφυῶς δόξαι τῆς ἡγεμονίας
ἄξιον, καὶ οἷος μεγαλοψυχίᾳ[l] καὶ δικαιοσύνῃ ὑπερβα-
λέσθαι τὸν αὐτοῦ πατέρα, εἰ παρῆλθεν[m] εἰς ἄνδρας·
4 καὶ ὁ μὲν τοιοῦτος ὤν, ὧδε τέθνηκεν. Εὐγένιος δέ

[h] Ita Socrat. Christ. Vales. et B. infra, c. 24, 7. Ἀρουαγάστην hoc loco B. Steph. Genev. Niceph.

[i] εὗρεν C. Tum παρὰ B.

[k] οὐ δέον om. cod. Fuk. nec videntur admodum necessariæ. VALESIUS.

[l] Scribendum est proculdubio καὶ οἷον μεγαλοψυχίᾳ καὶ δικαιοσύνῃ ὑπερβαλέσθαι. Quam emendationem confirmat Nicephorus xii. 39. Sic enim habet, τῷ δὲ μεγαλοψύχῳ καὶ τῷ τῆς δικαιοσύνης ἄκρῳ καὶ τὸν ἐκείνου ὑπερβαλέσθαι πατέρα. VALESIUS. Ita C. μεγαλόψυχος, ceteri.

[m] προῆλθεν maluit scribere Valesius.

num laqueo interiisse. Quo mortis genere per cubicularios eunuchos extinctus fuisse dicebatur, instigantibus aulicis quibusdam, ac præcipue Arbogaste magistro militiæ, eo quod illum in regendo imperio, paternæ virtutis æmulatorem viderent; nec iis quæ ipsis placuerant acquiescentem. Alii dicunt, eum sibi manus intulisse, propterea quod cum in ætatis fervore, quædam præter jus et æquum aggrederetur, proximi ipsum prohiberent: atque idcirco eum ulterius vivere noluisse, quod cum imperator esset, ea quæ volebat agere nequaquam permitteretur. Fertur porro hunc adolescentem, ob decorem corporis, et ob regiam indolem ac virtutem, imperio dignissimum exstitisse; et magnitudine animi ac justitia patrem ab illo potuisse superari, sed ad virilem ætatem pervenire ei licuisset. Atque hic quidem, cum ejusmodi esset, tali exitu periit. Eugenius autem quidam, haud sincero

τις οὐχ ὑγιῶς διακείμενος περὶ τὸ δόγμα τῶν Χριστιανῶν, ἐπεισπηδᾷ τῇ ἀρχῇ, καὶ τὰ σύμβολα τῆς βασιλείας ἀμφιέννυται. Ὤιετο δὲ τοῦ ἐπιχειρήματος ἀσφαλῶς κρατήσειν, ὑπαγόμενος λόγοις ἀνθρώπων εἰδέναι τὸ μέλλον ὑπισχνουμένων, σφαγίοις τισὶ καὶ
5 ἡπατοσκοπίαις καὶ καταλήψει ἀστέρων. Ἐσπούδαζον δὲ περὶ ταῦτα ἄλλοι τε πολλοὶ τῶν ἐν τέλει Ῥωμαίων, καὶ Φλαβιανὸς ὁ τότε ὕπαρχος, ἀνὴρ ἐλλόγιμος, καὶ περὶ τὰ πολιτικὰ ἐχέφρων εἶναι δοκῶν· προσέτι δὲ καὶ τὰ μέλλοντα ἀκριβοῦν λογιζόμενος ἐπιστήμῃ παντοδαπῆς μαντείας. Ταύτῃ γὰρ μάλιστα τὸν Εὐγένιον ἔπεισε εἰς πόλεμον παρασκευάσασθαι, μοιρίδιον εἶναι αὐτῷ τὴν βασιλείαν ἰσχυριζόμενος, καὶ νίκην ἐπὶ τῇ μάχῃ συμβήσεσθαι, καὶ μεταβολὴν τῆς
6 Χριστιανῶν θρησκείας. Καὶ Εὐγένιος μὲν ταύταις ταῖς ἐλπίσι βουκολούμενος, πλείστην ἤγειρε στρατιὰν, καὶ τὰς πρὸς τῇ Ἰταλίᾳ πύλας[n], ἃς οἱ Ῥωμαῖοι Ἰουλίας Ἄλπεις καλοῦσι, προκαταλαβὼν ἐφρούρει,

[n] Cod. Fuk. πρὸς τῇ Ἰταλίᾳ. Nicephorus τὰς ἐν Ἰταλίᾳ πύλας. Melius tamen scriberetur τὰς πρὸ τῆς Ἰταλίας πύλας. Nam Alpes Juliæ, quasi munimenta quædam ac propugnacula, Italiam defendunt. VALES. πρὸς τὰς τῆς Ἰταλίας πύλας J. Christ. [Vulc. τῆς om. Scal.] τὰς πρὸς τὰς Ἰταλίους Steph. Genev.

animo erga religionem Christianorum affectus, imperium invasit, ejusque insignia sibi assumpsit. Sperabat autem se principatum firmiter retenturum, inductus verbis quorumdam hominum, qui se futura nosse jactabant, ex victimis quibusdam, extorumque inspectione, et observatione siderum. Cui superstitioni addicti erant eo tempore, tum alii plures ex proceribus Romanorum, tum Flavianus præfectus prætorio; vir eximius, et in republica gerenda prudentissimus; et qui insuper omnium divinandi artium peritus, res futuras certissime prænoscere putabatur. Hac enim ratione præcipue Eugenium impulit, ut bellum pararet, imperium fato ei destinatum esse affirmans, commissoque prœlio victoriam ei cessuram, et mutationem religionis Christianorum secuturam. Et Eugenius quidem hujusmodi spe delusus, ingentem exercitum collegit: et præruptas fauces Italiæ objectas, quas Romani Alpes

ὡς ἐν στενῷ μίαν πάροδον ἐχούσας, ἑκατέρωθεν πε-
7 φραγμένας ἀπορρῶξι καὶ ὑψηλοτάτοις ὄρεσι. Θεοδό-
σιος δὲ διανοούμενος, πῇ ἄρα τὴν ἀπόβασιν ἕξει ὁ
πρὸς αὐτὸν πόλεμος, καὶ πότερον[o] ἐπ' αὐτὸν χωρεῖν
δεῖ ἢ ἐπιόντα περιμένειν, ἔγνωκε περὶ τούτου συμ-
βούλῳ χρήσασθαι Ἰωάννῃ τῷ ἐν Θηβαΐδι μοναχῷ·
ὃν ἐν τοῖς πρόσθεν εἴρηται ἐπιφανέστατον τηνικάδε
γενέσθαι ἐπὶ γνώσει[p] τῶν ἐσομένων. Καὶ Εὐτρόπιον, 313
ὃς πιστὸς ἦν αὐτῷ τῶν ἐν τοῖς βασιλείοις εὐνούχων,
πέπομφεν εἰς Αἴγυπτον, εἰ μὲν δυνατὸν, ἄξοντα αὐ-
8 τόν· εἰ δὲ παραιτήσαιτο, τὸ πρακτέον μαθεῖν. Καὶ ὁ
μὲν εἰς Ἰωάννην παραγενόμενος, οὐκ ἔπεισε πρὸς τὸν
βασιλέα ἐλθεῖν· ἐπανελθὼν δὲ, ἤγγειλεν εἰπεῖν, αὐ-
τὸν νικήσειν τὸν πόλεμον, καὶ καθελόντα τὸν τύραν-
νον, μετὰ τὴν νίκην ἐν Ἰταλίᾳ μεταλλάξαι[q] τὸν βίον.
Ἀμφότερα δὲ ἀληθῆ τὸ τέλος ἔδειξεν.

[o] Ita Christ. Curt. Scal. Vales. πρότερον B. Steph.

[p] προγνώσει J. Christ. Scal.

[q] Apparet scribendum esse μεταλλάξειν. VALESIUS.

Julias vocant, valido præsidio occupavit; quippe quæ altissimis ac præruptis utrinque montibus munitæ, unum duntaxat transitum in angustiis præbeant. Theodosius vero, sollicitus quisnam exitus belli adversus Eugenium futurus esset, et utrum ultro illum aggredi, an potius venientem exspectare oporteret; consilium ea de re Joannis monachi in Thebaide degentis expetere constituit: quem ob futurarum rerum scientiam celeberrimum tunc temporis fuisse, supra commemoravi. Eutropium igitur, unum ex Eunuchis palatii, sibi fidissimum, in Ægyptum mittit, ut si fieri possit, eum adducat; sin minus, saltem ex eo discat quid agendum sit. Is cum ad Joannem venisset, persuadere ei non potuit ut ad imperatorem acccederet. Sed reversus, nuntiavit Theodosio Joannem dixisse, quod victoriam ex bello relaturus esset, extinctoque tyranno, post victoriam in Italia ipsum esse moriturum. Quorum utrumque vere dictum fuisse, exitus comprobavit.

ΚΕΦ. ΚΓʹ.

Περὶ τῆς εἰσπράξεως τῶν φόρων, καὶ τῶν καθαιρεθέντων ἐν Ἀντιοχείᾳ βασιλικῶν ἀνδριάντων, καὶ τῆς τοῦ ἀρχιερέως Φλαβιανοῦ πρεσβείας.

1 Ἐν τούτῳ δὲ διὰ τὴν χρείαν τοῦ πολέμου ἔδοξε τοῖς ἄρχουσιν οἷς τούτου μέλει, πλεόν τι τῶν εἰωθότων φόρων εἰσπράξασθαι τοὺς ὑποτελεῖς. Ἐπὶ τούτῳ δὲ στασιάσας ὁ ἐν Συρίᾳ τῶν Ἀντιοχέων δῆμος, τοὺς τοῦ βασιλέως ἀνδριάντας καθεῖλε, καὶ τῆς αὐτοῦ γαμετῆς· καὶ σχοίνῳ προσάψας εἷλκεν, οἵας εἰκὸς ὑπὸ χαλεπαίνοντος πλήθους ὑβριστικὰς ἀφιεὶς φωνάς. 2 Ἐπεὶ δὲ πολλοὺς Ἀντιοχέων διαφθεῖραι διενοεῖτο, καὶ πρὸς μόνην τὴν φήμην κατεπλάγη τὸ πλῆθος, καὶ παυσάμενοι μαίνεσθαι μετεμελοῦντο· καὶ ὡς ἐπὶ παροῦσι τοῖς ἀγγελλομένοις κακοῖς ἔστενόν τε καὶ ἐδάκρυον, καὶ τὸν Θεὸν ἱκέτευον πραῦναι τοῦ κρατοῦντος τὴν ὀργὴν, μελῳδίαις τισὶν ὀλοφυρτικῶς πρὸς
3 τὰς λιτὰς κεχρημένοι. Ἡνίκα δὴ καὶ Φλαβιανὸς ὁ Ἀντιοχέων ἐπίσκοπος, πρεσβευόμενος ὑπὲρ τῶν πολιτῶν, ἔτι τοῦ βασιλέως χαλεπαίνοντος, πέπεικε τοὺς

CAPUT XXIII.

De exactione tributorum, et de statuis imperialibus Antiochiæ dejectis, et de legatione archiepiscopi Flaviani.

Inter hæc ob imminentis belli necessitatem, magistratibus quibus id curæ erat, e re publica visum est ut tributa solito graviora a provincialibus exigerentur. Hanc ob causam ad seditionem concitatus Antiochenorum populus, statuas imperatoris atque uxoris ejus dejecit, et fune injecto per urbem traxit, contumeliosa insuper verba adjiciens, sicut a multitudine exacerbata fieri solet. Porro cum imperator multos Antiochenorum interficere ob id vellet, ad solum ejus rei rumorem plebs obstupefacta est. Jamque sedato furore, ipsos facti pœnitebat: et quasi mala quæ nuntiabantur jam adessent, gemebant omnes ac lugebant, Deumque precabantur ut imperatoris animum placaret, canticis quibusdam lugubribus ad eam supplicationem utentes. Quo quidem tempore Flavianus Antiochensis episcopus, pro civibus suis legatione fungens, cum imperator adhuc indignatione percitus esset, persuasit

παρὰ τὴν βασιλικὴν τράπεζαν ᾄδειν εἰωθότας νέους, τὰς ἐν ταῖς λιταῖς τῶν Ἀντιοχέων ψαλμῳδίας εἰπεῖν· ἐφ' ᾧ λέγεται φιλανθρωπίᾳ διαχυθέντα τὸν βασιλέα, κρατηθῆναι τῷ ἐλέῳ, καὶ αὐτίκα τὴν ὀργὴν ἐκβαλεῖν, καὶ σπείσασθαι πρὸς τὴν πόλιν, δάκρυσι βρέξαντα
4 *τὴν φιάλην, ἣν ἔτυχε κατέχων. Φασὶ δὲ τῆς φθασάσης νυκτὸς μεθ' ἣν εὐθὺς ἐπιγενομένης ἡμέρας ἡ στάσις ἐγένετο, φάσμα γυναικὸς θεαθῆναι, μεγέθει ἐξαίσιον καὶ θέᾳ φοβερὸν, μετάρσιόν τε διατρέχον* 314 *ἀνὰ τὰς ἀγυιὰς τῆς πόλεως, τὸν ἀέρα μαστίζειν ὑπὸ μάστιγι δυσήχῳ, οἵαις εἰς θυμὸν προκαλοῦνται τοὺς*
5 *θῆρας οἱ περὶ τὰ τοιαῦτα θέατρα πονοῦντες. Οὕτω τις ἀλάστωρ δαίμων*[r] *ἐπιβουλῇ τὴν στάσιν ἐκίνησεν· ἐπηκολούθησε δ' ἂν καὶ φόνος πολὺς, εἰ μὴ τὴν ὀργὴν κατέπαυσεν ὁ βασιλεὺς, τὴν ἱερατικὴν ὑπὸ εὐσεβείας ἱκεσίαν αἰδεσθείς.*

[r] Hunc locum præclare mihi videor restituisse. Nam cum in codice Fuketiano scriptum invenissem *δαίμων ἐπιβουλῆς*, totum locum ita emendandum putavi: *οὕτω τις ἀλάστωρ δαίμων, ἐξ ἐπιβουλῆς τὴν στάσιν ἐκίνησεν.* Emendationem nostram confirmat Nicephorus, qui ita diserte scriptum habet ut conjeceram, quemadmodum videre est in xii. 43. VALESIUS. *δαιμόνων* B. Steph. Genev.

adolescentibus qui ad imperatoris mensam canere solebant, ut cantica quibus Antiocheni in supplicationibus suis utebantur, cantarent. Quo facto imperator in clementiam flexus, et miseratione superatus, iram protinus abjecisse dicitur, et cum Antiochensibus in gratiam rediisse, perfuso lacrymis poculo quod tum forte in manibus habebat. Cæterum aiunt, nocte illa quæ diem quo seditio facta est præcessit, spectrum quoddam muliebre visum esse, magnitudine incredibili, et aspectu terribile: quod sublime per plateas urbis discurrens, aërem cæderet flagello quodam horrisono: cujusmodi flagris bestias ad furorem concitare solent ii, qui ejusmodi spectaculis operam suam locant. Ita exitiosus quidam dæmon hanc seditionem insidiose conflavit. Ac profecto ingens cædes consecuta esset, nisi imperator iram suam repressisset, sacerdotis intercessionem pro pietate sua reveritus.

ΚΕΦ. ΚΔʹ.

Περὶ τῆς Θεοδοσίου τοῦ βασιλέως κατὰ τοῦ Εὐγενίου νίκης.

1 Ἐπεὶ δὲ τὰ πρὸς τὸν πόλεμον αὐτῷ ηὐτρέπιστο,
ἀναγορεύει βασιλέα Ὁνώριον τὸν νεώτερον υἱόν· Ἀρ-
κάδιον γὰρ ἤδη χειροτονήσας ἦν. Ἄμφω δὲ ἐν Κων-
σταντινουπόλει καταλιπών, σπουδῇ σὺν ταῖς στρα-
τιαῖς ἀπὸ τῆς ἕω ἐπὶ τὴν πρὸς δύσιν ἀρχομένην
ἠπείγετο. Συνείπετο δὲ αὐτῷ καὶ πλῆθος συμμάχων,
2 τῶν περὶ[8] τὸν Ἴστρον βαρβάρων. Λέγεται δὲ τότε
τῆς Κωνσταντινουπόλεως ἐκδημῶν, πρὸς τῷ ἑβδόμῳ
μιλίῳ γενόμενος, προσεύξασθαι τῷ Θεῷ ἐν τῇ ἐνθάδε
ἐκκλησίᾳ, ἣν ἐπὶ τιμῇ Ἰωάννου τοῦ βαπτιστοῦ ἐδεί-
ματο· αἰτῆσαί τε αἰσίαν αὐτῷ καὶ τῇ στρατιᾷ καὶ
Ῥωμαίοις ἅπασι γενέσθαι τὴν ἔκβασιν τοῦ πολέμου,
καὶ σύμμαχον αὐτῷ ἐπικαλέσασθαι τὸν Βαπτιστήν.
3 Ταῦτα δὲ προσευξάμενος, εἰς Ἰταλίαν ἀφίκετο. Καὶ
προσβαλὼν ταῖς Ἄλπεσιν, εἷλε τὰς πρώτας φυλα-
κάς. Παραμείψας δὲ τῆς παρόδου τὸ ἄκρον, ὡς πρὸς

[8] παρὰ legi videtur in B. ut Steph. Genev. περὶ Christ. Vales.

CAPUT XXIV.

De victoria quam imperator Theodosius de Eugenio reportavit.

Porro cum omnia quæ ad bellum necessaria erant, abunde comparasset, filium natu minorem Honorium, Augustum nuncupavit. Arcadium enim jam antea Augustum renuntiaverat. Utroque autem relicto Constantinopoli, ipse cum copiis ex Orientis partibus profectus, ad Occidentalis imperii provincias propere contendit. Sequebatur illum ingens turba auxiliarium, ex barbaris qui circa Danubium habitabant. Cum autem egressus Constantinopoli, ad septimum milliare pervenisset, Deum illic orasse dicitur in ecclesia quam in honorem Joannis Baptistæ construxerat: utque faustus ac felix sibi et exercitui et Romanis omnibus belli exitus contingeret, postulasse, et Baptistam sibi auxiliatorem invocasse. Hæc precatus, in Italiam iter fecit. Cumque ad Alpes venisset, primas stationes occupat. Et cum transitus verticem prætergressus, jam in descensu esset, campum equitibus ac peditibus opple-

τῇ καθόδῳ ἐγένετο, εἶδε τὸ πεδίον πλῆρες ἱππέων καὶ πεζῶν· οὐκ ἄπωθεν[t] δὲ κατὰ νώτου πολλοὺς τῶν πολεμίων ἐν τῇ κορυφῇ τοῦ ὄρους τέως ἠρεμοῦντας.
4 Ἐπεὶ δὲ οἱ πρῶτοι παρελθόντες συνεμίσγοντο τοῖς ἐν τῷ πεδίῳ, μάχη καρτερὰ καὶ ἀμφήριστος ἐκινήθη. Ἔτι δὲ περιούσης[u] τῆς στρατιᾶς, λογισάμενος, ὅσον ἧκεν εἰς ἀνθρώπων δύναμιν, καὶ βουλομένοις μὴ δυνατὸν σώζεσθαι, ἐπιτιθεμένων τῶν ἀπὸ τοῦ νώτου[x] τὴν ἀκρώρειαν καταλαβόντων, πρηνὴς ἐπὶ τοῦ ἐδάφους πεσὼν, ηὔχετο δακρύων. Καὶ ὁ Θεὸς αὐτίκα
5 ἐπήκουσεν, ὡς τὸ ἀποβὰν ἔδειξε. Πέμψαντες γάρ τινας, συμμάχους σφᾶς ἔσεσθαι προσήγγειλαν οἱ ἡγεμόνες τῶν περικαθημένων τὴν ἄκραν, εἰ μέλλοιεν ἐν τιμῇ παρ' αὐτῷ εἶναι. Ἐπεὶ δὲ χάρτην καὶ μέλαν ἐπιζητήσας οὐχ εὗρε, δέλτον δὲ[y] λαβὼν ἣν ἔτυχέ τις τῶν παρεστώτων ἔχων, ἐνέγραψεν αὐτοῖς ἐπισήμου καὶ ἁρμοδίου στρατιᾶς[z] τάξιν, ἣν ἕξουσι παρ' αὐτῷ 315

[t] ἄποθεν, et, νότου B. νότου Steph. Genev. νώτου Curt. et infra Christ.

[u] Lego παριούσης, vel certe κατιούσης ut habet Nicephorus in cap. 39. VALESIUS.

[x] ἀπὸ νότου B.

[y] δὴ scribendum esse monuit Valesius.

[z] Mallem scribere στρατείας. Id est ordinem militiæ: στρατιὰ vero exercitum significat. VALES.

tum videt: nec procul multos hostium a tergo in montis cacumine interim subsistentes. Cum igitur primi transgressi, cum hostibus in campo manum conseruissent, acris et anceps exstitit pugna. Porro cum exercitus adhuc progrederetur, animadvertens imperator, humana quidem ope suos nullatenus servari posse, tametsi maxime vellent, incumbentibus a tergo iis qui verticem occupaverant; pronus humi abjectus orare cœpit cum lacrymis, statimque Deus precibus ejus annuit, sicut eventu ipso comprobatum est. Nam rectores eorum qui montis verticem tenebant, missis ad illum nunciis, se ad illius partes transituros esse polliciti, si honoratiorem gradum apud illum habituri essent. Tum vero imperator, cum chartam et atramentum quæsitum non reperisset, acceptis tabulis quas quidam ex adstantibus forte gerebat, honoratæ et convenientis ipsis militiæ perscripsit gradum, quem apud se essent habituri si promissa implevissent. Atque hi quidem istiusmodi

τὴν ὑπόσχεσιν πληροῦντες. Καὶ οἱ μὲν ἐπὶ τούτοις
6 τῷ βασιλεῖ προσεχώρησαν. Μή πω δὲ θατέρου μέ-
ρους κλίναντος, ἀλλ' ἔτι τῆς ἐν πεδίῳ μάχης ἑκατέ-
ρωθεν ἰσαζούσης, ἀντιπρόσωπος τοῖς ἐναντίοις ἐμβὰς[a]
ἄνεμος ἐξαίσιος, καὶ οἷον οὔπω πρότερον ἱστορήσαμεν,
διέλυσε τὰς τῶν πολεμίων τάξεις· βέλη δὲ καὶ ἀκόν-
τια κατὰ Ῥωμαίων πεμπόμενα, ὡς ἀντιτύποις[b] προσ-
βάλλοντα, εἰς τὰ τῶν ἀκοντιζόντων περιέστρεφε σώ-
ματα· καὶ τὰς ἀσπίδας ἐξαρπάζων τῶν χειρῶν, σὺν
7 φορυτῷ καὶ κονιορτῷ κατ' αὐτῶν ἐκύλιε. Γυμνωθέν-
τες δὲ τῶν ὅπλων, οἱ μὲν πλείους αὐτίκα διεφθάρησαν,
οἱ δὲ πρὸς ὀλίγον φυγῇ διασωθέντες μετ' οὐ πολὺ
ἥλωσαν[c]. Εὐγένιος δὲ, προσδραμὼν τοῖς ποσὶ τοῦ
βασιλέως, ἐδεῖτο σώζεσθαι· ἐν ᾧ δὲ ἱκέτευε, πρός
του τῶν στρατιωτῶν τὴν κεφαλὴν ἀπετμήθη. Ἀρβο-
γάστης[d] δὲ φεύγων μετὰ τὴν μάχην αὐτόχειρ ἑαυτοῦ
8 γέγονε. Λέγεται δὲ καθ' ὃν καιρὸν οὗτος ὁ πόλεμος
συνεκροτεῖτο, ὡς ἐν τῷ νεῷ τοῦ Θεοῦ τῷ ἐν τῷ ἑβδό-

[a] Non placet illud ἐμβὰς, de vento: usitatior vox foret ἐμπεσὼν: sed nulla est variatio in codd.

[b] ἀντιτύπα B.

[c] ἧλωσαν B. et infra.

[d] Ἀρβογάδης J. Christ. Scal.

conditionibus imperatori sese adjunxerunt. Cæterum cum neutra pars adhuc cederet, sed æquo Marte utrinque acriter pugnaretur, ventus ingens et qualem antea nunquam fuisse novimus, ex adverso in hostes irruens, eorum ordines disturbavit: tela vero et jacula quæ in Romanos conjecta erant, perinde ac si solidis corporibus illisa essent, in ipsa jaculantium corpora retorsit. Scuta denique ex eorum manibus abrepta, cum sordibus ac pulvere in ipsos contorsit. Itaque armis nudati, alii vero ad modicum tempus fuga elapsi, haud multo post capti fuere. Eugenius autem ad pedes imperatoris provolutus, ut vita ipsi concederetur orabat. Sed dum supplicaret, a quodam ex militibus capite truncatus est. Arbogastes vero, post prœlium fugiens, sua se manu interemit. Porro eo ipso tempore quo pugna committebatur, aiunt dæmoniacum quendam in templo Dei quod erat in Septimo, in quo imperator ab bellum proficiscens preces fuderat, a dæmone sublimem

μῷ, οὗ προσηύξατο ὁ βασιλεὺς ἐξιὼν, δαιμονῶν τις ἀναρπασθεὶς μετάρσιος, τὸν βαπτιστὴν Ἰωάννην ἐλοιδορεῖτο, καὶ ὡς τῆς κεφαλῆς ἀποτμηθέντα ὠνείδιζε, καὶ ἀνεβόα· Σύ με νικᾷς, καὶ τῇ ἐμῇ στρατιᾷ ἐπιβου-
9 λεύεις. Οἱ δὲ περιτυχόντες, ὡς εἰκὸς, πολλῆς οὔσης περὶ τοῦ πολέμου σπουδῆς νεώτερόν τι ἀκούειν καὶ λέγειν, καταπλαγέντες ἀνεγράψαντο τὴν ἡμέραν, καθ' ἣν γενέσθαι τὰ περὶ τὸν πόλεμον οὐκ εἰς μακρὰν ἔγνωσαν παρὰ[e] τῶν κοινωνησάντων τῇ μάχῃ. Καὶ τὰ μὲν ὧδε γενέσθαι λόγος.

ΚΕΦ. ΚΕ'.

Περὶ τῆς πρὸς βασιλέα Θεοδόσιον τοῦ ἁγίου Ἀμβροσίου παρρησίας, καὶ τοῦ φόνου τῶν ἐν Θεσσαλονίκῃ· καὶ διήγησις τοῦ ἁγίου τούτου ἑτέρων κατορθωμάτων.

1 Μετὰ δὲ τὴν Εὐγενίου καθαίρεσιν ἀφικόμενος εἰς Μεδιόλανον ὁ βασιλεὺς, ἧκεν εἰς τὴν ἐκκλησίαν εὐξόμενος. Ὡς δὲ πρὸς ταῖς θύραις ἐγένετο, ὑπήντετο[f] Ἀμβρόσιος ὁ τῆς πόλεως ἐπίσκοπος· καὶ λαβόμενος

[e] περὶ B. Steph. Genev.
[f] ἀπήντετο primo scriptum tum correctum in ὑπ. B.

raptum Joanni Baptistæ conviciatum esse, eumque tanquam capite truncatum, probris appetiisse, ita vociferando: Tu me vincis, et exercitui meo insidiaris. Hi vero qui aderant, cum, ut credibile est, ingens omnium studium esset de hoc bello, ut aliquid novi audirent ac dicerent, obstupefacti diem in charta perscripserunt; eoque ipso die prœlium factum esse, haud multo post ex iis qui prœlio interfuerant didicerunt. Atque hæc quidem in hunc modum gesta esse dicuntur.

CAPUT XXV.

De beati Ambrosii in loquendo libertate, qua usus est erga imperatorem Theodosium: et de cæde Thessalonicensium. Item de aliis rebus a sancto illo viro præclare gestis.

Post Eugenii necem, imperator Mediolanum ingressus, orandi causa ad ecclesiam processit. Cumque ad fores venisset, occurrit ei Ambrosius civitatis episcopus. Et apprehensa ejus purpura

2 τῆς ἁλουργίδος ἐπὶ τοῦ πλήθους, Ἐπίσχες, ἔφη· ἀν-
δρὶ γὰρ ὑπὸ ἁμαρτίας βεβήλῳ, καὶ τὰς χεῖρας ᾑμαγ-
μένας οὐκ ἐν δίκῃ ἔχοντι, οὐ θεμιτὸν πρὸ μετανοίας
τῆς τοῦ ἱεροῦ ἐπιβαίνειν οὐδοῦ[g], ἢ μυστηρίων θείων
κοινωνεῖν. Ὁ δὲ βασιλεὺς θαυμάσας τὸν ἱερέα τῆς 316
παρρησίας, σύννους γεγονὼς ὑπέστρεφεν, ὑπὸ τῆς με-
3 τανοίας κεντούμενος. Ἦν δὲ τῆς ἁμαρτίας πρόφασις
τοιάδε· Βουθερίχου[h] τοῦ ἡγουμένου τότε τῶν παρ'
Ἰλλυριοῖς στρατιωτῶν ἡνίοχος τὸν οἰνοχόον αἰσχρῶς
ἰδὼν, ἐπείρασε· καὶ συλληφθεὶς ἐν φρουρᾷ ἦν.
Ἐπισήμου δὲ ἱπποδρομίας ἐπιτελεῖσθαι μελλούσης,
ὡς ἀναγκαῖον εἰς τὴν ἀγωνίαν ὁ Θεσσαλονικέων δῆ-
μος ἐζήτει ἀφίεσθαι· ὡς δὲ οὐδὲν ἤνυεν, εἰς χαλεπὴν
κατέστη στάσιν· καὶ τελευτῶν[i] τὸν Βουθερίχαν[k]
4 ἀνεῖλε. Καὶ ἐπεὶ τάδε ἐμηνύθη, εἰς ἄμετρον ὀργὴν
ἐμπεσὼν ὁ βασιλεὺς ῥητὸν τῶν προστυγχανόντων

[g] In cod. Fuk. ὀδοῦ, pessime ut apparet. Sed totus locus ex Niceplioro emendandus est hoc modo, οὐ θεμιτὸν πρὸ τῆς μετανοίας τοῦ ἱεροῦ etc. VALESIUS. Ita B. Christ. πρὸ τῆς μετ. Scal. θεμιτὸν τὸν * μετανοίας τῆς τοῦ Steph. Genev.

[h] Ita B. cod. Fuk. Valesii, Niceph. Βωθερίχου Steph. Genev. Βουθερίκου Vales.

[i] τελευταῖον cod. Fuk. Valesii.

[k] Βουθέριχον Niceph. rectius judicio Valesii.

coram omni multitudine: Siste gradum, inquit. Homini enim ob delicta profano, et manus injusta cæde pollutas gerenti ante pœnitentiam actam sacrum limen intrare non licet, nec ad sacrorum mysteriorum communionem accedere. Tum vero imperator, sacerdotis libertatem admiratus, ad se rediit, et pœnitentiæ stimulis compunctus abscessit. Peccati vero hæc fuerat occasio. Butherici eo tempore magistri militum per Illyricum pincernam, auriga amore ejus captus, de stupro sollicitaverat; eamque ob causam comprehensus, in custodia tenebatur. Cum autem nobile equorum certamen in circo edendum esset, populus Thessalonicensis postulavit, ut is tanquam ad illud certamen necessarius dimitteretur. Sed cum nihil proficeret, gravissimam seditionem commovit: ac postremo Buthericum ipsum interfecit. Ea re nuntiata, imperator incredibili ira succensus, certum numerum eorum qui obvii fierent,

ἀριθμὸν ἀναιρεθῆναι προσέταξεν. Ἐντεῦθεν δὲ πολ-
λῶν ἀδίκων ἐνεπλήσθη φόνων ἡ πόλις. Ξένοι τε γὰρ
αὐτίκα προσπλεύσαντες, καὶ ἐξ ὁδοῦ ἀφικόμενοι, ἀδο-
5 κήτως ἥλωσαν[l]. Καὶ πάθη ἐλεεινὰ συνέβη, ἐν οἷς
καὶ τόδε· ἔμπορος ἀντὶ δύο παίδων αὐτοῦ συλλη-
φθέντων, προσαγαγὼν ἑαυτὸν, ἀποθανεῖν ἐδεῖτο· τοὺς
δὲ σώζεσθαι· καὶ μισθὸν τούτου χρυσίον ὅσον εἶχε
προΐσχετο τοῖς στρατιώταις. Οἱ δὲ, τὸν ἄνθρωπον
τῆς συμφορᾶς ἐλεήσαντες, ἀντὶ ἑνὸς οὗ ἂν ἑλεῖται[m]
τῶν υἱέων, τὴν ἱκεσίαν προσίεντο· τοὺς δὲ δύο ἀφ-
ιέναι, ὡς ἐπιλείποντος τοῦ ἀριθμοῦ, οὐκ ἀκίνδυνον
6 σφίσιν ἔφασαν. Εἰς ἀμφοτέρους δὲ βλέπων ὁ πατὴρ,
ὀλοφυρόμενός τε καὶ κλαίων, οὐδετέρου τὴν αἵρεσιν
ὑπέστη· ἀλλ' ἀπορῶν εἰσότε τεθνήκασι διετέλεσεν,
ἑκατέρου τῷ φίλτρῳ ἐπίσης νικώμενος. Καὶ οἰκέτην
δὲ ἀγαθὸν ἐπυθόμην τότε, ἀντὶ δεσπότου ἀγομένου
7 πρὸς τὴν σφαγὴν ἀναιρεθῆναι προθύμως. Τοιούτων
δὲ καὶ ἑτέρων, ὡς εἰκὸς, συγκυρησάντων κακῶν, ἐπ-

[l] ἤλοσαν B. [m] ἕληται Niceph.

obtruncari præcepit. Hac occasione civitas, multorum innocentum sanguine completa est. Etenim peregrini, qui recens eo appulerant, vel terrestri itinere advenerant, præter expectationem statim comprehensi sunt. Multaque tum acciderunt miseratione digna, inter quæ et istud, Mercator quidam pro duobus filiis qui comprehensi fuerant, semetipsum offerens, rogabat ut ipse quidem necaretur, filii vero abirent incolumes. Et pro hujus beneficii mercede, quidquid habebat auri, militibus pollicebatur. Illi calamitatem hominis miserati, pro altero ex filiis quem vellet, supplicationem ejus admiserunt. Utrumque vero dimittere, haud quaquam sibi tutum fore dixerunt, eo quod numerus deficeret. Verum pater cum ambos aspiceret, flens ac gemens, neutrum ex duobus eximere valuit. Sed dubius ancepsque animi quoad interficerentur permansit, utriusque amore ex æquo flagrans. Præterea famulum quendam frugi, pro domino suo, qui tum ad mortem ducebatur, libenti animo occisum esse accepi. Horum igitur malorum, et aliorum complurium, quæ tum, ut verisimile est, acciderunt,

αιτιώμενος Ἀμβρόσιος τὸν βασιλέα, τῆς ἐκκλησίας
εἶρξε, καὶ ἀκοινώνητον ἐποίησε. Δημοσίᾳ δὲ καὶ αὐ-
τὸς τὴν ἁμαρτίαν ἐπὶ τῆς ἐκκλησίας ὡμολόγησε· καὶ
πάντα τὸν ὁρισθέντα αὐτῷ χρόνον εἰς μετάνοιαν, οἷά
γε πενθῶν, βασιλικῷ κόσμῳ οὐκ ἐχρήσατο· καὶ νόμον[n]
προσέταξε, τοὺς διακονουμένους τοῖς τοῦ βασιλέως
προστάγμασιν, εἰς τριακοστὴν ἡμέραν ἀναβάλλεσθαι
τὴν τιμωρίαν τῶν ἐπὶ θανάτῳ καταδεδικασμένων·
ὥστε καὶ τὸν ἐν μέσῳ χρόνον μαλάσσειν τὴν τοῦ
βασιλέως ὀργὴν, καὶ τοῦ θυμοῦ παρακμάζοντος, ἐλέῳ
8 καὶ μεταμελείᾳ γενέσθαι χώραν. Ἀμβροσίῳ δὲ τούτῳ
πολλὰ μὲν καὶ ἄλλα κατώρθωται[o] ἄξια ἱερωσύνης, ἃ
μόνοις ἐπιχωρίοις κατὰ τὸ εἰκὸς ἔγνωσται. Τῶν δ' 317
αὖ[p] ἐπισημοτάτων αὐτοῦ ἔργων, καὶ τοῦτο ἐπυθόμην.
9 Ἔθος ἦν τοὺς βασιλεῖς ἐν τῷ ἱερατείῳ ἐκκλησιάζειν,
κατ' ἐξοχὴν τῶν ὁρίων τοῦ λαοῦ κεχωρισμένους· κο-
λακείας[q] δὲ ἢ ἀταξίας εἶναι τοῦτο συνιδὼν, τόπον
εἶναι βασιλέως ἐν ἐκκλησίᾳ τέταχε, τὸν πρὸ τῶν δρυ-

[n] Proculdubio scribendum est νόμῳ. VALESIUS.

[o] κατώρθωτο cod. Fuk. Valesii.

[p] Ita B. αὖ om. ceteri.

[q] Ita B. Niceph. κολακίας edd.

causam imperatori adscribens Ambrosius, eum ab aditu ecclesiæ repulit, et a communione removit. Imperator vero peccatum suum publice in ecclesia confessus est: et toto illo temporis spatio quod ipsi ad pœnitentiam præstitutum fuerat, tanquam qui in luctu esset, imperiali cultu minime est usus. Quin etiam legem tulit, ut qui principis jussionibus obsequuntur, in tricesimum usque diem differrent supplicia eorum qui capite damnati essent. Eo scilicet consilio, ut interjecti temporis spatium imperatoris iram leniret, et imminuto jam furore, locus miserationi ac pœnitentiæ relinqueretur. Porro Ambrosius iste, multa quoque alia gessit, sacerdotali officio digna, quæ, ut verisimile est, solis eorum locorum incolis nota sunt. Inter egregia autem ejus facinora, istud quoque auditione accepi. Moris erat, ut imperatores intra consepta altaris in ecclesia consisterent, honoris causa a populi multitudine separati. Quod ex assentatione, vel ex disciplinæ corruptione profectum esse Ambrosius animadvertens, locum imperatori in

φάκτων τοῦ ἱερατείου· ὥστε τοῦ μὲν λαοῦ τὸν κρα-
τοῦντα τὴν προεδρίαν ἔχειν· αὐτοῦ δὲ τοὺς ἱερέας
προκαθῆσθαι. Ταύτην δὲ τὴν ἀρίστην παράδοσιν
ἐπῄνεσε Θεοδόσιος ὁ βασιλεὺς, καὶ οἱ μετὰ ταῦτα
ἐκράτυναν· καὶ ἐξ ἐκείνου νυνὶ φυλαττομένην ὁρῶμεν.
10 *Τούτου δὲ τοῦ ἀνδρὸς καὶ τόδε τὸ ἔργον ἀξιομνη-*
μόνευτον περιλαβεῖν τῇ γραφῇ, ἀναγκαῖον εἶναί μοι
δοκεῖ. Ἕλλην τις τῶν ἐν τέλει, τὸν Γρατιανὸν ἐλοι-
δόρει, καὶ τοῦ πατρὸς ἀνάξιον ἀπεκάλει· καὶ γραφὴν
ἐπὶ τούτοις ὑπομείνας κατεδικάσθη θανεῖν. Ἀγομένου
δὲ αὐτοῦ ἐπὶ τιμωρίᾳ, ἧκεν Ἀμβρόσιος εἰς τὰ βασί-
11 *λεια, περὶ αὐτοῦ δεησόμενος. Ὑπὸ σπουδῆς δὲ τῶν*
αὐτῷ ἐπιβουλευόντων ἀσχολουμένου Γρατιανοῦ περὶ
θέαν κυνηγίων, οἵας εἰώθασιν οἱ βασιλεῖς ἐπιτελεῖν,
τερπωλῆς ἰδίας χάριν, οὐ δημοσίας, μηδενός τε τῶν
ἐπὶ ταῖς βασιλικαῖς πύλαις τεταγμένων μηνύοντος, ὡς
12 *οὐ καιροῦ ὄντος, ὑπεχώρησεν. Ἐλθὼν δὲ ἐπὶ τὴν*
πύλην ᾗ τοὺς θῆρας εἰσῆγον, ἔλαθε· καὶ συνεισελ-
θὼν τοῖς κυνηγοῖς οὐ πρότερον καθυφῆκεν, οὐδὲ Γρα-

ecclesia assignavit ante cancellos altaris: ita ut imperator quidem plebem, ipsum vero imperatorem sacerdotes in ecclesia præcederent. Hanc egregiam ordinationem imperator Theodosius comprobavit, et successores ejus postea confirmarunt: atque ex eo tempore in hunc usque diem observari eam videmus. Ejusdem viri istud quoque memorabile facinus huic operi inserere, necessarium duxi. Quidam religione paganus, sed dignitate conspicuus, Gratianum conviciis laceraverat, et patre indignum appellaverat, ob idque in judicium vocatus, capitali sententia damnatus fuerat. Qui cum ad supplicium duceretur, Ambrosius pro illo intercessurus ad palatium perrexit. Sed cum Gratianus studio atque impulsu eorum qui ipsi insidiabantur, spectaculo venationum sese oblectaret, cujusmodi ab imperatoribus edi solent, privatæ, non autem publicæ voluptatis causa, nec ullus eorum qui ad palatii fores constituti erant, adventum ejus imperatori nuntiaret, utpote intempestivum, discessit. Cumque venisset ad portam per quam bestiæ inducebantur, latenter una cum venatoribus intro-

τιανοῦ καὶ τῶν ἀμφ' αὐτὸν ἀντιβολούντων εἶξεν, εἰ μὴ παραυτίκα σωτήριον ψῆφον τοῦ βασιλέως ἐξέσπασεν, τὸν ἐπὶ θανάτῳ ἀγόμενον ἐλευθεροῦσαν.
13 Οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν φυλακὴν τῶν νόμων τῆς ἐκκλησίας, καὶ τὴν ἀγωγὴν τῶν ὑπ' αὐτὸν κληρικῶν, σπουδαῖος ἄγαν ἐγένετο. Ἐκ πολλῶν δὲ τῶν αὐτῷ κατωρθωμένων, τάδε μοὶ εἰρήσθω, εἰς ἀπόδειξιν ἧς εἶχε διὰ Θεὸν πρὸς τοὺς κρατοῦντας παρρησίας.

ΚΕΦ. Κϛʹ. 318

Περὶ τοῦ ἁγίου Δονάτου ἐπισκόπου Εὐροίας[r], καὶ περὶ Θεοτίμου τοῦ Σκυθῶν ἀρχιερέως.

1 Κατὰ τοῦτον δὲ πολλοὶ πολλαχοῦ τῆς οἰκουμένης ἐν ἐπισκόποις διέπρεπον, ὡς Δονάτος ὁ Εὐροίας[s] τῆς Ἠπείρου· ᾧ δὴ πολλά τε καὶ ἄλλα τεθαυματουργῆσθαι μαρτυροῦσιν οἱ ἐπιχώριοι, μέγιστα[t] δὲ τὰ[u] περὶ τὴν[x] ἀναίρεσιν τοῦ δράκοντος, ὃς περὶ τὰς καλουμέ-

[r] Εὐωρίας editt. rescripsi juxta formam quæ sequitur in textu. Vid. infra.

[s] Ita B. Christ. Scal. et Vales. Εὐωρίας Steph. Genev. Plura vide in Valesii adnot.

[t] Ita B. C. *maximum tamen est quod de dracone,* seqq. Epiphan. μάλιστα editt.

[u] τὰ om. Steph. Genev.

[x] τὴν om. Vales.

gressus est: nec prius remisit, nec Gratiani et aulicorum ejus obsecrationibus cessit, quam extorta ab imperatore indulgentia, qua morti addictus liberaretur. Idem porro in observandis legibus ecclesiasticis, et in clericorum suorum disciplina diligentissimus fuit. Atque ex multis quæ ab eo sunt præclare gesta, hæc breviter a me dicta sint, ad declarandam ejus libertatem, qua erga imperatores propter Deum est usus.

CAPUT XXVI.

De sancto Donato Euroeæ episcopo, et de Theotimo Scytharum antistite.

Eodem tempore in diversis orbis partibus multi inter episcopos enituerunt. Ex his fuit Donatus, Euroeæ in Epiro episcopus: quem cum alia multa admirabilia perpetrasse, ejus loci incolæ testantur; tum illud præcipue quod in draconis interfectione ges-

νας Χαμαιγεφύρας παρὰ τὴν λεωφόρον ἐφώλευε, καὶ
πρόβατα καὶ αἶγας[y] καὶ βόας, ἵππους τε καὶ ἀνθρώ-
2 πους ἐξήρπαζεν. Οὐ γὰρ ξίφος ἢ δόρυ φέρων, οὔδε
ἄλλο τὶ βέλος ἔχων, ἐπὶ τουτὶ τὸ θηρίον ἦλθεν.
Ἀλλ' ὡς ᾔσθετο, καὶ τὴν κεφαλὴν ὡς ἐφορμήσων
ἐξανέστησεν, ἀντιπρόσωπον αὐτῷ εἰς σταυροῦ σύμ-
βολον τὸν ἀέρα τῷ δακτύλῳ κατεσήμανε, καὶ ἐπέ-
3 πτυσε. Τὸ δὲ, τὸν σίαλον εἰς τὸ στόμα δεξάμενον,
αὐτίκα κατέπεσε· καὶ νεκρὸν κείμενον, οὐ μεῖον τῶν
παρ' Ἰνδοῖς ἱστορουμένων ἑρπετῶν διεφάνη τὸ μέγε-
θος· ἀμέλειτοι, ὡς ἐπυθόμην, ὑπὸ ζεύγεσιν ὀκτὼ εἰς
τὸ πλησίον πεδίον ἐξελκύσαντες αὐτὸ οἱ ἐπιχώριοι,
κατέκαυσαν, ὅπως μὴ διασαπεὶς τὸν ἀέρα λυμανεῖται,
4 καὶ λοιμώδη νόσον[z] ποιήσῃ. Δονάτῳ δὲ τούτῳ τά-
φος ἐστὶν ἐπίσημος εὐκτήριος οἶκος ἀπ' αὐτοῦ τὴν
ἐπωνυμίαν ἔχων· περὶ τοῦτον δὲ πηγὴ ὑδάτων πολ-
λῶν, ἣν οὐ πρότερον οὖσαν εὐξαμένου αὐτοῦ τὸ θεῖον
ἀνέδωκεν· ἦν μὲν γὰρ οὗτος ὁ χῶρος παντελῶς

[y] *καὶ αἶγας* om. B. Steph. Niceph. inseruit Christ. Scal. Vales. *capras* habet Epiphan.

[z] *νόσον* om. B.

sit, qui circa locum quem Chamægephyras nominant, juxta aggerem publicum latitans, oves, capras, et boves, equos item atque homines rapiebat. Neque enim ille gladium, aut hastam, aut aliud quodlibet telum gestans, hanc belluam adortus est. Sed cum draco adventum illius sensisset, et tanquam impetum in eum facturus, caput extulisset, ipse ex adverso ejus stans, signum crucis in aëre digito depinxit, et in illum exspuit. At draco sputo in os accepto, statim concidit: et mortuus jacens, nihilo minor serpentibus illis apparuit, qui apud Indos esse memorantur. Incolæ certe, octo boum jugis in proximum eum campum cum extraxissent, concremarunt, ne putrescens aërem inficeret, et pestem ipsis afferret. Huic Donato sepulchrum est illustris ecclesia, quæ ab ipso cognomen accepit. Juxta ecclesiam fons est uberrimus, quem Deus precibus ejus annuens, illic edidit, cum antea non esset. Erat enim is locus prorsus aridus. Nam cum ipse aliquando ex itinere illuc advenisset, et hi qui cum illo erant, aquæ penuria

5 ἄνυδρος. Ἐξ ὁδοιπορίας δέ ποτε ἐνθάδε παραγενό-
μενος, λέγεται, τῶν ἀμφ' αὐτὸν ἀπορίᾳ ὕδατος ταλαι-
πωρουμένων, τῇ χειρὶ τὴν γῆν λαχήνας[a] εὔξασθαι·
ἅμα δὲ τῇ εὐχῇ ἄφθονον ἀναβλύσαι ὕδωρ, καὶ ἐξ
ἐκείνου μὴ διαλιπεῖν. Ἀλλὰ τῶνδε μὲν μάρτυρες, οἱ
τὴν Ἰσωρίαν οἰκοῦντες κώμην Εὐροίας, καθ' ἣν τάδε
6 συνέβη. Ἐν τούτῳ δὲ Τόμεως καὶ τῆς ἄλλης Σκυ-
θίας τὴν ἐκκλησίαν ἐπετρόπευε Θεότιμος Σκύθης,
ἀνὴρ ἐν φιλοσοφίᾳ τραφείς· ὃν ἀγάμενοι τῆς ἀρετῆς
οἱ περὶ τὸν Ἴστρον Οὖννοι βάρβαροι, Θεὸν Ῥωμαίων
ὠνόμαζον· καὶ γὰρ δὴ καὶ θείων ἐπ' αὐτῷ πραγμά-
7 των ἐπειράθησαν. Λέγεται γοῦν ὡς ὁδεύοντι ποτὲ
παρὰ τὴν ἐνθάδε βαρβάρων γῆν, ὑπήντοντο ἐναντίαν
τὴν αὐτὴν ὁδὸν ἐπὶ Τόμιν ἐλαύνοντες· ὀλοφυρομέ-
νων δὲ τῶν ἀμφ' αὐτὸν ὡς αὐτίκα ἀπολουμένων, ἀπο-
βὰς τοῦ ἵππου ηὔξατο· οἱ δὲ βάρβαροι μήτε αὐτὸν
μήτε τοὺς ἑπομένους, ἢ τοὺς ἵππους ὧν ἀπέβησαν[b] 319
8 θεασάμενοι, παρέδραμον. Ἐπεὶ δὲ πολλάκις ἐπιόντες

[a] λεχήνας B.

[b] Rectius in cod. Fuk. ἀπέβησαν, quomodo etiam legit Epiphanius. Certe cum supra dixerit Theotimum ex equo descendisse ut Deum precaretur, ejus quoque comites idem fecisse credendum est. VALESIUS. ἐπέβησαν B. Steph. Genev. ἐφ' ὧν ἔποχοι ἦσαν Niceph.

torquerentur, humum manu fodiens, Deum orasse dicitur: ac mox completa oratione, ingens aquarum copia affluxisse perhibetur, quæ ex eo tempore nunquam defecit. Hujus rei testes sunt qui Isoriam incolunt, vicum urbis Euroeæ in quo hæc gesta sunt. Iisdem temporibus, Tomitanorum et totius Scythiæ ecclesiam Theotimus gubernabat, vir in monastica philosophia innutritus; quem Hunni barbari qui circa Istrum habitabant, virtutis causa admirantes, Deum Romanorum vocabant. Divina quippe miracula in illo fuerant experti. Fertur sane, cum ille aliquando juxta regionem barbarorum qui illic erant, iter faceret, ex adverso occurrisse quosdam qui eadem via pergerent Tomin. Cumque ejus comites, tanquam mox perituri lamentarentur, ipse ex equo desiliens Deum oravit. Tum vero barbari nec illo, nec comitibus illius, nec equis e quibus descenderant conspectis, prætergressi sunt. Porro cum

ἐκακοποίουν[c] *τοὺς Σκύθας, φύσει θηριώδεις*[d] *ὄντας εἰς ἡμερότητα μετέβαλεν, ἑστιῶν τε καὶ δώροις φιλοφρονούμενος. Ἐντεῦθεν δὲ βάρβαρος ἀνὴρ ὑπολαβὼν εὔπορον εἶναι, ἐπεβούλευσεν αὐτὸν ἑλεῖν· καὶ βρόχον παρασκευάσας ἀσπίδι ἐπερειδόμενον*[e], *ὥσπερ εἰώθει τοῖς πολεμίοις διαλεγόμενος, ἀνασχὼν τὴν δεξιὰν, ἀκοντίζειν ἐπ' αὐτὸν τὸ σχοινίον ἔμελλεν, ὡς πρὸς ἑαυτὸν καὶ τοὺς ὁμοφύλους ἑλκύσων. Ἅμα δὲ τῇ ἐπιχειρήσει, ἀνατεταμένη ἡ χεὶρ πρὸς τὸν ἀέρα διέμεινε· καὶ οὐ πρότερον ὁ βάρβαρος τῶν ἀοράτων ἠφείθη δεσμῶν, εἰ μὴ τῶν ἄλλων ἀντιβολούντων*
9 *ὑπὲρ αὐτοῦ τὸν Θεὸν ἱκέτευσε Θεότιμος. Φασὶ δὲ κομήτην αὐτὸν διαμεῖναι καθ' ὃ σχῆμα φιλοσοφεῖν ἀρξάμενος ἐπετήδευσε· λιτὸν δὲ τὴν δίαιταν· τροφῆς δὲ, οὐ τὸν αὐτὸν, ἀλλ' ἐν τῷ πεινῆν ἢ διψῆν τὸν και-*

c *ἐκακούργουν* C.

d *φύσει γὰρ ἦσαν θηριώδεις* Niceph. scilicet Hunni. Epiphanius vero locum non intellexit, atque ita vertit ac si *ὄντας* ad *Σκύθας* referret.

e Scribendum puto *ἐπερειδόμενος*, id est *scuto innixus*. Vult enim dicere Sozomenus, barbarum illum scuto innixum, cum Theotimo loquutum fuisse, quemadmodum facere solebat, quoties cum Romanis loqueretur. Certe Nicephorus legit etiam *ἐπερειδόμενος*; sed de Theotimo id dici, perperam existimavit. Quasi vero Theotimus episcopus scutum gestaret. VALESIUS.

barbari illi crebris incursionibus Scythas vastarent, eos, quamvis suopte ingenio feri essent, ad mansuetudinem traduxit, conviviis illos excipiens, et muneribus demulcens. Hac de causa barbarus quidam cum illum opulentum esse suspicaretur, per insidias comprehendere molitus est. Et parato ad id laqueo, scuto innixus, uti solebat cum hostes alloqueretur, sublata dextra laqueum Theotimo injicere parabat, tanquam eum ad se et ad contribules suos attracturus. Verum in ipso conatu, manus illius in sublime extensa, ita ut erat permansit. Nec prius invisibilibus illis vinculis liberatus est barbarus, quam aliis intercedentibus Theotimus Deum pro illo orasset. Aiunt porro eum perpetuo comam aluisse, quo habitu philosophari primum instituerat. Victu autem fuisse admodum tenui, et tempus sumendo cibo non idem semper habuisse, sed cum esuriret forte aut sitiret. Est enim, meo quidem

ρὸν ὁρίσαι· φιλοσόφου γὰρ ἦν, οἶμαι, καὶ τούτοις πρὸς χρείαν οὐ διὰ ῥαστώνην εἴκειν.

ΚΕΦ. ΚΖ΄.

Περὶ τοῦ ἁγίου Ἐπιφανίου τοῦ ἐπισκόπου Κύπρου· καὶ μερική τις τῶν κατ' αὐτὸν διήγησις.

1 Περὶ δὲ τοῦτον τὸν χρόνον καὶ Ἐπιφάνιος τὴν
Κυπρίων ἐπεσκόπει μητρόπολιν. Ὃν οὐ μόνον τὰ
περὶ τὴν πολιτείαν ἐπίσημον ἐπὶ ἀρεταῖς ἀπέδειξεν,
ἀλλὰ καὶ ὅσα παράδοξα ζῶντος αὐτοῦ καὶ μετὰ τε-
λευτὴν, τιμῶν τὸν ἄνδρα ὁ Θεὸς ἐπετέλεσεν. Ἀπο-
θανόντι γὰρ, ὃ μὴ περιόντι ὑπῆρξε, λόγος ἐπὶ τῷ
τάφῳ αὐτοῦ εἰσέτι νῦν δαίμονας ἀπελαύνεσθαι, καὶ
ἰάσεις τινὰς γίνεσθαι· ἐν ᾧ δὲ[f] ζῶν ἐτύγχανε, πολλὰ
2 θαυμάσια αὐτῷ ἀνατιθέασι. Τῶν γε μὴν εἰς ἡμᾶς
ἐλθόντων, ἐκεῖνο· μεταδοτικὸς ὢν περὶ δεομένους, ἢ
ναυαγίοις ἢ ἄλλως δυστυχήσαντας, ἐπειδὴ πάλαι τὴν
οὐσίαν ἀνάλωσεν, εἰς δέον ἐσπάθα[g] τοῖς τῆς ἐκκλη-

[f] καὶ pro δὲ B. Steph. Genev. tacite mutavit Vales.

[g] Hunc locum correxi ex codice Fuketiano et ex Nicephoro, qui pro ἐσπάσθαι scriptum habent ἐσπάθα, optime proculdu-

judicio, proprium philosophi, pro necessitate, non ex luxu, istis cedere.

CAPUT XXVII.

De sancto Epiphanio episcopo Cypri: et rerum ab eo gestarum compendiosa narratio.

Per idem tempus in metropoli insulæ Cypri Epiphanius episcopatum gerebat. Quem non solum vitæ conversatio illustrem ob virtutes reddidit, verum etiam miracula, quæ Deus, honore illum afficere volens, ipso adhuc superstite, et post obitum ejus edidit. Mortuo enim illo, id quod viventi non contigerat, ad sepulchrum ejus dæmones etiamnum fugari, et morbi quidam curari dicuntur. Dum autem in vivis superesset, multa illi miracula tribuuntur. Ex quibus istud ad notitiam nostram pervenit. Cum liberalis esset erga egenos, qui vel naufragio, vel alio quopiam casu ad inopiam redacti essent; quoniam facultates suas jam pridem omnes ab-

σίας χρήμασι· πλεῖστα δὲ ἦν· πάντοθεν γὰρ πολλοὶ τὸν πλοῦτον εὐσεβῶς ἀναλίσκειν προθέμενοι, καὶ ζῶντες τῇ ὑπ' αὐτὸν ἐκκλησίᾳ παρεῖχον, καὶ τελευτῶντες κατελίμπανον· ἐθάρρουν γὰρ ὡς οἰκονομικὸς καὶ θεοφιλὴς ὢν, κατὰ γνώμην αὐτοῖς ἀναλώσει τὰ
3 δῶρα. Φασὶ γοῦν ποτὲ ὀλίγων ἔτι λειπομένων χρημάτων, χαλεπῆναι τῆς ἐκκλησίας τὸν οἰκονόμον, καὶ ὡς δαπανὸν αὐτὸν μέμψασθαι· τὸν δὲ, μήδ' οὕτως καθυφεῖναι περὶ τοὺς ἐνδεεῖς φιλοτιμούμενον. Ἐπεὶ δὲ πάντα ἀνάλωτο, ἐπιστάς τις τῷ δωματίῳ οὗ διῆγεν ὁ οἰκονόμος, βαλάντιον πολλῶν χρυσῶν νομισμάτων ἔδωκεν. Ὡς δὲ οὔτε ὁ δοὺς ἢ ὁ πεπομφὼς δῆλος ἦν, ἐδόκει δὲ παράδοξον εἰκότως, ἐπὶ δόσει τοσούτων χρημάτων ἄνθρωπον ἄγνωστον ἑαυτὸν παρέχειν, τότε δὴ
4 πάντες τὸ πρᾶγμα θεῖον εἶναι συνέβαλον. Ἀλλ' οἷον ἕτερον περὶ αὐτοῦ λέγεται, καὶ ἀφηγήσασθαι βούλομαι. Πυνθάνομαι τεθαυματουργῆσθαι Γρηγορίῳ τῷ

bio. Etsi enim σπαθᾷν, abuti significat et luxuriari, adverbium tamen quod additum est a Sozomeno, verbi duritiem temperat atque emollit. VALESIUS. Ita B. ἐσπάσθαι Steph. Genev.

sumpserat, ecclesiæ bonis, ubi opus erat, prolixe abusus est. Erat autem opulentissima ejus ecclesia. Multi enim ex variis orbis partibus, qui opes suas in pios usus impendere studebant, et superstites ejus ecclesiæ eas præbebant, et morientes eidem relinquebant. Confidebant enim illum, utpote qui probus dispensator, Deique amantissimus esset, res ab ipsis donatas ex ipsorum sententia ac voluntate erogaturum. Quodam igitur tempore, cum paucæ admodum pecuniæ superessent, aiunt ecclesiæ œconomum succensuisse, eumque tanquam prodigum reprehendisse. Illum vero ne tum quidem de solita erga pauperes munificentia quidquam remisisse. Omnibus autem consumptis, repente nescio quis ad cubiculum, in quo degebat œconomus, accedens, saccum in quo multi erant aurei nummi, in manus ei tradidit. Cumque nec is qui dederat, nec is qui miserat nosceretur, videreturque merito insolens, quenquam in tantæ pecuniæ largitione latere velle, tum vero universi id Dei opus esse judicarunt. Aliud præterea quod de illo refertur, commemorare libet. Id quidem ab admirando Gregorio qui Neocæsariensem olim rexit ecclesiam, gestum esse

θαυμασίῳ, ὃς πάλαι τὴν Νεοκαισάρειαν ἐπετρόπευσε, καὶ μάλα πείθομαι· ἀλλʼ οὐ παρὰ τοῦτο ἀπιστέον, ὅμοιον καὶ Ἐπιφανίῳ εἰργᾶσθαι· ἐπεὶ οὐδὲ μόνος Πέτρος ὁ ἀπόστολος ἤγειρε νεκρὸν, ἀλλὰ καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς ἐν Ἐφέσῳ, καὶ Φιλίππου θυγατέρες ἐν Ἱεραπόλει· καὶ τὰ αὐτὰ πολλάκις ἐξειργασμένους εὑρεῖν ἐστὶ πολλοὺς τῶν πάλαι καὶ νῦν θεοφιλῶν
5 ἀνδρῶν. Ἔστι δὲ τοιόνδε, ὃ λέγειν θέλω. Ἐπιτηρήσαντες δύο τινες πτωχοὶ ἐπιόντα[h] τὸν Ἐπιφάνιον, πλέον τι κομίσασθαι πραγματευόμενοι, ὁ μὲν ἐφαπλώσας ἑαυτὸν τῷ ἐδάφει ἔκειτο δῆθεν νεκρός· ὁ δὲ, παρεστὼς ἔκλαιεν, οἷά γε ὁμοῦ συνήθους θάνατον ὀδυρόμενος, καὶ ὅτι μηδὲ θάπτειν αὐτὸν δύναιτο τὴν
6 πενίαν καταμεμφόμενος. Ὁ δὲ Ἐπιφάνιος ἐν ἀναπαύσει εἶναι τὸν κείμενον ηὔξατο, καὶ τὰ πρὸς τὴν κηδείαν ἐπιτήδεια δεδωκὼς, Ἐπιμελοῦ, φησὶ τῷ δακρύοντι, τῆς ταφῆς, καὶ παύου κλαίων, ὦ τέκνον· οὐ γὰρ ἀναστήσεται νῦν· τὸ δὲ ἐπὶ τῷ συμβεβηκότι ἀπαραίτητον καὶ πάντως ἀποκείμενον δεῖ φέρειν γεν-

[h] Ita cod. Fuk. Nicephorus autem habet παριόντα, quod rectius videtur. VALESIUS. ἀπιόντα B. Steph. Genev.

accepi, et libenter credo. Sed non idcirco incredibile videri decet, idem quoque factum esse ab Epiphanio. Neque enim solus Petrus apostolus mortuum ab inferis excitavit; verum etiam Joannes evangelista in urbe Epheso, et Philippi filiæ Hierapoli. Multosque tam ex antiquis, quam ex nostræ memoriæ piis hominibus, eadem sæpenumero gessisse comperimus. Id autem quod dicere proposui, hujusmodi est. Duo quidam mendici, cum Epiphanium venientem observassent, ut plus pecuniæ ab eo corraderent, alter quidem eorum super solo extensus, mortuo similis jacuit: alter vero prope stans plorabat, simul egestatem suam querens, quod illum sepelire non posset. Epiphanius vero jacenti requiem apprecatus, ea quæ ad sepulturam ejus necessaria erant, mendicanti donavit. Flentique dixit, Cura sepulturam, et plorare desine fili. Neque enim in præsenti resurget. Quod vero accidit inevitabile ac prorsus necessarium, id forti animo perferendum est. Et Epi-

7 ναίως. Καὶ ὁ μὲν, τοιάδε εἰπὼν, παρῆλθεν. Ὡς δὲ οὐδεὶς ἐφαίνετο, τῷ ποδὶ κινήσας τὸν κείμενον ὁ ἑστὼς, ἅμα γε ἐπαινῶν ὡς μάλα σαφῶς[i] τεθνάναι ἐμιμήσατο, Ἔγειρε σαυτὸν, ἔφη, καὶ τὴν ἡμέραν ἐκ τῶν σῶν πόνων ἐν τρυφῇ διάξωμεν. Ἐπεὶ δὲ ὁμοίως ἔκειτο, καὶ οὐδὲν μᾶλλον οὔτε βοῶντος ἤκουεν, οὔτε παντὶ σθένει κινοῦντος ᾐσθάνετο, δρομαῖος καταλα-
8 βὼν τὸν ἱερέα, τὴν σφῶν τέχνην κατεμήνυσε. Κλαίων τε καὶ τὰς τρίχας τίλλων, ἐδεῖτο τὸν ἑταῖρον ἐξανίστασθαι. Ὁ δὲ Ἐπιφάνιος, μὴ χαλεπῶς φέρειν τὸ συμβὰν παραινέσας ἀπέπεμψε τὸν ἄνθρωπον· οὐ γὰρ ἀνέλυσε τὸ γεγονὸς ὁ Θεός· πάντως, οἶμαι, τοὺς ἀνθρώπους πιστούμενος, ὡς αὐτὸν τὸν πάντα ἀκούοντα καὶ ἐφορῶντα[k] ἐξαπατῶσιν οἱ τοιούτους σφᾶς περὶ τοὺς αὐτοῦ θεράποντας παρέχοντες.

ΚΕΦ. ΚΗʹ.

Περὶ Ἀκακίου τοῦ Βεροίας, καὶ περὶ Ζήνωνος, καὶ Αἴαντος, ἐπισήμων ἀνδρῶν καὶ διαβοήτων ἐπ' ἀρετῇ.

1 Ἀλλὰ τὰ μὲν ὧδε ἐπυθόμην. Ἐξ ἐκείνου δὲ καὶ

[i] Legendum est σοφῶς, quod habet Niceph.
[k] ἐφορῶντα καὶ εἰδότα B.

phanius quidem his dictis abscessit. Cum autem nemo jam in conspectu esset, mendicus stans jacentem pede pulsare cœpit, laudans quod mortuum egregie simulasset. Et surge, inquit: ex labore tuo hunc lætum transigemus diem. Sed cum ille perpetuo jaceret, et nihilo plus nec clamantem audiret, nec totis viribus moventem sentiret, concito cursu episcopum assecutus, fraudem amborum confessus est. Ploransque et crines vellicans, orabat ut socius ad vitam revocaretur. Verum Epiphanius hominem dimisit, hortatus ut id quod acciderat æquo animo ferret. Non enim dissolvere voluit Deus id quod factum fuerat: persuadere omnino volens hominibus, eos qui se tales præbent erga famulos ipsius, ipsi qui omnia audit ac videt, fraudem struere.

CAPUT XXVIII.

De Acacio Beroeæ episcopo; deque Zenone et Aiace, viris ob virtutem illustribus.

Verum hæc quidem ita accepi. Ex eodem tempore Acacius

Ἀκάκιος ἐν ἐπισκόποις διέπρεπε, ἤδη πρότερον τὴν ἐν Βεροίᾳ τῆς Συρίας ἐπισκοπὴν ἐπιτραπείς. Τούτου δὲ εἰκὸς μὲν καὶ ἄλλα φέρεσθαι γραφῆς ἄξια· καθὸ τὸν βίον μοναχικῶς ἀσκηθεὶς ἐκ παιδὸς, ἀκριβῶς ἐπο- 321
2 λιτεύσατο. Τεκμήριον δὲ μεγίστης ἔδωκεν ἀρετῆς, παρὰ πάντα τὸν χρόνον τὸ ἐπισκοπικὸν καταγώγιον ἀνεῳγμένον ἔχων· ὡς καὶ τροφῆς ὥρᾳ καὶ ὕπνου ἀδεῶς οἷς ἐδόκει ξένοις τε καὶ ἀστοῖς[1] αὐτὸν ὁρᾷν.
3 Ἄγαμαι δὲ τοῦτο μάλιστα· ἢ γὰρ οὕτως ἐβίω, ὡς ἀεὶ πεποιθέναι· ἢ πρὸς τὸ ἕτοιμον εἰς κακίαν τῆς φύσεως παρετοιμαζόμενος τουτὶ ἐπενόησεν· ὥστε ἀεὶ φωραθήσεσθαι προσδοκῶν ὑπὸ τῶν ἐξαπίνης εἰσιόντων, ἐν τῇ συνεχεῖ φυλακῇ μηδὲ[m] ἁμαρτάνειν ὧν δεῖ,
4 ἀλλ' ἐν σπουδαίοις εἶναι πράγμασιν. Ἐν δὲ τῷ τότε ἐπισήμῳ ἤστην καὶ Ζήνων καὶ Αἴας ἀδελφοί· οἳ δὴ τὸ πρὶν ἐφιλοσόφουν, οὐκ ἐν μοναγρίαις, ἀλλ' ἐν Γάζῃ πρὸς θάλασσαν, ὅπερ καὶ Μαϊουμᾶν ὀνομάζου-

[1] Non dubito quin scribendum sit ξένους τὲ καὶ ἀστούς. Id enim lex grammatica postulat; atque ita scriptum habet Nicephorus. Alioqui supplendum esset verbum ἐξεῖναι. VALESIUS.

[m] Malim scribere μηδέν. In cod. Fuk. per apocopen μηδ'. VALESIUS.

quoque inter episcopos claruit, qui episcopatum Beroeæ in Syria jamdudum administrabat. De hoc multa scitu digna narrari possunt; quippe qui in monastica vita ab ineunte ætate exercitatus, emendatissime vixerit. Istud tamen maximum virtutis indicium præbuit, quod episcopale domicilium perpetuo apertum habuerit: ita ut perigrinis ac civibus quicunque vellent, cibi etiam ac somni tempore videre eum liceret. Quod quidem maxime admiror. Nam vel ita vivebat, ut fiduciam sui semper gereret. Vel adversus naturæ ad vitium proclivitatem sese muniens, istud excogitavit: ut dum assidue suspicatur se deprehensum iri ab iis qui ex improviso supervenirent, continuas excubias agens, ab officio suo nunquam deflecteret, sed honestis actibus semper intentus esset. Celebres eodem tempore fuere Zeno et Aiax fratres: qui initio quidem non in solitudine philosophati sunt, sed in urbe Gaza juxta mare; qui locus etiam Maiuma vocatur. Cæterum ambo catholicæ fidei as-

σιν. Ἄμφω δὲ πιστοτάτω περὶ τὸ δόγμα ἐγενέσθην,
καὶ Θεὸν ὡμολόγησαν ἀνδρείως· ὡς καὶ πολλάκις
πρὸς τῶν Ἑλληνιστῶν αἰκισθῆναι χαλεπῶς[n] ἄγαν
5 καὶ ἀπηνῶς. Λέγεται δὲ Αἴαντα γῆμαι μὲν εὐειδε-
στάτην γυναῖκα· τρίτον δὲ μόνον αὐτῇ συνελθεῖν ἐν
παντὶ τῷ χρόνῳ, καὶ τρεῖς παῖδας ποιῆσαι· τὸ μετὰ
ταῦτα δὲ συνουσίας ἕνεκα[o] τοιᾶσδε τῇ γαμετῇ ἀπο-
ταξάμενον, μοναχικῶς πεπολιτεῦσθαι· καὶ τῶν υἱέων,
δύο μὲν ἐπὶ τὰ θεῖα καὶ τὴν ἀγαμίαν παιδαγωγῆσαι·
τὸν ἄλλον δὲ, ἐπὶ γάμον. Ἐπιεικῶς δὲ, καὶ μάλα
εὐδοκίμως τὴν τοῦ Βοτωλίου[p] ἐκκλησίαν ἐπετρόπευσε.
6 Ζήνων δὲ, ἔτι νέος ὢν βίῳ καὶ γάμῳ[q] ἀπαγορεύσας,
ἐπιμελέστατος ἐγένετο περὶ τὴν διακονίαν τοῦ Θεοῦ.
Φασὶ γοῦν αὐτὸν, μᾶλλον δὲ καὶ ἡμεῖς τεθεάμεθα,
ἐπισκοποῦντα τὴν ἐν τῷ Μαϊουμᾷ ἐκκλησίαν, ἤδη
γηραλέον καὶ ἀμφὶ τὰ ἑκατὸν ἔτη ὄντα, μηδεπώποτε
ἑωθινῶν[r] ἢ ἑσπερινῶν ὕμνων, ἢ ἄλλης λειτουργίας
τοῦ Θεοῦ κατόπιν γενόμενον, εἰ μή γε νόσος αὐτὸν

[n] χαλεπῶς αἰκισθῆναι, omissis his ἄγαν καὶ ἀπηνῶς, cod. Fuk. VALESIUS.

[o] ἕνεκεν B.

[p] Βιτωλίου C. Niceph. rectius opinor. Conf. adnott.

[q] γάμῳ καὶ βίῳ B.

[r] Ita B. ἑωθηνῶν editt.

sertores acerrimi fuere, Deumque forti animo confessi sunt: adeo ut sæpenumero a paganis gravissime et crudelissime verberati sint. Et Aiax quidem pulcherrimam uxorem duxisse dicitur, ac ter tantum cum ea rem habuisse, tresque ex ea liberos sustulisse: posthæc vero ab uxore, quod quidem ad cjusmodi congressum attinet, separatus, monasticam duxisse vitam. Atque ex filiis, duos quidem ad studium rerum divinarum et ad cœlibatum instituisse: tertium vero ad matrimonium. Ipse præclare admodum et moderate ecclesiam Botolii gubernavit. At Zeno, cum adhuc juvenis sæculo et nuptiis renuntiasset, in ministerio Dei diligentissimus fuit. Aiunt certe, immo nos quoque ipsi vidimus, eum cum Maiumæ ecclesiam gubernaret, jam senem, ac centum circiter annos natum, nunquam a matutinis aut vespertinis hymnis, aut a reliquo officio divino abfuisse, nisi morbus ipsum detineret. Porro cum in monastica philosophia vitam traduceret, lineam vestem texebat

7 ἐπέσχεν. Ἐν φιλοσοφίᾳ δὲ μοναχικῇ τὸν βίον ἄγων,
λινῆν ἐσθῆτα ὕφαινεν ἐπὶ μονήρους ἱστοῦ, ἐντεῦθέν τε
τὰ ἐπιτήδεια εἶχε, καὶ ἄλλοις ἐχορήγει· καὶ οὐ διέλι-
πεν ἄχρι τελευτῆς τὸ αὐτὸ διέπων ἔργον, καίπερ ἀρ-
χαιότητι τῶν ἀνὰ τὸ ἔθνος ἱερέων πρωτεύων, καὶ λαῷ
8 καὶ χρήμασι μεγίστης ἐκκλησίας προεστώς. Ἀλλὰ
τῶνδε μὲν εἰς ἀπόδειξιν τῶν τότε ἱερωμένων ἐμνή-
σθην, πάντας δὲ διεξελθεῖν ἔργον, ἐπεὶ οἱ πλείους
ἀγαθοὶ ἐγένοντο· καὶ τὸ θεῖον ἐμαρτύρει τοῖς αὐτῶν
βίοις, ἐπικαλουμένων ἑτοίμως ἐπακοῦον, καὶ πλεῖστα
θαυματουργοῦν.

ΚΕΦ. ΚΘ΄. 322

Περὶ τῆς εὑρέσεως τῶν λειψάνων Ἀβακοὺμ καὶ Μιχαίου τῶν προφητῶν· καὶ περὶ τῆς τελευτῆς Θεοδοσίου βασιλέως τοῦ μεγάλου.

1 Ὑπὸ δὲ τοιούτων ἀγομένη ἡ πανταχοῦ ἐκκλησία,
πρὸς ὁμοίαν[8] ἀρετὴν καὶ ζῆλον ἀνῆγε τοὺς λαοὺς καὶ
τοὺς κλήρους. Οὐ μόνα δὲ ταῦτα τὴν θρησκείαν

[8] Scribendum est proculdubio ὁμοίαν: καὶ λαὸς καὶ κλῆρος πρὸς τὸν ἴσον ἐκείνοις τῆς ἀρετῆς ζῆλον ἀνηρεθίζοντο Nicephorus. VALESIUS. Ita C. ὁμονοίαν ceteri.

super unica tela. Hoc artificio, et sibi ipsi necessaria comparabat, et aliis subministrabat. Nec cessavit usque ad exitum vitæ id opus exercere, tametsi reliquos omnes provinciæ illius episcopos antiquitate superaret, et ecclesiam tum populi multitudine, tum divitiis præcellentem regeret. Atque hos quidem episcopos commemoravi, ut quales fuissent eo tempore antistites, demonstrarem. Cunctos vero singillatim recensere, operosum fuerit. Majori enim ex parte boni fuerunt: et vitæ illorum integritatem Deus testimonio suo comprobavit, eorum preces celeriter exaudiens, et multa per eosdem patrans miracula.

CAPUT XXIX.

De inventione reliquiarum Abacuc et Michææ prophetarum. Et de morte imperatoris Theodosii magni.

Ab hujusmodi viris ecclesia administrata, laïcos simul et clericos ad similis virtutis æmulationem subvexit. Neque vero hæc solum religionem nostram illustrarunt, verum etiam Abacuc, nec

ἐσέμνυνεν, ἀλλὰ καὶ[t] Ἀβακοὺμ, μετʼ οὐ πολὺ δὲ τούτου καὶ Μιχαίας πρωτοπροφητῶν[u], περὶ τοῦτον
1 τὸν χρόνον ἀναφανέντες. Ἀμφοῖν δὲ τὰ σώματα, ὡς ἐπυθόμην, κατὰ θείαν ὀνείρατος ὄψιν ἀνεδείχθη Ζεβέννῳ τῷ τότε ἐπισκοποῦντι[x] τὴν Ἐλευθερουπόλεως ἐκκλησίαν. Καὶ γὰρ δὴ καὶ τοὔνομα ταύτης ἤστην Κελὰ[y], ἡ πρὶν Κείλα ὀνομαζομένη πόλις, καθʼ ἣν ὁ Ἀβακοὺμ εὑρέθη. Καὶ Βηραθσατία[z] χωρίον ἀμφὶ δέκα στάδια τῆς πόλεως διεστώς· περὶ δὲ τοῦτο ὁ Μιχαίου τάφος ἦν, ὃ μνῆμα πιστῶν[a], ἀγνοοῦντες ὅ, τι λέγουσιν, οἱ ἐπιχώριοι ἐκάλουν, Νεφσαμεεμανᾶ τῇ

[t] γὰρ καὶ B.

[u] πρῶτοι προφητῶν B. πρῶτος πρ. cod. Fuk. Valesii: vid. adnot.

[x] ἐπιτροπεύοντι B. cod. Fuk. Valesii.

[y] ταύτῃ ἤστῃ Κιλὰ C. Locus jam pridem corruptus esse videtur, quem certe Nicephorus non intellexit; nec fortasse Epiphanius, perinde interpretans ac si Cela nomen fuisset Eleutheropolis: et profecto textus ægre quidquam aliud intelligi patitur: nec facile quidem est dicere quid sibi velint particulæ illæ καὶ γὰρ δή. Si conjecturis tamen indulgere liceat, reponi possit, καὶ γὰρ δὴ ἐν τῷ νομῷ ταύτης ἤστην Κελὰ seqq. Conf. infra, viii. 4. Vide adnot.

[z] Βηραθπασία Niceph.

[a] In cod. Fuk. πιστῶν. Vulgatam tamen lectionem confirmat Epiphanius Scholasticus, qui sepulchrum hoc Michææ ab indigenis vocatum esse dicit, *o fidelem memoriam!* Ex quo apparet Epiphanium hic legisse ὢ μνῆμα πιστόν. At Nicephorus pro πιστὸν legisse videtur πιστοί. Sic enim hunc Sozomeni locum expressit: οἱ δὲ πιστοὶ τοῦτο ἀγνοοῦντες τοῖς ἐπιχωρίοις ἐπίσης ὠνόμαζον νεφσαμεεμανᾶ. VALESIUS. πιστὸν libri: legendum tamen est πιστῶν, hoc enim congruit cum nomine illo Νεφσαμεεμανᾶ: quod videtur esse duæ voces Hebraicæ, נַפְשֵׁי־מַאֲמָנִים (naphshe maamanim), id est, *animæ credentium.*

multo post eum Michæas, ex primis illis prophetis, circa id tempus reperti. Amborum autem corpora per divinam in somnis visionem, sicut accepi, ostensa sunt Zebenno, qui tunc Eleutheropolitanæ ecclesiæ pontificatum gerebat. Locus porro in quo repertus est Abacuc, vocabatur Cela; olim vero Ceila civitas dicebatur. Berathsatia vero locus est decem circiter stadiis distans ab urbe: juxta quem locum erat sepulchrum Michææ: quod quidem incolæ ignorantes quid dicerent, monumentum fidelium appellabant, Nephsameemana patrio sermone nominantes. Atque

3 πατρίῳ φωνῇ ὀνομάζοντες. Ἱκανὰ μὲν οὖν καὶ τάδε
πρὸς εὔκλειαν τοῦ Χριστιανῶν δόγματος ἐπὶ τῆς
παρούσης βασιλείας συνεκύρησε. Μετὰ δὲ τὴν κατὰ
Εὐγενίου νίκην, ἔτι ἐν Μεδιολάνῳ διάγων Θεοδόσιος
ὁ βασιλεὺς, ἀρρώστως διετέθη· ἐννοηθείς τε ὁμοῦ τὴν
τοῦ[b] Ἰωάννου τοῦ μοναχοῦ προφητείαν, ὑφωρᾶτο τε-
4 λευτήν. Ἐν τάχει τε τὸν υἱὸν Ὀνώριον ἐκ τῆς Κων-
σταντινουπόλεως μετεκαλέσατο, καὶ παραγενόμενον
ἰδὼν, ἔδοξε ῥᾷον ἔχειν, ὡς καὶ ἐπὶ θέαν ἱπποδρομίας
αὐτὸν προελθεῖν. Ἐξαπίνης δὲ μετὰ τὸ ἄριστον κα-
κῶς διατεθεὶς, ἐκέλευσε τῷ παιδὶ τὴν θέαν ἐπιτελέσαι·
τῆς δὲ ἐχομένης νυκτὸς τὸν βίον μετήλλαξεν, Ὀλυ- A. D. 395.
βρίου καὶ Προβιανοῦ τῶν ἀδελφῶν ὑπατευόντων.

[b] τοῦ (ante Ἰωάννου) omittere videtur in lacuna B.

hæc quidem ad Christianæ religionis gloriam amplificandam idonea, hujus imperatoris temporibus contigerunt. Cæterum post partam de Eugenio victoriam, imperator Theodosius dum Mediolani degeret, morbo correptus est: statimque prædictione Joannis monachi in memoriam revocata, brevi se moriturum conjecit. Itaque Honorium filium quantocyus accivit Constantinopoli. Quem ubi præsentem vidisset, melius se habere visus est, ita ut ad Circensium ludorum spectaculum processerit. Sed post prandium repente ingravescente morbo, filio mandavit ut spectaculorum editioni præsideret. Nocte vero insequenti, ex hac vita migravit, Olubrio et Probino fratribus consulibus.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΕΙΟΥ ΣΩΖΟΜΕΝΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ Η'.

ΚΕΦ. Α'.

Περὶ τῶν διαδόχων τοῦ μεγάλου Θεοδοσίου· καὶ ὡς ἀνῃρέθη Ῥουφῖνος ὁ ὕπαρχος. Καὶ περὶ τῶν ἀρχιερέων τῶν μεγάλων πόλεων, καὶ τῆς διαφορᾶς τῶν αἱρετικῶν, καὶ περὶ Σισινίου τοῦ Ναυατιανῶν ἐπισκόπου διήγησις.

1 ὯΔΕ μὲν ἐς τὰ μάλιστα τὴν ἐκκλησίαν αὐξήσας, ἐτελεύτησε Θεοδόσιος, ἀμφὶ τὰ ἑξήκοντα ἔτη γεγονώς· ἐκ τούτων δὲ, δέκα καὶ ἓξ ἐβασίλευσε. Καὶ διαδόχους κατέλιπε τῆς ἀρχῆς, Ἀρκάδιον μὲν τὸν πρεσβύτερον τῶν υἱέων, τῶν πρὸς ἕω ἐθνῶν· Ὁνώριον δὲ τῶν πρὸς ἑσπέραν· ἄμφω δὲ ὁμόφρονες

VALESII INTERPRETATIO.

CAPUT I.

De successoribus Theodosii Magni: et quomodo occisus est Rufinus præfectus prætorio. Item de majorum civitatum episcopis: et de dissidio hæreticorum: et de Sisinnio Novatianorum episcopo.

HUNC in modum Theodosius, cum ecclesiam magnopere amplificasset, ex vivis excessit, annos natus plus minus sexaginta: ex quibus imperavit sexdecim. Successorem vero imperii reliquit, in Orientis quidem partibus, Arcadium filium natu majorem: in Occidente autem Honorium. Qui quidem ambo eandem cum

τῷ πατρὶ περὶ τὴν θρησκείαν ἐγενέσθην. Ἡγεῖτο δὲ
τότε τῆς Ῥωμαίων ἐκκλησίας μετὰ Δάμασον Σιρί-
κιος· τῆς δὲ ἐν Κωνσταντινουπόλει Νεκτάριος· Θεό-
φιλος δὲ τῆς ἐν Ἀλεξανδρείᾳ· καὶ Φλαβιανὸς τῆς
2 Ἀντιοχέων· καὶ Ἰωάννης τῆς[a] Ἱεροσολύμων. Ἐν
τούτῳ δὲ Οὖννοι βάρβαροι Ἀρμενίας καὶ τῆς πρὸς
ἕω ἀρχομένης μέρη τινὰ κατέδραμον. Ἐλέγετο δὲ ὡς
λάθρα τούτους ἐπηγάγετο ἐπὶ ταραχῇ[b] τῆς βασιλείας
Ῥουφῖνος, ὁ τῆς ἀνατολῆς ὕπαρχος, ὕποπτος ὢν καὶ
3 ἄλλως, ὡς τυραννεῖν βούλεται. Ἀλλ' ὁ μὲν ἐπὶ τοι-
αύτῃ αἰτίᾳ οὐκ εἰς μακρὰν ἀνῃρέθη. Ἅμα γὰρ ἐκ
τῆς κατὰ Εὐγενίου μάχης ἐπανῆλθεν ἡ στρατιὰ, καὶ ὁ
βασιλεὺς, ὡς ἔθος, πρὸ τῆς Κωνσταντινουπόλεως
ὑπήντετο, μηδὲν μελλήσαντες[c] οἱ στρατιῶται τὸν
4 Ῥουφῖνον ἀπέκτειναν. Ἐγίνετο δὲ καὶ ταῦτα πρό-
φασις ἔτι μᾶλλον ἐπιδιδόναι τὴν θρησκείαν. Οἵ τε 324
γὰρ κρατοῦντες ὑπὸ εὐσεβείας ἡγοῦντο τῷ οἰκείῳ πα-

[a] τῆς om. B. Steph. inser. Christ. Vales. ἐν Ἱεροσολύμοις C.

[b] Hunc locum correxi ex cod. Fuk., in quo scriptum est ἐπὶ ταραχῇ. VALESIUS. Ita B. τῇ ἀρχῇ Steph. Genev.

[c] μελήσαντες B.

patre fidei doctrinam secuti sunt. Præerat tunc temporis, ecclesiæ quidem Romanæ post Damasum Siricius: Constantinopolitanæ vero Nectarius. Alexandrinam autem ecclesiam Theophilus gubernabat; Antiochiæ Flavianus, Joannes vero Hierosolymis episcopatum gerebant. Per idem tempus Hunni barbari Armeniam et alias regiones Orientalis imperii devastarunt. Dicebatur autem Rufinus præfectus prætorio per Orientem, eos clanculum evocasse ad perturbandum imperii statum: quippe qui affectatæ tyrannidis suspectus esset. Verum hic quidem eam ob causam non ita multo post trucidatus est. Nam cum exercitus ex bello adversus Eugenium reversus esset, et imperator, ut moris est, extra urbem Constantinopolitanam obviam ei occurrisset, milites nihil cunctati Rufinum interfecerunt. Porro ex hac occasione, religio Christiana adhuc majus incrementum accepit. Sic enim imperatores persuasum habebant, pietati adscribendum esse, quod et pa-

τρὶ τὰς κατὰ τῶν τυράννων κατορθοῦσθαι[d] *νίκας, καὶ*
Ῥουφῖνον ἐπίβουλον ὄντα τῆς αὐτῶν ἀρχῆς, ἐκποδὼν
5 *οὕτως ἀκονιτὶ γεγενῆσθαι. Καὶ διὰ τοῦτο τὰ δε-*
δογμένα τοῖς πρὶν βασιλεῦσιν ὑπὲρ τῶν ἐκκλησιῶν,
προθυμότερον βέβαια ἐφυλάττοντο[e]*, καὶ δωρεὰς ἰδίας*
προσετίθεσαν. Οἵ τε ὑπήκοοι πρὸς τούτους βλέπον-
τες, Ἕλληνες μὲν, ῥᾳδίως εἰς Χριστιανισμὸν μετέ-
βαλον· αἱρετικοὶ δὲ τῇ καθόλου ἐκκλησίᾳ προσεχώ-
6 *ρουν. Οἱ δὲ ἀπὸ τῆς Ἀρείου καὶ Εὐνομίου αἱρέσεως,*
καὶ ὅτι πρὸς[f] *σφᾶς ἐδιχονόουν διὰ τὰς πρόσθεν εἰρη-*
μένας αἰτίας, ἑκάστοτε ἐμειοῦντο. Πολλοὶ γὰρ ἐκ
τῆς πρὸς ἀλλήλους ἐναντιότητος, οὐκ ὀρθῶς αὐτοὺς
περὶ Θεοῦ δοξάζειν ἐνόμιζον, καὶ πρὸς τοὺς ὁμοδό-
7 *ξους τοῖς κρατοῦσι μετετίθεντο. Τοὺς δὲ ἐν Κων-*
σταντινουπόλει τὰ Μακεδονίου φρονοῦντας, ἔβλαπτε
κατ᾽ ἐκεῖνο καιροῦ μὴ ἔχειν ἐπίσκοπον. Ἀφ᾽ οὗ γὰρ

d *κατωρθῶσθαι* C. quod melius est.

e Malim scribere *ἐφύλαττόν τε*. Atque ita Niceph. Porro de legibus ab Arcadio in exordio imperii latis pro fide catholica, vide Baronium in tomo quinto Annalium, anno Christi 395. VALESIUS. *ἀσφαλῶς τε ἐτήρουν* Niceph. *ἐφυλάττοντο* om. C.

f Mallem scribere transpositis vocabulis, *ὅτι καὶ πρὸς* etc. VALESIUS.

ter ipsorum victoriam de tyrannis reportasset, et quod Rufinus, qui ipsorum imperio insidiabatur, tam facile extinctus fuisset. Atque idcirco ea quæ a superioribus principibus pro ecclesiarum utilitate decreta fuerant, propensiore animo confirmarunt, et propria ipsi dona ac beneficia adjecerunt. Subditi vero ad principum exemplum sese formantes, pagani quidem ad Christianam religionem facile transibant: hæretici vero ad ecclesiam catholicam sese adjungebant. Ariani autem et Eunomiani, quoniam inter seipsos dissidebant ob causas quas supra commemoravi, in dies magis magisque imminuebantur. Ex mutua enim inter ipsos discordia, multi eos non recte de Deo sentire judicabant, et ad illos, qui ejusdem cum imperatoribus fidei sectatores erant, transgrediebantur. Macedonianis autem qui erant Constantinopoli, id plurimum nocuit, quod eo tempore nullum habebant episcopum.

ἐπὶ τῆς Κωνσταντίου βασιλείας παρὰ Εὐδοξίου καὶ
τῶν ἀμφ' αὐτὸν τὰς ἐκκλησίας ἀφῃρέθησαν, ὑπὸ μό-
νοις πρεσβυτέροις μέχρι τῆς ἐχομένης βασιλείας διε-
8 γένοντο. Ναυατιανοὶ δὲ, εἰ καί τινας τούτων ἐτά-
ραττεν ἡ περὶ[g] τοῦ Πάσχα ζήτησις, ἣν Σαββάτιος
ἐνεωτέρισεν, ἀλλ' οὖν οἱ πλείους ἐπὶ τῆς αὐτῶν[h] ἐκ-
κλησίας ἠρέμουν. Οὔτε γὰρ τοῖς αὐτοῖς ἐπιτιμίοις ἢ
νόμοις, ὁμοίως ταῖς ἄλλαις αἱρέσεσιν ἔνοχοι ἦσαν, ὡς
ὁμοούσιον Τριάδα δοξάζοντες. Καὶ τότε[i] βεβαιότερον
τῇ ἀρετῇ τῶν ἡγουμένων συνίσταντο πρὸς ὁμόνοιαν.
9 Μετὰ γὰρ τὴν Ἀγελίου προστασίαν, τῆς Μαρκιανοῦ
ἀνδρὸς ἀγαθοῦ τετυχήκασι. Καὶ τούτου δὲ ἔναγχος
κατὰ τὸν παρόντα χρόνον τελευτήσαντος, διεδέξατο
τὴν αὐτοῦ ἐπισκοπὴν Σισίνιος, ἀνὴρ ἐλλόγιμος ὅτι
μάλιστα, καὶ φιλοσόφων δογμάτων καὶ τῶν ἱερῶν
λόγων ἐπιστήμων, καὶ πρὸς διαλέξεις ἕτοιμος· ὡς καὶ
Εὐνόμιον ἐπὶ ταύταις εὐδοκιμοῦντα, καὶ τοῦτο ἔργον
ποιούμενον, πολλάκις παραιτήσασθαι τοὺς πρὸς αὐ-
10 τὸν διαλόγους. Ἐγένετο δὲ σώφρων τὸν βίον, ὡς

g περὶ om. B. Steph. inser. Christ. Scal. h αὐτοῦ C.
i καὶ τό γε B. Steph. corr. Vales.

Nam ex quo Eudoxius cum suis, regnante Constantio, ecclesias illis ademerat, sequentium deinceps imperatorum temporibus, sub solis presbyteris permanserunt. At Novatiani, licet quidam ipsorum turbati essent ob quæstionem de Pascha, quam Sabbatius paulo ante excitaverat, majori tamen ex parte in ecclesia sua quieverunt. Nam neque iisdem pœnis ac legibus, quibus reliquæ hæreses, obnoxii erant, utpote qui Trinitatem consubstantialem assererent. Et tunc temporis ob præstantiam episcoporum suorum, firmiore inter se concordia devincti erant. Nam post Agelii præsulatum, Marcianum antistitem nacti fuerant, virum egregium. Quo per id tempus recens mortuo, episcopatum ejus suscepit Sisinius: vir apprime eruditus, et philosophicorum dogmatum, ac sacrarum scripturarum scientia instructus. Ad disputandum quoque promptus ac paratus: adeo ut ipse quoque Eunomius, qui eo nomine celebris habebatur, et hanc artem præcipue excolebat, cum eo congredi sæpenumero recusavit. Ac vita qui-

κρείττων εἶναι διαβολῆς· περὶ δὲ τὴν δίαιταν ἁβρὸς
καὶ ποικίλος· ὡς τοὺς[k] ἀγνοοῦντας ἀπιστεῖν, εἰ σω-
φρονεῖν δύναιτο, τοσοῦτον τρυφῶν. Τὸ δὲ ἦθος ἦν
χαρίεις καὶ ἡδὺς ἐν ταῖς συνουσίαις· καὶ διὰ ταῦτα
καὶ τοῖς ἐπισκόποις τῆς καθόλου ἐκκλησίας, καὶ τοῖς
12 ἐν ἀρχαῖς καὶ λόγοις καταθύμιος ἦν. Σκώπτειν τε
σὺν χάριτι, καὶ σκωμμάτων ἀνέχεσθαι, καὶ ἑκάτερον
ἀπεχθείας ἐκτὸς ὑπομένειν, κομψῶς τε σὺν τάχει
πρὸς τὰς ἐρωτήσεις ὑπαντᾷν, εὖ μάλα ἐπιτηδείως
ἔχων. Ἐρωτηθεὶς οὖν ὅτου ἕνεκα[l] δεύτερον λούοιτο
τῆς ἡμέρας, ἐπίσκοπος ὤν· Ὅτι μὴ τρίτον, ἔφη, φθάνω.
13 Ἐπεὶ δὲ λευκῇ ἐσθῆτι διετέλει χρώμενος, ἐπέσκωψέ τις
αὐτῷ τῶν ἀπὸ τῆς καθόλου ἐκκλησίας· ὁ δὲ πρὸς
αὐτὸν, Οὐκοῦν εἰπὲ[m], ποῦ εἴρηται ἐσθῆτα μέλαιναν
χρῆναι ἀμφιέννυσθαι; τοῦ δὲ ἀπορήσαντος, ὑπολα-
βὼν ἔφη· Σὺ μὲν τοῦτο οὐκ ἂν ἐπιδεῖξαι δυνήσῃ·
ἐμοὶ δὲ καὶ Σολομῶν ὁ σοφώτατος, ἔστωσαν σοῦ τὰ
ἱμάτια ἀεὶ λευκὰ, παραινεῖ λέγων· καὶ αὐτὸς ὁ Χρι-

[k] Ita Vales. καὶ τοὺς Steph. ὡς καὶ τοὺς B. [l] ἕνεκεν B.
[m] ἐπὶ J. Scal.

dem castus atque integer fuit, ita ut omni calumnia superior esset. Victu tamen delicato ac superfluo; adeo ut ii quibus ignotus erat, persuadere sibi non possent, illum in tantis deliciis nihilominus temperantem esse. Moribus porro jucundus erat, ac suavis in congressibus: atque idcirco cum episcopis ecclesiæ catholicæ, tum magistratibus et erudito cuique erat acceptus. Quippe jocari cum venustate, et jocos patienter excipere, utrumque vero citra offensam facere: præterea interrogatis facete ac celeriter respondere, eximie callebat. Proinde interrogatus aliquando, quamobrem cum episcopus esset, bis per diem lavaret: Quia ter, inquit, non accedo. Rursus quoniam candida veste perpetuo utebatur, derisus est a quodam ecclesiæ catholicæ viro. Ad quem ille: Ubinam vero scriptum est, inquit, nigra veste indui oportere? Qui cum hæsisset, subjecit Sisinius: Tu quidem nunquam id ostendere potueris. Mihi vero sapientissimus Salomo præcipit his verbis: Sint vestimenta tua semper alba: et Christus ipse, qui in evangeliis semper albatus cernitur, et ejusmodi veste indutos Mosem

στὸς λευχείμων ἐν τοῖς εὐαγγελίοις φαινόμενος, Μωσῆν τε καὶ Ἡλίαν τοιούτους τοῖς ἀποστόλοις ἐπι-
14 δεικνύς. Οὐ μὴν ἀλλὰ κἀκεῖνο τῶν εἰρημένων Σισινίῳ χάριεν οἶμαι. Ἐνεδήμει μὲν τῇ Κωνσταντινουπόλει Λεόντιος, ὁ παρὰ Γαλάταις[n] τῆς Ἀγκύρας ἐπίσκοπος· ἐκκλησίαν δὲ τῶν ἐκεῖσε Ναυατιανῶν ἀφῃρημένος[o], ἧκε πρὸς αὐτὸν ἀπολαβεῖν ταύτην δεόμενος.
15 Ἐπεὶ δὲ οὐκ ἀπεδίδου, ἐλοιδόρει[p] δὲ τοὺς Ναυατιανοὺς ὡς οὐκ ἀξίους ἐκκλησιάζειν, μετάνοιαν καὶ τὴν ἐκ Θεοῦ φιλανθρωπίαν ἀναιρεῖν αὐτοὺς λέγων. Ἀλλὰ μὴν, ἔφη Σισίνιος, οὐδεὶς οὕτως ὡς ἐγὼ μετανοεῖ. Ἐρομένου δὲ Λεοντίου τίνα τρόπον· Ὅτι σὲ τεθέαμαι,
16 ἀπεκρίνατο. Καὶ ἕτερα δὲ πολλὰ αὐτοῦ εὐστόχως εἰρημένα ἀπομνημονεύουσιν. Οὐκ ἀκόμψους τε πολλοὺς αὐτοῦ λόγους φασὶ φέρεσθαι[q]. Ἐπῃνεῖτο δὲ

[n] τῆς παρὰ Γ. Suidas col. 3318. Gaisford.

[o] Suidas legit ἀφῃρημένης, quod proculdubio rectius est. VALESIUS. ἐκκλησίαν—ἀφῃρημένος—et mox ταύτην, Suidas ed. Gaisford; ubi hæc subdit Toupius. " ἀφῃρημένης. Melius ἀφῃρημένος et ταύτας, renitente licet Valesio, et sic locutus et Suidas p. 320. Quare forsan vera ἐκκλησίαν—ἀφῃρημένος—ταύτην." ἐκκλησίαν ἀφαιρουμένου—et, ἀποδοῦναι τὴν ἐκκλησίαν, Socrat. vi. 22, et fere eadem Niceph. xii. 36. ἐκκλησίας—et, ταύτας, Steph. Genev. et codd.

[p] ἐλοιδορεῖτο Suid.

[q] φέρεσθαί φασιν Suid.

atque Heliam apostolis suis exhibuit. Istud quoque meo quidem judicio lepide dictum est a Sisinio. Morabatur Constantinopoli Leontius episcopus Ancyræ in Galatia, qui Novatianis illic degentibus ecclesias ademerat. Accessit ad eum Sisinius ut eas recuperaret. Sed cum Leontius eas non redderet, immo Novatianos probris incesseret, tanquam indignos qui in ecclesiam venirent, pœnitentiam et Divini numinis clementiam eos tollere dicens: Atenim, inquit Sisinius, nemo tantam agit pœnitentiam quantam ego. Percontanti autem Leontio rationem ejus pœnitentiæ; eo quod te viderim, respondit Sisinius. Multa quoque alia ab illo scite dicta referuntur: nec paucos ejus libros exstare aiunt, satis elegantes. Porro magis probabatur cum diceret: quippe qui

μᾶλλον λέγων, ὡς ἄριστα ὑποκρινόμενος, φωνῇ τε καὶ βλέμματι, καὶ χαριεστάτῳ προσώπῳ τὸν ἀκροατὴν ἑλεῖν ἱκανός. Ἀλλὰ οἷος μὲν ἦν οὗτος ὁ ἀνὴρ, τάδε εἰρήσθω, εἰς ἀπόδειξιν ἧς ἔλαχε φύσεως, ἀγωγῆς τε καὶ βίου.

ΚΕΦ. Β΄.

Περὶ ἀγωγῆς καὶ διαίτης, καὶ πολιτείας καὶ σοφίας, καὶ εἰς τὸν θρόνον παρόδου τοῦ μεγάλου Ἰωάννου τοῦ Χρυσοστόμου· καὶ ὡς ἐμποδὼν αὐτῷ καθίσταται Θεόφιλος ὁ Ἀλεξανδρείας.

1 Περὶ δὲ τοῦτον τὸν χρόνον Νεκταρίου τελευτή-
σαντος, καὶ βουλῆς οὔσης τίνα δέοι χειροτονεῖν, ἄλλοι
μὲν ἄλλους ἐψηφίζοντο, καὶ οὐ τὰ αὐτὰ πᾶσιν ἐδόκει·
2 καὶ ὁ χρόνος ἐτρίβετο. Ἦν δέ τις ἐν Ἀντιοχείᾳ τῇ
παρ' Ὀρόντῃ[r] πρεσβύτερος, ᾧ ὄνομα Ἰωάννης, γένος
τῶν εὐπατριδῶν· ἀγαθὸς τὸν βίον, λέγειν τε καὶ πεί-
θειν δεινὸς, καὶ τοὺς κατ' αὐτὸν ὑπερβάλλων ῥήτορας,
ὡς καὶ Λιβάνιος ὁ Σύρος σοφιστὴς ἐμαρτύρησεν·
ἡνίκα γὰρ ἔμελλε τελευτᾷν, πυνθανομένων τῶν ἐπι-

[r] Ὀῤῥόντῃ B. Steph. Genev.

optime recitaret, et voce atque oculis et venustissimo vultu, ad alliciendos auditores esset aptissimus. Verum cujusmodi hic vir fuerit, hactenus dictum sit, ut illius ingenium et institutio ac vivendi ratio, ex his perspici possit.

CAPUT II.

De institutione et de ratione victus, deque conversatione et sapientia magni Joannis Chrysostomi, et quomodo ad Constantinopolitanum thronum evectus sit: et ut Theophilus Alexandrinus illi obstiterit.

Per idem tempus mortuo Nectario, dum consultaretur quis in ejus locum subrogandus esset, alii quidem alios nominabant, nec idem omnibus placebat; tempus vero incassum terebatur. Erat Antiochiæ ad Orontem presbyter quidam, nomine Joannes, nobili genere natus: vita integer: dicendi persuadendique artifex egregius, et omnium sui temporis oratorum præstantissimus, sicut Libanius Syrus sophista testatus est. Nam cum moriturus esset,

τηδείων τίς ἀντ' αὐτοῦ ἔσται, λέγεται Ἰωάννην εἰ-
3 πεῖν, εἰ μὴ Χριστιανοὶ τοῦτον ἐσύλησαν. Πλείστους
δὲ τῶν αὐτοῦ ἀκουόντων ἐπ' ἐκκλησίας, εἰς ἀρετὴν
ὠφέλησε, καὶ ὁμόφρονας αὐτῷ περὶ τὸ θεῖον ἐποίησε.
Θείως γὰρ πολιτευόμενος, τὸν ἐκ τῆς οἰκείας ἀρετῆς
ἐνετίθει ζῆλον τοῖς ἀκροαταῖς· καὶ ἐπὶ τοῦτο[s] ῥᾳδίως 326
ὡς οὐ τέχνῃ τινὶ καὶ δυνάμει λόγου βιάζεται παρα-
πλήσια δοξάζειν αὐτῷ· ἀλλ' ὡς ἔχει ἀληθείας, εἰλι-
4 κρινῶς[t] τὰς ἱερὰς ἐξηγεῖτο βίβλους. Λόγος γὰρ ὑπὸ
τῶν ἔργων κοσμούμενος, πίστεως ἄξιος εἰκότως φαί-
νεται· ἄνευ δὲ τούτων, εἴρωνα καὶ τῶν ἰδίων λόγων
κατήγορον ἀποφαίνει τὸν λέγοντα· κἂν σπουδάζῃ δι-
δάσκων. Τῷ δὲ κατ' ἀμφότερα εὐδοκιμεῖν προσῆν·
ἀγωγῇ μὲν γὰρ βίου σώφρονι, καὶ πολιτείᾳ ἀκριβεῖ

[s] In cod. Fuk. ἐπὶ τοσοῦτον. Ego vero scribendum puto ἐπὶ τούτῳ. Quam lectionem in versione mea sum secutus. Nicephorus καὶ ἐχειροῦτο ῥαδίως ἐντεῦθεν τοὺς πλείστους, καί γε ἔπειθε παραπλήσια δοξάζειν ἐκείνῳ· οὐ τέχνῃ δή τινι καὶ ῥώμῃ λόγων πρὸς ἑαυτὸν ἕλκειν ἐκβιαζόμενος. ἀλλ' ὡς ἀληθὲς ἦν, ὅτι πὲρ εἰλικρινῶς τὰς ἱερὰς ἐξηγεῖτο γραφάς. VALESIUS. Nicephorus pro ἐπὶ τοῦτο legisse videtur ἐχειροῦτο. Mallem ἐπιστοῦτο: quod confirmatur a sequentibus πίστεως ἄξιος. [ἐπὶ τοσοῦτο Christ.]

[t] Adjeci εἰλικρινῶς, ex cod. Fuk., quod habetur etiam apud Nicephorum. Porro in hoc loco mallem scribere τὰ τῆς ἀληθείας. VALESIUS. εἰλικρινῶς habet B. om. Steph. Genev.

percontantibus amicis quis in ejus locum succederet: Joannes, inquit, nisi Christiani illum subripuissent. Multos porro qui in ecclesia ipsum audiebant, ad virtutis studium impulit, et in doctrina fidei ut idem cum ipso sentirent effecit. Nam cum vitam ageret plane divinam, ad æmulationem virtutis suæ auditorum animos excitabat. Post hæc vero facile eos adducebat, ut eandem secum sententiam amplecterentur; quippe qui non arte quadam aut eloquentiæ vi istud ageret: sed sincere, tanquam veritatis studiosus, sacras scripturas exponeret. Etenim oratio quæ operibus exornatur, merito videtur fide digna. Si vero operibus destituta sit, oratorem impostorem esse arguit, ac suorum ipsius dictorum reprehensorem, tametsi is in docendo magnæ sit diligentiæ. Porro Joannes utraque laude ex æquo floruit. Nam ejus quidem

ἐχρῆτο· φράσει δὲ λόγου σαφεῖ μετὰ λαμπρότητος·
5 φύσεώς τε γὰρ εὖ ἔσχε. Διδασκάλους δὲ, τῆς μὲν
περὶ τοὺς ῥήτορας ἀσκήσεως, Λιβάνιον· Ἀνδραγά-
θιον δὲ, τῶν[u] περὶ φιλοσοφίας λόγων. Προσδοκη-
θεὶς δὲ δίκας ἀγορεύειν, καὶ τοῦτον μετιέναι τὸν βίον,
ἐγνώκει τὰς ἱερὰς ἀσκεῖσθαι βίβλους, καὶ κατὰ θεσ-
6 μὸν τῆς ἐκκλησίας φιλοσοφεῖν. Ταύτης δὲ τῆς φι-
λοσοφίας διδασκάλους ἔσχε, τοὺς τότε προεστῶτας
τῶν τῇδε περιφανῶν ἀσκητηρίων[x], Καρτέριόν τε, καὶ
Διόδωρον, τὸν ἡγησάμενον τῆς ἐν Ταρσῷ ἐκκλησίας·
ὃν ἐπυθόμην ἰδίων συγγραμμάτων πολλὰς καταλι-
πεῖν βίβλους· περὶ δὲ τὸ ῥητὸν τῶν ἱερῶν λόγων τὰς
7 ἐξηγήσεις ποιήσασθαι, τὰς θεωρίας ἀποφεύγοντα. Οὐ
μόνος δὲ παρὰ τούτοις ἐφοίτα, ἔπεισε δὲ τῆς αὐτῆς
γνώμης εἶναι ἑταίρους αὐτοῦ γενομένους ἐκ τῆς Λιβα-
νίου διατριβῆς, Θεόδωρόν τινα καὶ Μάξιμον· ὧν ὁ
μὲν, ὕστερον ἐπίσκοπος ἐγένετο Σελευκείας τῆς Ἰσαύ-
ρων· Μομψουεστίας[y] δὲ τῆς Κιλίκων Θεόδωρος, ἀνὴρ[z]

[u] τὸν περὶ B.

[x] μοναστηρίων, supra scripto ἀσκητηρίων, B.

[y] Μόψου ἑστίας C. Christ.

[z] Post hoc verbum in editione Roberti Stephani quam secuti sunt typographi Genevenses, addita erant hæc verba:

vivendi ratio et conversatio, gravis fuit ac severa: dictio vero perspicua simul ac splendida. Cum enim egregia esset indole, magistros habuit in arte quidem rhetorica Libanium, in philosophia autem Andragathium. Porro cum causas acturus, atque id genus vitæ sectaturus crederetur, ipse sacris scripturis incumbere, et juxta leges ecclesiæ philosophari constituit. Hujus porro philosophiæ magistros habuit eos, qui tunc temporis nobilibus illic monasteriis præsidebant; Carterium scilicet, ac Diodorum, qui et Tarsensis ecclesiæ episcopus fuit, multosque, sicut accepi, libros posteris scriptos reliquit, et sacra volumina ad literam exposuit, repudiatis allegoriis. Neque vero solus sese illorum magisterio subdidit: sed et sodalibus suis ex Libanii schola, ut idem facerent persuasit; Theodoro nimirum et Maximo. Quorum hic quidem Seleuciæ in Isauria: Theodorus vero Mopsu-

καὶ τῶν ἱερῶν βίβλων, καὶ τῆς ἄλλης παιδείας ῥητό-
9 ρων τε καὶ φιλοσόφων ἱκανὸς ἐπιστήμων. Ἀλλ' οὗ-
τος μὲν ἡνίκα τὴν ἀρχὴν ἐνέτυχε τοῖς θείοις νόμοις,
καὶ ἱεροῖς ἀνδράσιν ὡμίλησεν, ἐπῄνεσε ταύτην τὴν
ἀγωγὴν, καὶ κατέγνω τῶν ἀστικῶν· οὐ διήρκεσε δὲ
τὴν αὐτὴν προθυμίαν ἔχων· μεταμεληθεὶς δὲ, πρὸς
10 τὸν πρότερον βίον εἵλκετο. Οἷα δὲ εἰκὸς, ἐναντίοις
λόγοις κοσμήσας τὸ σπουδαζόμενον ἐκ παλαιῶν ὑπο-
δειγμάτων, ἦν γὰρ πολυΐστωρ, εἰς τὴν πόλιν ἐπανῆλ-
θεν· ἄμεινον, ὡς ἐνόμισε, τοῦτο κρίνας οὗπερ ἐπεθύ-
μει τυχεῖν. Μαθὼν δὲ Ἰωάννης ἐν πράγμασιν αὐτὸν
εἶναι, καὶ περὶ γάμον σπουδάζειν, θειοτέραν ἢ κατὰ 327
νοῦν ἀνθρώπου φράσει καὶ νοήμασι συντάξας ἐπι-
11 στολὴν, πρὸς αὐτὸν διεπέμψατο. Ὁ δὲ ταύτῃ[a] ἐντυ-

πρὸς ὃν πεσόντα γράφει ὁ θεῖος Χρυσόστομος ἐπιστολὴν δευτέραν. Verum hæc a recentiore manu adjecta esse satis apparet. Neque enim ætate Sozomeni, Joannes cognomentum Chrysostomi adhuc adeptus fuerat. Certe hæc appendix non legitur in codice Fuketiano, nec apud Nicephorum. Quare fidenti animo eam expunximus, præsertim cum ejus epistolæ inferius fiat mentio, ut mox videbimus. VALESIUS. Eadem verba habet B., et tum pro ἀνὴρ habent ὃς ἦν B. Steph. Genev.

[a] Scribendum est ταύτῃ, quemadmodum Savilius in suo codice emendavit. VALESIUS. Ita J. Scal. ταύτην ceteri.

hestiæ in Cilicia posthac episcopus fuit. Vir tum in sacris literis, tum in reliquis disciplinis rhetorum ac philosophorum non mediocriter eruditus. Atque hic quidem cum sacræ philosophiæ leges primum didicisset, et sanctorum virorum contubernio usus esset, eam vivendi rationem probavit, civilem autem vitam damnavit. Verum in eodem proposito haudquaquam perseveravit: sed pœnitentia ductus, ad priorem vivendi rationem abripiebatur. Cumque propositum suum confirmasset contrariis argumentis quæ ex veterum exemplis desumpserat: erat enim multiplici eruditione præditus: in urbem reversus est: rectius esse judicans, id assequi quod cupiebat. Joannes itaque cum eum negotiis vacare intellexisset, et de uxore ducenda cogitare, epistolam ejusmodi verbis ac sententiis conscriptam quæ humanæ mentis captum excedant, ad eum misit. Quam ille cum accepisset, pœnitentia tactus est: rursusque relictis facultatibus, et nuptiis renuntians,

χῶν, μετεμελήθη· αὖθίς τε τὴν οὐσίαν καταλιπὼν, ἀπειπών τε τῷ γάμῳ, ταῖς Ἰωάννου συμβουλαῖς ἐσώζετο, καὶ πρὸς τὸν φιλόσοφον ἐπανῄει βίον. Ὥστε μοὶ δοκεῖ κἀκ τούτου ῥᾴδιον εἶναι συμβαλεῖν, ὡς δεινή τις ἐπήνθει πειθὼ τοῖς Ἰωάννου λόγοις. Ἐκράτει γὰρ ταύτῃ καὶ τῶν ὁμοίως λέγειν καὶ πείθειν δυνα-
12 μένων. Ἐντεῦθεν καὶ τὸ πλῆθος ᾕρει, καὶ μάλιστα καθὸ πολὺς ἦν διελέγχων τοὺς ἁμαρτάνοντας, καὶ ἐπὶ ἐκκλησίας, καὶ πρὸς τοὺς ἀδικοῦντας, ὡς αὐτὸς ἠδικημένος, σὺν παρρησίᾳ ἀγανακτῶν. Τοῦτο δὲ τοῖς μὲν πολλοῖς εἰκότως χάριεν ἐτύγχανε· λυπηρὸν δὲ τοῖς πλουσίοις καὶ δυναμένοις, παρ' οἷς τὰ πολλὰ
13 τῶν ἁμαρτημάτων ἐστίν. Ἐπίσημος οὖν τοῖς μὲν εἰδόσι, τῇ πείρᾳ, τοῖς δὲ ἀγνοοῦσι, τῇ φήμῃ, ἔκ τε τῶν λόγων καὶ τῶν ἔργων[b] γενόμενος ἀνὰ πᾶσαν τὴν Ῥωμαίων ὑπήκοον, ἔδοξε Κωνσταντινουπόλει ἐπιτή-
14 δειος εἶναι τῆς ἐκκλησίας[c] ἐπισκοπεῖν. Ψηφισαμένων δὲ τοῦτο τοῦ λαοῦ καὶ τοῦ κλήρου, καὶ ὁ βασιλεὺς συνῄνει, καὶ τοὺς ἄξοντας αὐτὸν πέπομφε. Συνεκά-

[b] Ita Vales. tacite: τῶν ἔργων καὶ τῶν λόγων B. Steph.

[c] Lege τὰς ἐκκλησίας. Nam ἐπισκοπεῖν post se casum accusativum habet, supra, vi. 34. Conf. infra, c. 3.

Joannis consilio servatus et ad philosophicam vitam regressus est. Ex quo non difficile meo quidem judicio conjici potest, quanta persuadendi vis in Joannis oratione inerat. Vicit enim illa eos qui pari dicendi ac persuadendi facultate pollebant. Hac ipsa populum etiam ad se pertraxit, eo maxime quod peccantes crebro coargueret in ecclesia, et adversus eos qui injuriam fecissent, tanquam ipse injuria affectus commoveretur. Quæ res grata quidem erat multitudini: molesta vero opulentioribus ac potentioribus; a quibus fere delicta committi solent. Cum igitur apud notos quidem usu ipso et consuetudine, apud eos vero quibus erat ignotus, fama ac rumore per universum orbem Romanum clarissimus evasisset, tum orationum, tum virtutis causa; idoneus visus est qui Constantinopolitanam ecclesiam gubernaret. Quod cum populus simul et clerus uno consensu decrevissent, imperator

λει δὲ καὶ σύνοδον, καὶ τούτῳ σεμνοτέραν τὴν χειρο-
15 *τονίαν δεικνύς. Οὐκ εἰς μακρὰν δὲ τὰ βασιλέως*
γράμματα δεξάμενος Ἀστέριος ὁ τῆς ἕω[d] ἡγούμενος,
ἐδήλωσεν Ἰωάννῃ παραγενέσθαι πρὸς αὐτὸν, ὡς περί
του δεησόμενος· ἐλθόντα δὲ, αὐτίκα εἰς ὄχημα σὺν
αὐτῷ ἀνεβίβασε, καὶ σπουδῇ ἐλάσας ἧκεν εἰς Πά-
16 *γρας, σταθμὸν οὕτω καλούμενον. Ἐνταῦθα δὲ παρα-*
δοὺς αὐτὸν τοῖς ἐκ βασιλέως ἀποσταλεῖσιν, ἀνέ-
στρεψεν. Ἔδοξε δὲ τὰ περὶ τούτου καλῶς διῳκηκέ-
ναι, πρὶν Ἀντιοχέας μαθεῖν, χαλεποὺς τε περὶ στά-
σεις, καὶ δήλους ὄντας, ὡς οὔ ποτε ἂν ἑκόντες Ἰωάν-
17 *νου ἀπηλλάγησαν, πρὶν παθεῖν[e] τι ἢ δρᾶσαι. Ὡς δὲ*
εἰς Κωνσταντινούπολιν ἀφίκετο, καὶ οἱ κληθέντες
ἱερεῖς συνεληλύθεισαν, ἐμποδὼν ἐγένετο[f] τῇ χειρο-
τονίᾳ Θεόφιλος, Ἰσιδώρῳ σπουδάζων· ὃς πρεσβύ-
τερος ἦν τότε τῶν ὑπ' αὐτὸν, ἐπίτροπος δὲ τῶν ἐν
Ἀλεξανδρείᾳ ξένων καὶ πτωχῶν· ἐκ νέου δὲ ἀνὰ

[d] Post ἕω vocem obliteratam habet B. lacunam Steph. ἡγούμενος suppl. Christoph. Scalig. Curt. Vales. ὕπαρχος Niceph.
[e] μαθεῖν J. Christ. Scal.
[f] ἐγίνετο B.

quoque comprobavit, misitque qui eum adducerent. Episcoporum præterea synodum convocavit, ut eo pacto illustriorem redderet ejus ordinationem. Non multo post Asterius Comes Orientis, cum imperatoris literas accepisset, Joannem ad se accivit, quasi quidpiam ab eo postulaturus. Qui cum venisset, confestim Asterius eum una secum in vehiculum imposuit, et concito cursu Pagras usque eum deduxit, quæ statio est ita dicta. Ibi cum Joannem illis qui a principe missi erant tradidisset, Antiochiam reversus est. Prudenter autem hoc negotium curasse visus est, antequam Antiocheni quidquam rescirent, qui et asperi erant in seditionibus, nec unquam sua sponte Joannem dimissuri videbantur, priusquam mali quidpiam aut patrassent ipsi, aut passi essent. Porro cum venisset Constantinopolim, cumque episcopi qui vocati fuerant jam adessent, ordinationi ejus impedimentum attulit Theophilus, favens Isidoro: qui tum quidem presbyter erat sub illo constitutus, et pauperum ac peregrinorum curator in urbe Alexandria. Cæte-

τὴν Σκῆτιν ἄριστα ἐφιλοσόφησεν, ὡς παρ' ἀνδρῶν
18 αὐτῷ συγγενομένων ἐπυθόμην. Οἱ δὲ φασὶ Θεοφίλῳ
τοῦτον γενέσθαι φίλον, ὡς κοινωνὸν καὶ συνίστορα
πράγματος ἐπικινδύνου γενόμενον[g]. Λέγουσι γὰρ ὡς 328
ἡνίκα ὁ πρὸς Μάξιμον συνίστατο πόλεμος, δῶρα
δοὺς αὐτῷ Θεόφιλος, καὶ γράμματα πρὸς τὸν βασι-
λέα καὶ τὸν τύραννον, ἐνετείλατο καταλαβεῖν τὴν
Ῥώμην, καὶ περιμεῖναι τῆς μάχης τὴν ἀπόβασιν, καὶ
τῷ νικήσαντι διδόναι μετὰ τῶν γραμμάτων τὰ δῶρα.
19 Τὸν δὲ, τάδε ποιήσαντα μὴ διαλαθεῖν, δείσαντά τε,
φυγάδα εἰς Ἀλεξάνδρειαν ἐπανελθεῖν· ἐξ ἐκείνου δὲ
Θεόφιλον τῶν αὐτῷ πιστοτάτων τὸν ἄνδρα ποιησά-
μενον, εἰς καιρὸν νομίσαι[h] τῶν ὑπὲρ αὐτοῦ κινδύνων
ἀποδοῦναι τὴν ἀμοιβὴν, εἰ τῆς Κωνσταντινουπόλεως
20 ἐπίσκοπον αὐτὸν καταστήσειεν. Ἀλλ' εἴτε ἐντεῦθεν,
εἴτε ὡς ἄνδρα ἀγαθὸν χειροτονεῖν τοῦτον ἠβούλετο
Θεόφιλος, τελευταῖον συνήνεσε τοῖς ἐπὶ Ἰωάννῃ δε-
δογμένοις· ἀτεχνῶς ταύτῃ τῇ χειροτονίᾳ σπουδά-

g γενόμενον om. B. Steph. suppl. Christoph. Scal. Vales. πάλαι γενόμενον Niceph. unde fortasse sumptum est, dubito an recte.

h νομίσας J. Christ. Scal.

rum ab ineunte ætate apud Scetim egregie philosophatus fuerat, sicut a quibusdam viris qui cum illo versati fuerant accepi. Alii dicunt hunc ideo amicum fuisse Theophili, quod conscius fuisset ac particeps facinoris cujusdam periculosi. Nam dum bellum gereretur adversus Maximum, aiunt Theophilum datis Isidoro muneribus et epistolis, tum ad imperatorem, tum ad tyrannum; mandasse ei ut Romæ maneret, bellique eventum præstolaretur, et literas suas cum muneribus offerret victori. Hunc vero, cum istud fecisset, detecta fraude, sibi metuentem, fuga Alexandriam repetiisse. Exinde vero Theophilum, cum inter fidelissimos haberet Isidorum, opportunam se mercedem laborum quos pro ipso sustinuerat ei repensurum existimasse, si Constantinopolis episcopum illum constitueret. Verum sive hac de causa, sive tanquam virum bonum, ordinare illum voluerit Theophilus; tandem Joan-

ζοντα δείσας Εὐτρόπιον, τὸν τότε προεστῶτα τοῦ βασιλέως οἴκου· ὃν φασὶν ἄντικρυς αὐτῷ ἀπειλῆσαι, ἢ ταυτὰ τοῖς ἄλλοις ἱερεῦσι συμψηφίσασθαι[i], ἢ τοῖς ἐγκαλεῖν βουλομένοις ἀπολογήσασθαι. Ἔτυχον γὰρ αὐτὸν πολλοὶ τότε παρὰ τῇ συνόδῳ γραψάμενοι.

ΚΕΦ. Γ'.

Ὡς ἐπελθὼν Ἰωάννης ἐπὶ τὴν ἐπισκοπὴν, σφοδρότερον ἥπτετο τῶν πραγμάτων, καὶ τὰς ἁπανταχοῦ ἐκκλησίας ἐπηνώρθου· καὶ ὡς τὸ κατὰ τὸν Φλαβιανὸν πταῖσμα διαπρεσβευσάμενος εἰς Ῥώμην διέλυσε.

1 Ὁ δὲ Ἰωάννης ἐπὶ τῆς ἐπισκοπῆς γενόμενος, πρότερον διορθοῦσθαι τοὺς βίους τῶν ὑπ' αὐτὸν κληρικῶν ἐσπούδαζε· προόδους τε αὐτῶν καὶ δίαιταν καὶ τὴν ἄλλην[k] ἀγωγὴν πολυπραγμονῶν, ἤλεγχέ τε καὶ ἐπέστρεφε· τοὺς δὲ καὶ τῆς ἐκκλησίας ἐξεοῦτο[l]· ἐλεγκτικὸς γὰρ ὢν φύσει, καὶ κατὰ τῶν ἀδικούντων ἐν δίκῃ ἀγανακτῶν, ἔτι μᾶλλον ἐν τῇ ἐπισκοπῇ ἐπέδωκε
2 τούτοις τοῖς παθήμασιν. Ἡ γὰρ φύσις ἐξουσίας ἐπι-

[i] Ita Vales. tacite: ψηφίσασθαι B. Steph.
[k] τὴν ἄλλην supra script. B. τῶν ἄλλων Steph. Genev. τὴν ἄλλην Christoph. Vales.
[l] Videtur legendum ἐξεώσατο. W. Lowth. READING.

nis electioni assensum præbuit, Eutropium veritus, imperialis cubiculi tunc præpositum, qui Joannis ordinationi magnopere favebat. Hic enim palam ei denuntiasse dicitur, ut aut reliquorum sacerdotum suffragiis accederet, aut iis qui accusare ipsum volebant, responderet. Quippe multi tum aderant, qui coram synodo eum accusarant.

CAPUT III.

Quomodo Joannes ad episcopatum promotus, statim rebus gerendis vehementius incubuerit, et ecclesias ubique locorum correxerit: missisque Romam legatis, Flaviani peccatum dissolverit.

Porro Joannes simul atque in episcopatu collocatus est, ante omnia clericorum suorum vitam emendare studuit. Et in processus et victum ac reliquam eorum conversationem diligenter inquirens, redarguebat illos et corrigebat. Quosdam etiam ecclesia ejecit. Nam cum ad redarguendum suopte ingenio proclivis esset, et adversus eos qui injuriam fecissent justa indignatione

λαβομένη, ῥᾳδίως πρὸς[m] ἔλεγχον ἐξῆγε τὴν γλῶσσαν, καὶ τὴν ὀργὴν ἑτοιμότερον κατὰ τῶν ἁμαρτανόντων ἐκίνει. Οὐ μόνον δὲ τὴν ὑπ' αὐτὸν ἐκκλησίαν, ἀλλ' ὡς ἀγαθὸς καὶ μεγαλόφρων, καὶ τὰς ἁπανταχοῦ[n]
3 ἐπανορθοῦν ἐσπούδαζεν. Αὐτίκα γοῦν ἐπὶ τὴν ἐπισκοπὴν παρελθὼν, ἔτι τῶν ἀνὰ τὴν Αἴγυπτον καὶ δύσιν ἱερέων πρὸς τοὺς ἐν τῇ ἕῳ διὰ Παυλῖνον διαφερομένων, καὶ κοινῆς τινὸς ἀμιξίας διὰ τοῦτο τὰς ἀνὰ πᾶν τὸ ὑπήκοον ἐκκλησίας κατεχούσης, ἐδεήθη Θεοφίλου συμπρᾶξαι αὐτῷ, καὶ καταλλάξαι Φλαβιανῷ τὸν Ῥωμαίων ἐπίσκοπον· ὧδε δὲ δόξαν, αἱροῦνται ἐπὶ τοῦτο Ἀκάκιος ὁ Βεροίας ἐπίσκοπος, καὶ 329
Ἰσίδωρος, δι' ὃν Θεόφιλος ἐναντίος ἐγένετο τῇ αὐτοῦ
4 χειροτονίᾳ. Καὶ παραγενόμενοι εἰς Ῥώμην, ἐπειδὴ κατὰ γνώμην αὐτοῖς ἡ πρεσβεία ἀπέβη, κατέπλευσαν εἰς Αἴγυπτον· ἐντεῦθεν εἰς Συρίαν ἧκεν Ἀκάκιος, Αἰγυπτίων καὶ τῶν πρὸς δύσιν ἱερέων εἰρηναῖα γράμματα τοῖς ἀμφὶ Φλαβιανὸν φέρων. Καὶ αἱ μὲν ἐκκλησίαι ὀψέ ποτε ταύτης τῆς διχονοίας ὧδε ἀπαλλα-

[m] Ita B.C. εἰς ἔλ. editt.
[n] Ita B.C. ἁπάντων Steph. πανταχοῦ Vales.

commoveretur, eos affectus multo magis auxit in episcopatu. Natura enim licentiam nacta, linguam ad arguendum facile impellebat, et iram adversus delinquentes promptius incitabat. Neque vero suam ipsius duntaxat, sed et reliquas ubique locorum ecclesias, tanquam bonus et excelso animo præditus, corrigere conabatur. Proinde in ipso episcopatus sui exordio, cum Occidentales et Ægyptii sacerdotes Paulini gratia ab Orientalibus episcopis adhuc dissiderent, et publicum quoddam discidium ob eam rem totius imperii Romani ecclesias obtineret, ipse Theophilum rogavit, ut suam ipsi operam commodaret, et Romanum episcopum Flaviano reconciliaret. Quod cum placuisset, electi sunt ad id negotium Acacius episcopus Beroeæ, et Isidorus; is cujus gratia Theophilus Joannis ordinationi adversatus fuerat. Hi Romam delati, cum legatio ipsis ex animi sententia successisset, in Ægyptum navigarunt. Inde Acacius in Syriam reversus, Ægyptiorum et Occidentalium antistitum literas pacificas attulit Flaviano. Sero tandem

5 γεῖσαι, τὴν πρὸς ἀλλήλας[o] κοινωνίαν ἀπέλαβον. Τὸ δὲ πλῆθος τῶν ἐν Ἀντιοχείᾳ καλουμένων[p] Εὐσταθιανῶν, ἄχρι τινὸς διέμεινεν ἐφ' ἑαυτὸ συναγόμενον, καὶ ἐπισκόπου ἐκτός. Ὀλίγον γὰρ χρόνον ἐπιβιώσας, ὡς ἔγνωμεν, ἐτελεύτησεν Εὐάγριος ὁ Παυλῖνον διαδεξάμενος· κατὰ τοῦτο γάρ, οἶμαι, εὐμαρεῖς[q] ἐγένοντο τοῖς ἐπισκόποις αἱ διαλλαγαὶ[r], μηδενὸς ἐναντίου ὄντος· ὁ δὲ λαὸς, οἷα δῆμος φιλεῖ, κατ' ὀλίγους ἀεὶ προστιθέμενοι τοῖς ὑπὸ Φλαβιανὸν ἐκκλησιάζουσιν, οἱ πλείους τῷ χρόνῳ ἡνώθησαν.

ΚΕΦ. Δ'.

Τὰ κατὰ τὸν βάρβαρον Γότθον Γαϊνᾶν, καὶ τῶν ὑπ' αὐτοῦ πραχθέντων δεινῶν.

1 Ἐν τούτῳ δὲ Γαϊνᾶς ἀνὴρ βάρβαρος, αὐτομολήσας Ῥωμαίοις, ἐξ εὐτελοῦς στρατιώτου παραλόγως εἰς τὴν τῶν στρατηγῶν παρελθὼν τάξιν, ἐπεχείρησε τὴν Ῥωμαίων ἀρχὴν ὑφ' ἑαυτὸν ποιεῖν. Ταῦτα δὲ βου-

[o] ἀλλήλους B. Steph.
[p] τῶν καλ. B. [q] καὶ εὐμ. C.
[r] Veram hujus loci scripturam retinuit codex Fuketii, in quo legitur αἱ διαλλαγαί. Pro quo Nicephorus habet καταλλαγαὶ, quod idem est. Ita etiam Savilius ad latus sui codicis emendarat. VALESIUS. Ita B. διαλογαὶ Steph. Genev.

hunc in modum ecclesiæ ea dissensione liberatæ, in pristinam rursus concordiam redierunt. Antiochiæ vero ii qui Eustathiani dicebantur, aliquandiu perstitere collectas seorsum celebrantes, etiam sine episcopo. Evagrius enim qui Paulino successerat, brevi temporis spatio supervixit, uti jam diximus. Atque idcirco, ut opinor, episcopis facilis fuit reconciliatio, cum nullus superesset adversarius. Populus vero, ut mos est vulgi, paulatim sese adjungens iis qui sub Flaviano conventus ecclesiasticos agebant, progressu temporis majori ex parte in unum coaluit.

CAPUT IV.

De Gaïna Gotho, et de malis ab eodem perpetratis.

Per idem tempus Gaïna, vir barbarus, qui ad Romanos transfugerat, et ex gregario milite præter omnium exspectationem ad honorem magisterii militaris pervenerat, imperium Romanum sibi

λευόμενος, τοὺς ὁμοφύλους αὐτοῦ Γότθους ἐκ τῶν
ἰδίων νόμων[s] εἰς Ῥωμαίους μετεπέμψατο, καὶ τοὺς
ἐπιτηδείους συνταγματάρχας καὶ χιλιάρχους κατέ-
1 στησε. Τιρβιγγίλου[t] δὲ νεωτερίσαντος, ὃς αὐτῷ γένει
προσήκων πολυανθρώπου τάγματος ἡγεῖτο τῶν ἐν
Φρυγίᾳ στρατιωτῶν, τοῖς μὲν εὖ φρονοῦσι δῆλος ἦν
ταῦτα κατασκευάσας· ἀγανακτεῖν δὲ προσποιούμενος
πορθουμένων τῶν τῇδε πόλεων, ἐπετράπη ταύταις
3 βοηθεῖν. Ἐπεὶ δὲ εἰς τὴν Φρυγίαν ἀφίκετο, πλῆθος
ἔχων βαρβάρων ὡς εἰς πόλεμον ἀφιγμένος, εἰς τὸ
φανερὸν ἐξῆγε τὴν γνώμην, ἣν πρότερον ἔκρυπτε·
καὶ πόλεις ἃς ἐτάχθη φυλάττειν, ἐδῄου· ταῖς δὲ ἐπι-
θήσεσθαι ἔμελλε· παραγενόμενος δὲ εἰς Βιθυνίαν, ἐν
τοῖς Χαλκηδόνος ὅροις ἐστρατοπεδεύετο, καὶ πόλεμον
4 ἠπείλει. Ἐν κινδύνῳ δὲ τῶν πραγμάτων ὄντων, καὶ
μάλιστα τῶν ἐν Ἀσίᾳ καὶ ἕῳ πόλεων, ὅσαι τε με-
ταξὺ τούτων καὶ περὶ τὸν Εὔξεινον πόντον οἰκοῦνται,

[s] Scribe mutato accentu νομῶν. Qua voce utitur sæpe Sozomenus pro territorio. VALESIUS.

[t] Τριβιγίλδου Socrat. Zosim. Τριγίβιλδον vocat Philostorg. Niceph.

vindicare conatus est. Hæc dum molitur, gentiles suos Gothos ex propriis ipsorum regionibus in Romanorum ditionem evocat; et eos qui ipsi amici essent, centuriones ac tribunos constituit. Porro cum Tirbingilus res novas concitasset, qui propinquitate generis ei conjunctus, numerosum militum agmen in Phrygia regebat: prudentibus quidem viris minime obscurum erat, Gaïnam ista machinatum esse. Sed tamen quia vastationem urbium ejus provinciæ se moleste ferre simulabat, mandatum est ipsi ut illis succurreret. Postquam vero in Phrygiam pervenit, barbarorum multitudine stipatus, perinde quasi ad bellum venisset; consilium quod antea occultaverat, in lucem protulit: et civitates quas servare jussus fuerat, alias quidem vastavit: alias vero invadere meditabatur. Progressus exinde in Bithyniam in Chalcedonensium finibus substitit, atque ibi bellum minabatur. Cum res in eo discrimine versarentur, ac præcipue Asiæ et Orientis urbes, et quæcumque inter Asiam atque Orientem et ad Euxinum Pontum

λογισάμενος ὁ βασιλεὺς σὺν τοῖς ἀμφ' αὐτὸν ὡς οὐκ 45 ἀσφαλὲς ἀπαρασκεύους ὄντας εἰς κίνδυνον καθίστα- 330 σθαι πρὸς ἄνδρας ἤδη τὸ ζῆν ἀπειρηκότας, πέμψας πρὸς Γαϊνᾶν, ἐπήγγειλεν αἰτεῖν ὅ, τι βούλεται· εἶναι γὰρ ἕτοιμος ἐν πᾶσιν αὐτῷ γενέσθαι κεχαρισμένος.
5 Ὁ δὲ, Σατορνῖνον καὶ Αὐρηλιανὸν ὑπατικοὺς ἄνδρας, ὑπονοῶν ἐναντία φρονεῖν αὐτῷ, ἐξῄτησε[u]· λαβὼν δὲ, ἐφείσατο· καὶ εἰς ταυτὸν τῷ βασιλεῖ συνδραμὼν, εἰς τὸν πρὸ τῆς Χαλκηδόνος εὐκτήριον οἶκον, ἐν ᾧ Εὐφημίας τῆς μάρτυρος ἐστὶν ὁ τάφος[x], ὅρκους τε λαβὼν καὶ δοὺς περὶ εὐνοίας, ἀπέθετο τὰ ὅπλα, καὶ εἰς Κωνσταντινούπολιν ἐπεραιοῦτο, πεζῶν καὶ ἱπ-
6 πέων τὴν ἡγεμονίαν ἐκ βασιλέως ἔχων. Παρ' ἀξίαν δὲ δόξας[y] εὖ πράττειν, οὐκ ἤνεγκε σωφρόνως· ἀλλ' ἐπεὶ τὸ πρῶτον παράλογον κατὰ γνώμην αὐτῷ ἀπέβη, καὶ τὴν καθόλου ἐκκλησίαν θορυβεῖν ἐπεχείρησεν· ἦν μὲν γὰρ Χριστιανὸς, τῆς τῶν βαρβάρων αἱρέ-

[u] Scribendum est ἐξῄτησε. VALESIUS. ἐξαιτοῦντος Socr. ᾔτει Niceph. ἐζήτησε B. et edd.
[x] ὁ τάφος ἐστὶν B.
[y] Assentior Savilio, qui ad latus sui codicis emendavit δόξας. Atque ita Nicephorus xiii. 5, ubi Sozomenum pene ad verbum describit. VALESIUS. δόξαν B. et editt.

sitæ sunt periclitarentur: imperator cum proximis considerans, haudquaquam tutum esse ut imparati in certamen descenderent cum hominibus qui de salute sua jam desperassent, missis ad Gaïnam nuntiis, jussit ut peteret quidquid vellet. Se namque paratum esse in omnibus ei gratificari. At ille Saturninum et Aurelianum consulares viros, quos adversari sibi suspicabatur, dedi sibi postulavit. Cumque accepisset, iis pepercit. Progressusque in colloquium cum principe, in ecclesia quæ est juxta Chalcedonem, in qua Euphemiæ martyris sepulchrum est, dato acceptoque invicem jurejurando de amicitia, arma deposuit: et Constantinopolim trajecit, equestris ac pedestris militiæ magister ab imperatore factus. Sed cum præter meritum res ei prospere successisse viderentur, eam ille felicitatem moderate non tulit. Verum quoniam prior temeritas ex voto ipsi cesserat, ecclesiam quoque perturbare aggressus est. Erat enim Christianus, e secta barbarorum qui Arii

7 σεως, οἱ τὰ Ἀρείου φρονοῦσιν[z]. Ἀναπεισθεὶς δὲ
παρὰ τῶν ταύτης προεστώτων, ἢ αὐτὸς φιλοτιμού-
μενος, ᾔτησε τὸν βασιλέα μίαν τῶν ἐν τῇ πόλει ἐκ-
κλησιῶν τοὺς ὁμοδόξους αὐτῷ ἔχειν· μηδὲ γὰρ εἶναι
δίκαιον, καὶ ἄλλως ἀπρεπὲς ἐμέμφετο, Ῥωμαίων ὄντα
ἑαυτὸν στρατηγὸν, ἔξω τειχῶν παραγενόμενον εὔχε-
8 σθαι. Μαθὼν δὲ τάδε Ἰωάννης, οὐκ ἐφησύχασε.
Παραλαβὼν δὲ τοὺς ἐπισκόπους οἵπερ ἔτυχον ἐνδη-
μοῦντες τῇ πόλει, ἧκεν εἰς τὰ βασίλεια. Καὶ τοῦ
βασιλέως ἐπακούοντος, αὐτοῦ τε Γαϊνᾶ παρόντος, πο-
λὺν κατέχεε λόγον, πατρίδα τε καὶ φυγὴν ὀνειδίζων,
καὶ ὡς τῷ βασιλέως πατρὶ τότε σωθεὶς ὤμοσεν, ἦ
μὴν Ῥωμαίοις εὐνοεῖν, αὐτῷ τε καὶ τοῖς αὐτοῦ παισὶ,
9 καὶ νόμοις, οὓς ἀκύρους ἐπεχείρει ποιεῖν. Καὶ τάδε
λέγων, ἐδείκνυ τὸν νόμον ὃν Θεοδόσιος ἔθετο, τοὺς
ἑτεροδόξους εἴργων ἔνδον τειχῶν ἐκκλησιάζειν. Ἐκ
τούτου δὲ πρὸς τὸν βασιλέα τρέψας τὸν λόγον, ἔπεισε

[z] Ante hæc verba (οἱ—φρονοῦσιν) in codice Fuketiano superne adscripta sunt quatuor puncta, similitudinem crucis referentia. Quæ quidem puncta in margine etiam apposita sunt. Hæc autem nota indicare videtur, verba ista non esse Sozomeni, sed ab alio quodam addita instar scholii sive interpretationis, atque idcirco ad marginem esse rejicienda. VALESIUS.

opinionem sectantur. Persuadentibus igitur episcopis ejus sectæ, seu potius ipse ambitione ductus, postulavit a principe, ut suæ sectæ hominibus una ex ecclesiis urbicis traderetur. Injustum enim, ac præterea indecorum esse querebatur, ut ipse qui magister erat Romanæ militiæ, extra urbis mœnia orandi causa proficisceretur. Quod ubi comperit Joannes, non amplius quievit. Sed assumptis episcopis qui tum forte Constantinopoli morabantur, in palatium perrexit. Et coram principe, ipso quoque Gaïna adstante, multis verbis in eum invectus est: patriam illi et fugam objiciens, et in memoriam revocans quomodo tum ab imperatoris parente servatus, jurasset se Romanis amicum, ipsique ac liberis ejus ac legibus quas nunc abrogare conabatur, fidum perpetuo mansurum esse. Quæ cum diceret, legem a Theodosio datam proferebat qua vetuerat ne hæretici intra urbis mœnia collectas

τὸν τεθέντα νόμον κατὰ τῶν ἄλλων αἱρέσεων κύριον φυλάττειν· ἄμεινον εἶναι συμβουλεύων τῆς βασιλείας παραχωρεῖν, ἢ προδότην οἴκου Θεοῦ γενόμενον
10 ἀσεβεῖν. Καὶ ὁ μὲν ἀνδρείως ὧδε παρρησιασάμενος, οὐδὲν συνεχώρησε νεωτερισθῆναι περὶ τὰς ὑπ' αὐτὸν ἐκκλησίας. Ὁ δὲ Γαϊνᾶς ἐπιορκεῖν ἤδη διενοεῖτο, καὶ τὴν πόλιν πορθεῖν. Ἡνίκα δὴ ταύτην τὴν ἐπιβουλὴν προεμήνυσε κομίτης, ἐπὶ τῆς πόλεως φανεὶς μέγιστος, εἰς αὐτὴν σχεδὸν τὴν γῆν διήκων, καὶ οἷος πρότερον
11 οὐ γεγενῆσθαι λέγεται. Ἐπειρᾶτο δὲ πρότερον τοῖς ἀργυροπωλείοις ἐπιθέσθαι, χρημάτων πλῆθος συλλέγειν ἐντεῦθεν ἐλπίσας· φήμης δὲ γενομένης ὅτι τάδε βεβούλευται, καὶ τῶν ἀργυροπώλων τὸν πρόχειρον πλοῦτον ἀποκρυψαμένων, καὶ τῶν ἐπὶ[a] τῶν 331
τραπεζῶν ἄργυρον οὐκέτι συνήθως δημοσίᾳ προτιθέντων, ἐν νυκτὶ πλῆθος ἐπιπέμψας βαρβάρων, ἐνετεί-
12 λατο τὰ βασίλεια ἐμπιπρᾶν. Οἱ δὲ, ἄπρακτοι καὶ κατεπτηχότες ὑπέστρεφον. Ὡς γὰρ πλησίον ἐγένοντο, πλῆθος ὁπλιτῶν ἔδοξαν ὁρᾷν ἐν μεγάλοις σώμασιν·

[a] Lege τὸν ἐπί. READING.

celebrarent. Post hæc ad imperatorem conversus, suasit ut legem quæ adversus reliquas hæreses lata fuerat, ratam servaret. Satius esse dicens imperio cedere, quam prodita Dei domo piaculum admittere. Et Joannes quidem cum ad hunc modum constanter ac libere locutus esset, nihil in ecclesiis sibi commissis novari passus est. At vero Gaïna jurisjurandi fidem jam violare, et deprædari urbem meditabatur. Quas quidem insidias prænuntiavit cometes, qui eo tempore supra civitatem maximus apparuit, ad ipsam fere terram pertingens, et qualis nunquam antea visus esse memoratur. Ac primo quidem argentariorum tabernas invadere tentavit, maximam pecuniarum copiam inde collecturum se sperans. Sed cum rumor vulgatus esset eum ista meditari, et argentarii quidquid pretiosum habebant abscondissent, nec pecuniam in mensis more solito amplius publice proponerent; tum Gaïna immissis noctu barbaris mandavit, ut palatium incenderent. Verum illi re infecta pavidi redierunt. Nam cum propius accessissent, videre sibi visi

ὑπονοήσαντες δὲ νέηλυν εἶναι στρατιὰν, ἤγγειλαν
13 τῷ Γαϊνᾷ. Ὁ δὲ, ἠπίστατο γὰρ μὴ πλείους τῶν εἰω-
θότων τῇ πόλει ἐνδημεῖν στρατιώτας, οὐκ ἠξίου τοῖς
λεγομένοις πιστεύειν. Ἐπεὶ δὲ καὶ τῆς ἐχομένης
νυκτὸς ἀποσταλέντες ἕτεροι, ταυτὰ τοῖς πρότερον ἤγ-
γειλαν, αὐτὸς ἐλθὼν, αὐτόπτης ἐγένετο τοῦ παραδόξου
14 θεάματος. Νομίσας τε αὐτοῦ χάριν συνεληλυθέναι
τοὺς ἐκ τῶν ἄλλων πόλεων στρατιώτας, νύκτωρ μὲν
φρουρεῖν τὴν πόλιν καὶ τὰ βασίλεια, ἐν ἡμέρᾳ δὲ
λανθάνειν, σκήπτεται δαιμονᾷν· ὡς εὐξόμενός τε κα-
ταλαμβάνει τὴν ἐκκλησίαν, ἣν ἐπὶ τιμῇ Ἰωάννου τοῦ
βαπτιστοῦ, ὁ τοῦ βασιλέως πατὴρ ᾠκοδόμησε πρὸς
15 τῷ ἑβδόμῳ. Τῶν δὲ βαρβάρων, οἱ μὲν, ἔνδον ἔμενον·
οἱ δὲ, Γαϊνᾷ συνεξῄεσαν. Λάθρα δὲ συνεξῆγον ὅπλα
ἐν γυναικείοις ὀχήμασι καὶ κεράμους βελῶν· ἐπεὶ δὲ
ἐφωράθησαν, τοὺς φύλακας τῶν πυλῶν ἀναιροῦσι,
πειραθέντας κωλῦσαι τὴν τῶν ὅπλων ἐκκομιδήν. Ἐκ
τούτου δὲ ταραχῆς καὶ θορύβου ἀνάπλεως ἡ πόλις
16 ἐγένετο, ὡς αὐτίκα ἁλωσομένη. Ἀγαθὴ δὲ γνώμη
ἐκράτει πρὸς τὰ παρόντα δεινά. Ὁ γὰρ βασιλεὺς

sunt multitudinem militum ingentis staturæ. Suspicatique exercitum esse qui recens advenisset, rem Gaïnæ nuntiarunt. Ille, utpote qui sciret haud plures solito milites in urbe tunc esse, dictis fidem habere noluit. Sed cum alii sequenti nocte missi idem quoque quod priores illi renuntiassent, ipse accedens, testis fuit admirandi spectaculi. Ratusque accitos ex aliis urbibus milites convenisse ipsius causa, eosque noctu quidem urbem et palatium custodire, interdiu vero occultari; simulat se correptum esse a dæmone. Et quasi Deum oraturus, pergit ad ecclesiam, quam in honorem Joannis Baptistæ pater imperatoris in septimo construxerat. Ex barbaris vero alii in urbe remanserunt: alii simul egressi sunt cum Gaïna. Clanculum vero arma in vehiculis feminarum, et telorum dolia exportabant. Sed cum deprehensi essent, portarum custodes qui exportationem armorum prohibere conati erant, interfecerunt. Ingens ex ea re perturbatio ac tumultus urbem complevit, quasi jamjam capienda esset. Verum adversus præsentia mala optimum consilium adfuit. Imperator

μηδὲν μελλήσας[b], τὸν μὲν Γαϊνᾶν πολέμιον ἀνεκή-
ρυξε· τοὺς δὲ περιλειφθέντας ἐν τῇ πόλει βαρβάρους,
17 ἀναιρεθῆναι προσέταξεν. Ἐπιθέμενοι δὲ τούτοις οἱ
στρατιῶται, ἀναιροῦσι τοὺς πλείστους· τὴν δὲ καλου-
μένην τῶν Γότθων ἐκκλησίαν ἐμπιπρῶσιν· ὡς εἰς
συνήθη γὰρ εὐκτήριον οἶκον ἐνθάδε ἠθροισμένοι ἐτύγ-
χανον, οἷς οὐκέτι φυγεῖν ἐξεγένετο, τῶν πυλῶν κε-
18 κλεισμένων. Ταῦτα δὲ μαθὼν ὁ Γαϊνᾶς, διὰ Θρᾴκης
ἐλάσας ἧκεν εἰς Χερρόνησον, καὶ τὸν Ἑλλήσποντον
περαιοῦσθαι ἐσπούδαζε. Διενοεῖτο γὰρ ὡς εἰ τῆς ἀν-
τιπέραν Ἀσίας κρατήσειε, ῥᾳδίως πάντα τὰ πρὸς ἕω
τῆς ἀρχομένης ἔθνη ὑφ' ἑαυτὸν ποιήσει. Παρ' ἐλπί-
δας δὲ αὐτῷ καὶ τάδε ἀπήντα, θείᾳ ῥοπῇ κἀνταῦθα
19 Ῥωμαίων χρησαμένων. Παρῆν μὲν γὰρ στρατιὰ
κατὰ γῆν καὶ θάλατταν, παρὰ βασιλέως ἀπεσταλ-
μένη, ἧς ἡγεῖτο Φλαβίτας[c], ἀνὴρ βάρβαρος τὸ γένος,
ἀγαθὸς δὲ τὸν τρόπον καὶ στρατηγικός. Οἱ δὲ βάρ- 332
βαροι ναῦς μὴ ἔχοντες, ἐπὶ σχεδιῶν ἐπειρῶντο διεκ-

[b] μελήσας B.

[c] In cod. Fuk. et Niceph Φλαβίτας rectius. Zosimus in lib. 5. et Eunapius Φραούιθον vocant. VALES. Φλαυβίτας B. Steph. Genev.

enim nihil cunctatus, Gaïnam hostem publicum renuntiavit: barbaros vero qui in urbe remanserant occidi jussit. Milites igitur impetu in eos facto, magnam eorum partem interfecerunt: ecclesiam vero quæ dicebatur Gothorum, incendio consumpserunt. Illuc enim, velut in ædem sacram in qua preces facere solebant, confugerant: nec amplius aufugere poterant, utpote foribus occlusis. His cognitis, Gaïna per Thraciam profectus, in Cherronesum venit, et Hellespontum trajicere conabatur. Sic enim cogitabat, se, si Asiam quæ ex adverso objecta erat, occupavisset, reliquas Orientis provincias in suam potestatem facile redacturum. Verum is quoque conatus infeliciter ei successit, Romanis divina ope hic etiam adjutis. Etenim pedestres ac navales copiæ ab imperatore missæ, præsto fuere, quarum dex erat Fravita; vir natione quidem barbarus, sed bonis moribus, et peritus rei militaris. Barbari vero cum naves non haberent, ratibus vecti, Hellespontum trajicere, et in oppositam continentem invadere nite-

πλεῖν τὸν Ἑλλήσποντον πρὸς τὴν ἀντικρὺ ἤπειρον. Ἐξαπίνης δὲ πολὺς ἐπιπνεύσας Ζέφυρος τὰς σχεδίας διέλυσε σὺν βίᾳ, καὶ κατὰ τούτων τὰς Ῥωμαίων ναῦς
20 ἤλαυνε. Τῶν δὲ βαρβάρων, οἱ πλείους μὲν, αὐτοῖς ἵπποις ὑποβρύχιοι ἐγένοντο· οἱ δὲ, ὑπὸ τῶν στρατιωτῶν ἀνῃρέθησαν. Ὁ δὲ Γαϊνᾶς ἅμα ὀλίγοις περισωθεὶς τότε, οὐ πολλῷ ὕστερον ἀνὰ τὴν Θρᾴκην ἀλώμενός τε καὶ φεύγων, ἑτέρᾳ στρατιᾷ περιέπεσε, καὶ σὺν τοῖς ἀμφ' αὐτὸν βαρβάροις ἀπώλετο. Τοῦτο τῶν
21 Γαϊνᾶ τολμημάτων, καὶ τοῦ βίου τὸ τέλος. Ὁ δὲ Φλαβίτας λαμπρὸς ἐν ταύτῃ τῇ μάχῃ γενόμενος, χειροτονεῖται ὕπατος[d]. Ἐν δὲ τῷ τότε αὐτοῦ καὶ Βι- A. D. 401.
κεντίου ὑπατευόντων, τίκτεται τῷ βασιλεῖ παῖς, τῷ πάππῳ ὁμώνυμος. Ἀρχομένης δὲ τῆς ἑξῆς ὑπατείας, A. D. 402.
ἀναγορεύεται Σεβαστός.

ΚΕΦ. Ε'.

Ὡς ὑπηγάγετο ὁ Ἰωάννης ταῖς διδασκαλίαις τὰ πλήθη· καὶ περὶ τῆς γυναικὸς Μακεδονιανῆς, δι' ἣν ὁ ἄρτος εἰς λίθον μετεβλήθη.

1 Ἰωάννης δὲ ἄριστα τῆς Κωνσταντινουπόλεως ἐκ-

[d] ὕπαρχος B.

bantur. Sed vehemens Zephyrus repente ingruens, rates quidem eorum dissolvit. Romanorum autem naves violenter in illas impulit. Ac barbarorum quidem plerique, simul cum equis suis submersi sunt, alii a militibus interfecti. Gaïna vero tum quidem una cum paucis servatus, paulo post cum per Thraciam fugiens oberraret, in alterum incidit exercitum; et simul cum barbaris quos circa se habebat extinctus est. Et Gaïnæ quidem, perditorum consiliorum ac vitæ, hujusmodi exitus fuit. Fravita vero, cum in eo bello egregiam operam navasset, consul factus est. Per idem tempus, ipso quem diximus Fravita et Vincentio coss. imperatori natus est filius avo cognominis. Qui sub initium sequentis consulatus, Augustus renuntiatus est.

CAPUT V.

Quomodo Joannes multitudinis animos concionibus suis pellexerit. Et de muliere Macedoniana, cujus panis in lapidem conversus est.

Interea Joannes Constantinopolitanam ecclesiam egregie ad-

κλησίας ἐπιτροπεύων, πολλοὺς μὲν ἐκ τῶν Ἑλλήνων, πολλοὺς δὲ ἐκ τῶν αἱρέσεων ἐπήγετο. Συνέρρει δὲ πρὸς αὐτὸν ἑκάστοτε πλῆθος, τῶν μὲν, ἐπ' ὠφελείᾳ ἀκουσομένων, τῶν δὲ, ἀπόπειραν ληψομένων. Ἅπαντάς τε ᾔρει, καὶ τὰ αὐτὰ δοξάζειν αὐτῷ περὶ τὸ θεῖον
2 ἔπειθε. Τοσοῦτον[e] δὲ πρὸς αὐτὸν τὸ πλῆθος ἐκεχήνεσαν, καὶ τῶν αὐτοῦ λόγων κόρον οὐκ εἶχον, ὥστε, ἐπεὶ ὠστιζόμενοι καὶ περιθλίβοντες ἀλλήλους ἐκινδύνευον, ἕκαστος προσωτέρω ἰέναι βιαζόμενος ὅπως ἐγγὺς παρεστὼς ἀκριβέστερον αὐτοῦ λέγοντος ἀκούοι, μέσον ἑαυτὸν πᾶσι παρέχων, ἐπὶ τοῦ βήματος τῶν
3 ἀναγνωστῶν καθεζόμενος ἐδίδασκεν. Ἐν καιρῷ δέ μοι δοκεῖ, τὸ συμβὰν ἐπὶ αὐτοῦ θαῦμα συμπεριλαβεῖν τῇ γραφῇ. Ἀνήρ τις τῆς Μακεδονίου αἱρέσεως, τοιαύτῃ γυναικὶ συνῴκει· περιτυχὼν δὲ αὐτῷ διδάσκοντι ὅπως χρὴ περὶ Θεοῦ δοξάζειν, ἐπαινέτης ἦν τοῦ δόγματος, καὶ τὴν γυναῖκα ὁμοφρονεῖν αὐτῷ παρεκάλει. Ἐπεὶ δὲ τῇ πρὸ τούτου συνηθείᾳ, καὶ ταῖς ὁμιλίαις

[e] Malim scribere ἐπὶ τοσοῦτον. Quemadmodum legit Nicephorus. Nisi τοσοῦτον sumas adverbialiter. VALESIUS. ἐπὶ τόσον δὲ τὰ πλήθη Niceph. Omitti posset τὸ ante πλῆθος.

ministrans, multos tum ex gentilibus, tum ex hæreticis alliciebat. Confluebat ad illum quotidie multitudo, partim eorum qui utilia ex eo discere, partim eorum qui periculum ejus facere cupiebant. Capiebat autem ille universos, utque idem cum ipso de Divinitate sentirent, eis persuadebat. Porro populus tantopere ejus sermonibus inhiabat, nec illis satiari ullo modo poterat, ut, quoniam sese mutuo impellentes ac prementes periclitabantur, dum singuli propius nitebantur accedere, ut illum dicentem exactius audirent de proximo: ipse in medio omnium consistens, ex lectorum suggestu populum sedens docuerit. Hic vero opportunum mihi videtur, miraculum quod illius temporibus accidit, historiæ nostræ inserere. Vir quidam ex secta Macedonianorum, uxorem habebat ejusdem sectæ. Hic cum Joannem aliquando docentem audiisset, quomodo de Divinitate sentiendum sit, fidem ejus amplexus est: uxoremque hortari cœpit, ut idem secum sentire vellet. Sed cum illa priori consuetudine et familiarium sibi mulierum congressibus

τῶν γνωρίμων γυναικῶν ἡττᾶτο, καὶ πολλάκις νουθε-
τῶν ὁ ἀνὴρ οὐδὲν ἤνυεν, Εἰ μὴ, φησὶ, κοινωνήσεις μοι
τῶν θείων, οὐδὲ τοῦ βίου κοινωνὸς ἔσῃ μοι τοῦ λοι-
4 ποῦ. Ἐνταῦθα δὲ ἡ γυνὴ συνθεμένη τοῦτο ποιεῖν,
κοινοῦται τινὶ τῶν θεραπαινίδων ἣν ἡγεῖτο πιστὴν, 45
καὶ παραλαμβάνει συνεργὸν ἐς ἀπάτην τοῦ ἀνδρός.
Περὶ δὲ τὸν καιρὸν τῶν μυστηρίων· ἴσασι δὲ οἱ με-
μυημένοι ὃ λέγω· ἡ μὲν, ὅπερ ἐδέξατο κατέχουσα, ὡς
εὐξομένη ἐπέκυψε[f]. Παρεστῶσα δὲ αὐτῇ ἡ θερά- 333
παινα, λάθρα δέδωκεν ὃ μετὰ χεῖρας ἦλθε φέρουσα·
5 τὸ δὲ πρὸς τοῖς ὀδοῦσι λίθος ἐπήγνυτο. Περιδεὴς δὲ
γενομένη ἡ γυνὴ μή τι πάθοι, θεῖον οὕτω πρᾶγμα ἐπ'
αὐτῇ συμβὰν, δρομαία ἐπὶ τὸν ἐπίσκοπον ἐλθοῦσα, 5
ἑαυτὴν κατεμήνυσε· καὶ τὸν λίθον ἐπέδειξεν, εἰκόνα
φέροντα τοῦ δήγματος, ἀγνῶτα δὲ τὴν ὕλην, καὶ

[f] Interpretes legerunt ἐπέκυψεν. Vertunt enim, *velut oratura procumbit*. Melius tamen vertissent cum Lango, *caput demisit*. In cod. Fuk. ἀπέκυψε, minus probe. Apud Nicephorum excusum est ἐπέκρυπτε. VALESIUS. ἐπέκυψε B. quod credo et genuinum illud fuisse, unde natum est quod habent Steph. et Genev. ἐπέσκυψε, et illud quod Valesius ipse scribere debuit. Nam Valesius in textu suo posuit ἀπέκυψε, quod in nota sua reprobavit. κατέκρυπτε Niceph., quod indicio est fortasse, illum in Sozomeno legisse ἐπέκρυπτε, quamvis hoc non legatur in textu Nicephori ed. Frontonis Ducæi.

quasi captiva teneretur, nec maritus crebris admonitionibus quidquam proficeret, tandem ille : Nisi, inquit, in divinis mysteriis mecum communicaveris, nec vitæ consors mihi eris in posterum. Tum mulier id se facturam pollicita, consilium suum aperit ancillæ, quam sibi sociam adjungit ad fallendum maritum. Allapso igitur tempore mysteriorum, intelligunt fideles quid velim dicere, mulier id quod acceperat, retinens, quasi Deum oratura, caput submisit. Ancilla vero quæ ei adstabat, id quod domo attulerat, clanculum ei tradidit. Quod cum mulier dentibus admovisset, instar lapidis obduruit. Tum mulier, verita ne quid sibi gravius eveniret, tanto erga se patrato miraculo; confestim ad episcopum pergens, seipsam accusavit. Simulque lapidem ostendit, qui morsus vestigia retinebat, materia quadam prorsus ignota, et colore

παράξενόν[f] τι δεικνύντα χρῶμα· σὺν δάκρυσί τε συγγνώμην αἰτήσασα, ὁμοφρονοῦσα τῷ ἀνδρὶ συνῆν.
6 Ἀλλὰ τάδε μὲν εἴ τῳ μὴ πιθανὰ δοκεῖ, μάρτυς αὐτὸς ὁ λίθος, εἰσέτι νῦν ἐν τοῖς κειμηλίοις τῆς ἐκκλησίας Κωνσταντινουπόλεως φυλαττόμενος.

ΚΕΦ. ϛʹ.

Περὶ τῶν ἐν Ἀσίᾳ καὶ Φρυγίᾳ πραχθέντων τῷ Ἰωάννῃ, καὶ περὶ Ἡρακλείδου τοῦ Ἐφέσου, καὶ τοῦ Νικομηδείας Γεροντίου[g].

1 Ὁ δὲ Ἰωάννης πυθόμενος ὑπὸ ἀναξίων τὰς ἐν Ἀσίᾳ καὶ πέριξ ἐκκλησίας ἐπιτροπεύεσθαι, καὶ τοὺς μὲν, λήμμασι καὶ δωροδοκίαις, τοὺς δὲ, χάριτι ὑπαγομένους τὰς ἱερωσύνας ἀπεμπωλεῖν[h], ἧκεν εἰς Ἔφεσον· καθελών τε δέκα καὶ τρεῖς ἐπισκόπους, τοὺς μὲν ἐν Λυκίᾳ καὶ Φρυγίᾳ, τοὺς δὲ ἐν αὐτῇ τῇ Ἀσίᾳ, ἑτέρους[i]
2 ἀντ' αὐτῶν κατέστησε. Τῆς δὲ Ἐφεσίων ἐκκλησίας, ἔτυχε γὰρ ὁ τότε ἐνθάδε ἐπισκοπῶν τελευτήσας, Ἡρακλείδην ἄνδρα Κύπριον τὸ γένος, διάκονον τῶν

[f] Melius in cod. Fuketiano παράξενον. Nicephorus ξενίζον. VALESIUS. Ita B. παραδοξόν Steph. Genev.

[g] [Γέροντος editt.]

[h] ἀπεμπολεῖν B.

[i] ἑτέρους om. B. Steph. inser. Christ. Scal. Vales. post Nicephorum.

inusitato præditum. Cumque effusis lachrymis veniam postulasset, ejusdem fidei cum viro deinceps permansit. Quod si cui forte hæc minus credibilia videntur, testis est lapis ipse, qui in thesauro ecclesiæ Constantinopolitanæ etiamnum servatur.

CAPUT VI.

De his quæ Joannes gessit in Asia et Phrygia: et de Heraclide Ephesi, et Gerontio Nicomediæ episcopis.

Porro Joannes, cum audiisset Asiæ et finitimarum provinciarum ecclesias ab indignis sacerdotibus gubernari; et alios quidem donis ac muneribus, alios vero gratia corruptos, sacerdotia vendere, Ephesum perrexit. Ac tredecim episcopis depositis, partim in Lycia et Phrygia, partim in ipsa Asia, alios in eorum locum substituit. Ephesinæ autem ecclesiæ, cujus episcopus tum forte mortem obierat, Heraclidem præfecit, virum origine Cyprium; qui

ὑπ' αὐτὸν μοναχῶν[k] τῶν ἐκ τῆς Σκήτεως, Εὐαγρίου
τοῦ μοναχοῦ μαθητήν. Οὐ μὴν ἀλλὰ καὶ Γερόντιον
3 ἐξεώσατο τῆς Νικομηδέων ἐκκλησίας. Οὗτος γὰρ ὑπὸ
Ἀμβροσίῳ τῷ ἐπισκόπῳ Μεδιολάνων διακονούμενος,
οὐκ οἶδ' ὅ, τι παθὼν, ἀλλ' ἢ τερατευόμενος, ἢ δαιμο-
νίου σπουδῇ καὶ φαντασίαις ὑπαχθεὶς, νύκτωρ ἔφη
τισὶν Ὀνοσκελίδα συλλαβόμενος, ξυρίσαι τὴν κεφα-
λὴν καὶ μυλωνίῳ ἐμβαλεῖν· ὡς ἀνάξια δὲ τοῦ δια-
κόνου Θεοῦ φθεγξάμενον, ἐκέλευσεν Ἀμβρόσιος τέως
4 καθ' ἑαυτὸν εἶναι, καὶ μεταμελείᾳ καθαίρεσθαι. Ὁ δὲ, 334
ἰατρὸς ὢν ἄριστος, καὶ ἀοκνότατος[l] λέγειν καὶ πείθειν,
καὶ φίλους περιποιεῖν ἱκανὸς, ὡς ἐπεγγελῶν Ἀμβρο-
σίῳ, ἧκεν εἰς Κωνσταντινούπολιν. Ἐν ὀλίγῳ τε
χρόνῳ τινὰς τῶν ἐν τοῖς βασιλείοις δυναμένων ποιεῖ-
ται φίλους· καὶ μετ' οὐ πολὺ ἐπιτρέπεται τὴν Νικο-
5 μηδέων ἐπισκοπήν. Ἐχειροτόνησε δὲ αὐτὸν Ἑλλάδιος
ὁ Καισαρέων Καππαδοκῶν ἐπίσκοπος, ἀμειβόμενος

[k] Legendum est διάκονον τῶν ὑπ' αὐτὸν, μοναχόν. VALESIUS. Vid. adnot. Conf. tamen infra, adnot. ad c. 9.

[l] Post vocem ἀοκνότατος, subdistinctionem apponendam puto; et reliqua ita legenda uno tenore, λέγειν τε καὶ πείθειν καὶ φίλους περιποιεῖν ἱκανός. Atque ita distinxit Nicephorus. VALES.

olim quidem monachus fuerat apud Scetim, et discipulus Evagrii monachi: tum vero unus erat ex Joannis diaconis. Sed et Gerontium Nicomediensi ecclesia expulit. Hic enim cum diaconus esset sub Ambrosio Mediolanensis ecclesiæ episcopo, nescio quid passus, utrum fucum facere volens, an dæmonis arte et vanis imaginibus deceptus, retulerat quibusdam, se noctu Onoscelidem comprehensam, capite raso, in pistrinum conjecisse. Qua de causa Ambrosius eum, utpote qui indigna ministro Dei locutus esset, domi ad tempus manere, et pœnitentia expiari jusserat. At Gerontius, cum et optimus esset medicus ac diligentissimus, et ad dicendum ac persuadendum, parandosque amicos aptissimus, quasi Ambrosium deridens, Constantinopolim perrexit. Illic brevi temporis spatio in amicitiam quorundam qui in palatio plurimum poterant, sese insinuavit: nec multo post Nicomediensis ecclesiæ episcopatum adeptus est. Ordinavit autem illum Helladius Cæsareæ Cappadocum episcopus, hanc illi gratiam referens, eo quod

καθότι παιδὶ αὐτοῦ πρόξενος λαμπρᾶς στρατιᾶς ἐγέ-
νετο ἐν τοῖς βασιλείοις. Μαθὼν δὲ ταῦτα Ἀμβρό-
σιος, ἔγραψε Νεκταρίῳ τῷ προϊσταμένῳ τῆς[m] ἐκκλη-
σίας Κωνσταντινουπόλεως, ἀφελέσθαι Γεροντίου τὴν
ἱερωσύνην, καὶ μὴ περιϊδεῖν αὐτὸν ὑβρισμένον, καὶ
6 τὴν ἐκκλησιαστικὴν τάξιν. Νεκταρίῳ δὲ, καὶ μάλα
τοῦτο σπουδάσαντι, γέγονεν ἀνήνυτον, πανδημεὶ τῶν
Νικομηδέων ἀνδρικῶς ἀνθισταμένων[n]. Ὁ δὲ Ἰωάννης
καθελὼν αὐτὸν, ἐχειροτόνησε Πανσόφιον· ὃς παιδα-
γωγὸς ἐγεγόνει τῆς τοῦ βασιλέως γαμετῆς· εὐλαβὴς
δὲ, καὶ τὸ ἦθος μέτριός τε καὶ πρᾶος· οὐ μὴν Νικο-
7 μηδεῦσι καταθύμιος. Στασιάσαντες γοῦν πολλάκις,
κοινῇ τε καὶ πρὸς ἕκαστον ἀπηριθμοῦντο τὰς Γερον-
τίου εὐεργεσίας, καὶ τὴν ἐκ τῆς ἐπιστήμης ἄφθονον
χρείαν, καὶ τὸ περὶ πάντας πλουσίους τε καὶ πένητας
ἐπίσης ἄφθονόν τε καὶ ἄοκνον. Τούτοις δὲ καὶ τὰς
ἄλλας ἀρετὰς προσετίθουν[o], οἷά γε εἰκὸς φιλοῦντας[p].
8 Καὶ ὡς ἐπὶ σεισμοῖς, ἢ αὐχμοῖς, ἢ ἄλλαις τισὶ θεο-

[m] τῆς om. B. Steph. inser. Vales.
[n] ἀντιστάντων C.
[o] προσετίθεσαν J.
[p] οἷά γε εἰκὸς φιλοῦντας om. B. Steph. supplev. Christ. Scal. Curt. Vales.

suffragio suo splendidam in palatio militiam filio ipsius comparasset. Quæ cum didicisset Ambrosius, scripsit Nectario episcopo Constantinopolitano, ut Gerontio sacerdotium adimeret, nec se et ecclesiasticam disciplinam contumelia affici pateretur. Verum Nectarius, quamvis omni studio id perficere conatus, nunquam tamen obtinere potuit, universis simul Nicomediensibus ei fortiter resistentibus. Joannes vero cum illum deposuisset, ejus loco Pansophium ordinavit. Hic uxoris Arcadii imperatoris pædagogus fuerat. Vir pius quidem et placidis moribus ac moderatis: Nicomediensibus tamen minime gratus. Itaque seditionem crebrius excitantes, tum privatim, tum publice, Gerontii beneficia recensebant, et uberrimam utilitatem quam ex illius arte medica percipiebant: dexteritatem denique ac sedulitatem qua erga omnes ex æquo, tam pauperes, quam divites utebatur. His alias quoque ejus virtutes adjiciebant, utpote amici ac benevoli. Nec secus ac

σημίαις[q], περιϊόντες ἐν ταῖς ἀγυιαῖς, ἀνὰ τὴν πατρίδα τὴν ἑαυτῶν καὶ τὴν Κωνσταντινούπολιν, ἔψαλλον, καὶ ἱκέτευον τὸν Θεὸν, ἐπίσκοπον αὐτὸν ἔχειν. Τὸ δὲ τελευταῖον βιασθέντες, τοῦ μὲν, ἀπηλλάγησαν σὺν πένθει καὶ ὀδυρμοῖς· τὸν δὲ μετὰ δέους καὶ μίσους
9 ἐδέξαντο. Ἐντεῦθεν δὲ[r] οἱ καθαιρεθέντες, καὶ οἱ τούτων ἐπιτήδειοι, ἐπῃτιῶντο Ἰωάννην, ὡς ἀρχηγὸς νεωτερισμοῦ ταῖς ἐκκλησίαις ἐγένετο, καὶ τὰ δίκαια τῶν χειροτονιῶν παρὰ τοὺς πατρίους νόμους ἐκαινοτόμησεν· ὑπὸ δὲ λύπης καὶ τὰ λόγου ἄξια αὐτῷ πεπραγμένα κατὰ τὰς τῶν πολλῶν δόξας διέβαλλον. Ἀμέλειτοι καὶ τὸ ἐπὶ Εὐτροπίου τότε συμβὰν ἐνεμέσων[s].

ΚΕΦ. Ζ'. 335

Περὶ Εὐτροπίου τοῦ ἀρχιευνούχου, καὶ περὶ τοῦ νόμου ὃν ἔθετο· καὶ ὡς ἀποσπασθεὶς τῆς ἐκκλησίας ἐφονεύθη. Καὶ περὶ τοῦ πρὸς Ἰωάννην γογγυσμοῦ.

1 Οὗτος γὰρ μείζων ὢν τῶν βασιλέως εὐνούχων,

[q] Ita B. Niceph. θεοσημείαις Steph. Genev. θεομηνίαις tacite Vales.

[r] ἐντεῦθέν τε C.

[s] In cod. Fuk. ἐν μέσῳ. Quam scripturam veriorem puto. Sub-

in terræ motu aut siccitate, aut alia quapiam calamitate cœlitus invecta, per plateas civitatis suæ et Constantinopolis circumeuntes psallebant, Deoque supplicabant ut illum episcopum haberent. Tandem vero coacti, illum quidem cum luctu ac gemitibus dimiserunt: Pansophium vero cum odio ac metu susceperunt. Exinde hi qui depositi fuerant, et illorum necessarii, Joannem accusare cœperunt, quod rerum novarum in ecclesiis auctor fuisset, et contra morem institutumque majorum, ordinationum jura immutasset. Ac præ dolore animi atque indignatione, ea quoque reprehendebant, quæ omnium judicio præclare gesta erant a Joanne. Denique et illud quod tum Eutropio contigerat, ei objiciebant.

CAPUT VII.

De Eutropio præposito sacri cubiculi, et de lege ab eo promulgata: et quomodo ab ecclesia abstractus sit ac necatus. Et de obmurmuratione adversus Joannem.

Hic enim cum præpositus esset imperatoris cubiculariis, primus

μόνος καὶ πρῶτος ὧν ἴσμεν ἢ ἀκηκόαμεν, ὑπάτου καὶ
2 πατρὸς βασιλέως[t] ἀξίᾳ ἐτιμήθη. Ἐπεὶ δὲ τῆς παρούσης δυνάμεως οὐκ ἐννοήσας τὸ μέλλον, καὶ τὰς συμβαινούσας ἐν τοῖς ἀνθρωπίνοις πράγμασι μεταβολὰς, ἐπεχείρει τῆς ἐκκλησίας ἀφέλκειν ἱκέτας Θεοῦ, δι' αὐτὸν ἐνθάδε διατρίβοντας· καὶ μάλιστα Πενταδίαν τὴν τοῦ[u] Τιμασίου γαμετήν· ὃν στρατηγὸν δυνατὸν καὶ φοβερώτατον γενόμενον, εἰς τὴν κατ' Αἴγυπτον Ὄασιν ἀϊδίῳ φυγῇ ἐζημίωσε, τυραννίδος ἐπαγαγὼν αἰτίαν· ἀλλ' ἐκεῖνος ἢ δίψει πιεζόμενος, ὥς τινος ἐπυθόμην, ἢ δεδιὼς μή τι χεῖρον ὑπομείνῃ, ἐν ταῖς[v] αὐτόθι ψάμμοις ἀλώμενος[x], εὑρέθη νεκρός.
3 Εὐτροπίου δὲ σπουδῇ τίθεται νόμος, προστάττων μηδαμῇ μηδένα εἰς ἐκκλησίαν καταφυγεῖν, ἐξελαύνεσθαί τε καὶ τοὺς ἤδη προσπεφευγότας. Οὐκ εἰς μακρὰν δὲ,

audiendum est autem verbum quod præcessit, διέβαλλον. Certe νεμεσᾷν τὸ συμβὰν, non videtur Græce dici posse. VALESIUS. Ita B. Steph. Genev. Subaudiendum est potius αὐτῷ, quo posito, recte dici potest, quemadmodum in, ἃ γάρ τις αὐτὸς ποιεῖ, ταῦτα λέγεται τοῖς πέλας οὐ νεμεσᾷν, Aristot. Rhet. ii. 6, 19.

t Patriciatus dignitatem intelligit. Patricii enim imperatoris patres dicebantur, ut ex Claudiano aliisque notissimum est. Porro hæc dignitas a Constantino magno primum instituta est, ut testatur Zosimus. VALESIUS.

u τοῦ om. B.

v Ita C. Niceph. τοῖς ceteri.

x [εἰλώμενος Steph. ἀλώμενος *vel* εἰλούμενος adnotavit Christ.]

ac solus ex omnibus quos aut vidimus, aut auditione accepimus, consulis ac patricii honorem adeptus est. In hac vero potentia constitutus, cum nec futurum tempus animo reputaret, nec consuetas rerum humanarum vicissitudines sibi ob oculos proponeret, supplices Divini numinis qui ipsius causa ad ecclesiam confugerant, inde extrahere conatus est, atque inter cæteros Pentadiam uxorem Timasii. Quem ille magistrum militiæ, antea potentem et cunctis formidabilem, perpetuo exsilio in Oasim Ægypti deportaverat, affectatæ tyrannidis crimen ei impingens. Verum hic quidem, sive siti oppressus, ut a quodam viro accepi, sive metuens ne quid pejus pateretur, dum per arenas regionis illius vagaretur, mortuus repertus est. Eutropius vero legem ferri curavit, qua vetabatur ne quisquam ad ecclesiam confugeret: et qui jam confu-

ὡς εἰς τὴν βασιλέως γαμετὴν ὑβρίσας ἐπιβουλευθεὶς,
πρῶτος αὐτὸς παρέβη τὸν νόμον· καὶ ἀποδρὰς ἐκ
τῶν βασιλειῶν, ἱκέτης τὴν ἐκκλησίαν κατέλαβεν.
4 Ἡνίκα δὴ λαμπρόν τινα κατ' αὐτοῦ ὑπὸ τὴν ἱερὰν
τράπεζαν κειμένου, κατέτεινε λόγον[y] Ἰωάννης· τῶν
μὲν ἐν δυνάμει τὴν ὀφρῦν κατασπῶν, τῷ δὲ λαῷ
δεικνὺς, ὡς οὐδὲν τῶν ἀνθρωπίνων ἐν ταυτῷ μένειν
φιλεῖ. Οἵ γε μὴν ἀπεχθανόμενοι πρὸς αὐτὸν καὶ
τοῦτο διέβαλλον, ὡς ἐλεεῖν δέον τὸν περὶ ψυχῆς κιν-
δυνεύοντα, ἤλεγχεν, ἐπεμβαίνων ταῖς αὐτοῦ συμφο-
5 ραῖς. Ἀλλ' Εὐτρόπιος μὲν, τῆς ἀσεβοῦς ταύτης ἐπι-
χειρήσεως ἀνέπλησε τὴν δίκην, τὴν κεφαλὴν ἀποτμη-
θείς. Καὶ ὁ τεθεὶς νόμος ἄρδην ἐκ τῶν δημοσίων
6 ὑπομνημάτων ἠφανίσθη. Ἡ δὲ ἐκκλησία εὖ μάλα
διέπρεπεν, ὡς τοῦ Θεοῦ τιμωροῦ γενομένου ἐν τάχει 336
τῶν κατ' αὐτῆς ἀδικημάτων· καὶ ταῖς περὶ τὸ θεῖον
θεραπείαις ἐπεδίδου. Προθυμότερόν τε τότε μᾶλλον
ὁ Κωνσταντινουπόλεως λαὸς τοῖς ἑωθινοῖς καὶ νυκτε-
ρινοῖς ὕμνοις ἐχρῆτο, κατὰ πρόφασιν τοιάνδε.

[y] τὸν λόγον J.

gissent, expelli jubebantur. Nec multo post calumnia appetitus, quasi imperatoris conjugem contumelia affecisset, primus ipse legem transgressus est: et ex palatio sese proripiens, supplex ad ecclesiam confugit. Quo quidem tempore Joannes in illum sub sacra mensa jacentem, eleganti quadam oratione invectus est: tum potentium hominum supercilium deprimens; tum populo ostendens, nihil esse in rebus humanis, quod eodem in statu diu permanere possit. Hi ergo qui Joanni infensi erant, hoc illius factum criminati sunt, quod cum ejus vicem miserari debuisset qui de capite periclitabatur, eum reprehenderat, insultans adversæ illius fortunæ. Sed Eutropius quidem, impii conatus sui meritas pœnas persolvit, capite truncatus: et lex quæ promulgata fuerat, ex monumentis publicis penitus sublata est. Ecclesia vero magnopere florebat, cum Deus injurias ei illatas celeriter ultus fuisset; et in cultu divini numinis amplius proficiebat. Sed et populus Constantinopolitanus, matutinis ac nocturnis hymnis exinde promptius uti cœpit hanc ob causam.

ΚΕΦ. Η΄.

Περὶ τῶν ἀντιφώνων ᾠδῶν πρὸς Ἀρειανοὺς Ἰωάννου. Καὶ ὡς[1] τῆς διδασκαλίας Ἰωάννου τὰ τῶν ὀρθοδόξων μᾶλλον ἐπεδίδου· ἤσχαλλον δὲ οἱ πλουτοῦντες.

1 *Ἐπεὶ γὰρ οἱ ἀπὸ τῆς Ἀρείου αἱρέσεως, ἀφαιρεθέν-*
τες τῶν ἐν τῇ Κωνσταντινουπόλει ἐκκλησιῶν ἐπὶ τῆς
Θεοδοσίου βασιλείας, πρὸ τῶν τειχῶν ἐκκλησίαζον,
νύκτωρ πρότερον ἐν ταῖς δημοσίαις στοαῖς συνελέ-
γοντο, καὶ εἰς συστήματα μεριζόμενοι, κατὰ τὸν τῶν
ἀντιφώνων τρόπον ἔψαλλον, ἀκροτελεύτια συντιθέν-
τες πρὸς τὴν αὐτῶν δόξαν πεποιημένα. Ὑπὸ δὲ τὴν
ἕω ταῦτα δημοσίᾳ ψάλλοντες, εἰς τοὺς τόπους ἀπή-
2 *εσαν, ἔνθα καὶ ἐκκλησίαζον. Ἐποίουν δὲ ὧδε ἐν ταῖς*
ἐπισήμοις ἑορταῖς, καὶ τῇ πρώτῃ καὶ τελευταίᾳ τῆς
ἑβδομάδος ἡμέρᾳ. Τελευτῶντες δὲ, καὶ πρὸς ἔριν τὰς
ᾠδὰς προσετίθεσαν, Ποῦ εἰσὶν οἱ λέγοντες τὰ τρία
μίαν δύναμιν, καὶ ἕτερα τοιάδε τοῖς ὕμνοις ἀναμιγνύν-
3 *τες. Δείσας δὲ Ἰωάννης, μὴ τινες τούτοις ὑπαχθῶσι*

[1] Lege διὰ τῆς.

CAPUT VIII.

De antiphonariis hymnis, quos adversus Arianos cani Joannes instituit: et quomodo ejus prædicationibus auctæ sunt res orthodoxorum: divites vero dolore affecti fuerunt.

Nam cum Ariani, quibus regnante Theodosio ademptæ fuerant ecclesiæ Constantinopoli, extra urbis mœnia conventus ecclesiasticos agerent, noctu in publicis porticibus primum congregabantur. Et in cœtus divisi, antiphonatim psallebant, clausulas quasdam juxta ipsorum dogma compositas adjicientes. Prima autem luce, eadem publice canentes, pergebant ad loca in quibus collectas celebrabant. Atque id facere consueverant in celebrioribus quibusque festivitatibus, et primo ac septimo cujusque hebdomadis die. Tandem vero cantica quoque adjecerunt, quæ ad rixam et contentionem spectarent. Ubinam sunt qui tres dicunt esse unicam potentiam? et alia ejusmodi hymnis suis intermiscentes. Joannes itaque, veritus ne quis ex ecclesia sua per hæc in fraudem induceretur, plebem quæ sub ipso erat, ut similiter psalleret incitavit.

τῶν ὑπ' αὐτὸν[a] ἐκκλησιαζόντων, ἐπὶ τὸν ἴσον τρόπον τῆς ψαλμῳδίας τὸν αὐτοῦ λαὸν προτρέπει. Ἐν ὀλίγῳ δὲ ἐπισημότεροι γενόμενοι, τοὺς ἀπὸ τῆς ἐναντίας αἱ-
4 ρέσεως ὑπερέβαλλον τῷ πλήθει καὶ τῇ προόδῳ[b]. Καὶ γὰρ δὴ καὶ σταυρῶν ἀργυρᾶ σημεῖα ὑπὸ κηροῖς ἡμμένοις προηγοῦντο αὐτῶν· καὶ εὐνοῦχος τῆς βασιλέως γαμετῆς ἐπὶ τοῦτο τέτακτο, τὴν περὶ ταῦτα δαπάνην καὶ τοὺς ὕμνους παρασκευάζων. Ἐντεῦθεν δὲ ἢ ζηλοτυπήσαντες οἱ ἀπὸ τῆς Ἀρείου αἱρέσεως[c], ἢ ἀμυνόμενοι τοῖς ἀπὸ τῆς καθόλου ἐκκλησίας, εἰς μάχην
5 κατέστησαν. Καὶ κτείνονταί τινες ἑκατέρωθεν. Ὁ δὲ Βρίσων, τοῦτο γὰρ ἦν[d] ὄνομα τῷ βασιλικῷ εὐνούχῳ, 337
λίθῳ κατὰ τοῦ μετώπου βάλλεται. Κινηθεὶς δὲ πρὸς ὀργὴν ὁ βασιλεὺς, ἔπαυσε τῶν ἀπὸ τῆς Ἀρείου αἱρέσεως τὰς τοιαύτας συνόδους. Οἱ δὲ ἀπὸ τῆς καθολικῆς, ἐξ αἰτίας τοιᾶσδε τὸν εἰρημένον τρόπον ὑμνεῖν
6 ἀρξάμενοι, καὶ εἰσέτι νῦν οὕτω διέμειναν. Ἰωάννης[e] δὲ ἐκ τούτων, καὶ τῶν[f] ἐπ' ἐκκλησίας λόγων, πρὸς

[a] Ita C. αὐτῷ Niceph. αὐτὸν ceteri.

[b] Ita B. Steph. Genev. Niceph. pro προόδῳ habent παρασκευῇ Christ. Vales. καὶ τῇ παρασκευῇ add. Scal. post προόδῳ.

[c] Ἀρείου ἐκκλησίας C.

[d] Ita B. ἦν om. ceteri.

[e] Scribendum est proculdubio Ἰωάννῃ δέ: qua emendatione nihil certius: statimque emendandum est τῆς κατ' αὐτῶν παρρησίας, ut legit interpres. VALES.

[f] ἐκ τῶν C.

Qui brevi tempore illustriores facti, Arianos et multitudine et apparatus splendore longe superarunt. Nam et crucium argentea signa, præcedentibus cereis, eos anteibant: et eunuchus imperatricis huic rei præpositus erat, qui idoneum ad hæc sumptum et hymnos ad canendum præpararet. Hinc Ariani seu invidia moti, seu vindictæ cupiditate, catholicos pugna adorti sunt. Ac nonnulli quidem ex utraque parte ceciderunt. Briso vero, id enim nomen erat imperatricis cubiculario, saxo in fronte percussus est. Qua re imperator commotus, hujusmodi Arianorum conventus deinceps inhibuit. Catholici vero, cum ex hujusmodi causa hymnos eo quo diximus modo canere cœpissent, in hunc usque diem ita perseverarunt. Ex his rebus, et ex ecclesiasticis concionibus, populi quidem benevolentia erga Joannem in dies augebatur. Poten-

μὲν τὸν δῆμον ἐπεδίδου[g] τὸ φίλτρον· μῖσος δὲ πρὸς τοὺς δυναμένους καὶ τοὺς κληρικοὺς ἐκ τῆς κατ' αὐτῶν[h] παρρησίας. Τοὺς μὲν γὰρ ἀδικοῦντας ὁρῶν, ἤλεγχε· τοὺς δὲ πλούτῳ, καὶ ἀσεβείᾳ, καὶ ἡδοναῖς ἀσέμνοις διεφθαρμένους, ἀνῆγε πρὸς ἀρετήν.

ΚΕΦ. Θ'.

Περὶ Σεραπίωνος τοῦ ἀρχιδιακόνου, καὶ τῆς ἁγίας Ὀλυμπιάδος· καὶ ὡς τινὲς ὑβριστικῶς τῶν λογάδων κατὰ τοῦ Ἰωάννου ἐφέροντο, σκαιὸν καὶ θυμώδη ἀποκαλοῦντες.

1 Ηὔξησε δὲ αὐτῷ τὴν πρὸς τοὺς κληρικοὺς ἀπέχθειαν Σεραπίων, ὃν ἀρχιδιάκονον αὐτοῦ κατέστησεν· ἀνὴρ Αἰγύπτιος, ταχὺς εἰς ὀργὴν, εἰς ὕβριν ἕτοιμος· οὐχ ἥκιστα δὲ καὶ αἱ πρὸς Ὀλυμπιάδα συμβουλαί. Ταύτην γὰρ ἐκ γένους ἐπισημοτάτην οὖσαν, καίπερ νέαν χήραν γενομένην, εἰς ἄγαν δὲ φιλοσοφοῦσαν κατὰ τὸν τῆς ἐκκλησίας θεσμὸν, διάκονον
2 ἐχειροτόνησε Νεκτάριος. Ἰδὼν δὲ αὐτὴν Ἰωάννης τοῖς αἰτοῦσι τὴν οὐσίαν προϊεμένην, καὶ τὰ μὲν ἄλλα

[g] ἀπεδίδου C. quod bonum est post prævium Ἰωάννης.
[h] Ita C. αὐτὸν ceteri.

tium autem hominum et clericorum odium in eum gliscebat, ex loquendi libertate qua adversus eos utebatur. Hos enim ille quoties injuste agentes viderat, reprehendebat. Illos vero opibus, et impietate, et fœdis voluptatibus corruptos, ad virtutem revocabat.

CAPUT IX.

De Serapione archidiacono, et de sancta Olympiade: et quomodo quidam egregii viri Joannem contumeliose insectati sint, sævum et violentum appellantes.

Odium porro clericorum adversus illum auxit Serapion, quem ipse Archidiaconum constituerat: homo Ægyptius, promptus ad iracundiam ad contumeliam paratus. Accesserunt quoque exhortationes ab eo factæ ad Olympiadem. Hanc enim, cum nobilissimo genere orta esset, quamvis juvenili ætate viduam, tamen quia juxta leges ecclesiasticas egregie philosophabatur, Nectarius diaconissam ordinaverat. Joannes vero cum eam facultates suas

ὑπερορῶσαν, μόνα δὲ τὰ θεῖα σπουδάζουσαν, Ἐπαινῶ 25
σου, ἔφη, τὴν προαίρεσιν· ἀλλ' οἰκονομικὸν εἶναι δεῖ 338
τὸν κατὰ Θεὸν τῆς ἄκρας ἀρετῆς ἐφιέμενον· σὺ δὲ,
πλουτοῦσι πλοῦτον ἐπεισάγουσα, οὐχ' ἧττον ἢ εἰς
3 θάλασσαν ἐκχέεις τὰ σά. Ἢ οὐκ ἐπίστασαι, ὅτι
ἑκοῦσα τοῖς δεομένοις διὰ Θεὸν τὴν οὐσίαν ἀνέθηκας·
καὶ ὡς ἐπὶ χρήμασι τῆς σῆς δεσποτείας ἐξελθοῦσι
διοικεῖν ἐτάχθης, καὶ λόγοις ἔνοχος ἐγένου; ἢν οὖν
ἐμοὶ πείθῃ, πρὸς τὴν χρείαν τῶν αἰτούντων τοῦ λοι-
ποῦ[i] μετρήσεις τὴν δόσιν· οὕτω γὰρ πλείους τε εὐερ-
γετήσεις, καὶ ἐλέους καὶ σπουδαιοτάτης κηδεμονίας
4 ἀμοιβῶν τεύξῃ πρὸς Θεοῦ. Γέγονε δέ τις αὐτῷ δια-
φορὰ καὶ πρὸς πολλοὺς τῶν μοναχῶν, καὶ μάλιστα
τὸν Ἰσαάκιον. Ἠρεμοῦντας μὲν γὰρ ἐν τοῖς αὐτῶν
μοναστηρίοις τοὺς ὧδε φιλοσοφοῦντας εἰς ἄγαν ἐπῄ-
νει τε, καὶ[k] ὅπως μὴ ἀδικοῖντο, καὶ τὰ ἐπιτήδεια

[i] Emendavi ex cod. Fuk. τοῦ λοιποῦ. VALESIUS. B. mutilus est et lacunam habet post τοῦ: τοῦ λαοῦ Steph. Genev. τοῦ λοιποῦ habet Nicephorus, verum alio loco.

[k] καὶ εἰώθει ante καὶ, linea induct. B.

petentibus erogare cerneret, et reliqua quidem insuper habere: omnem autem curam divinis rebus impendere: Equidem, inquit, studium tuum laudo. Verum qui perfectæ secundum Deum virtutis fastigium consequi desiderat, eum sua recte dispensare oportet. Tu vero dum opulentis opes superadjicis, idem facis, ac si tua in mare effunderes. An ignoras, te tua sponte facultates tuas indigentibus propter Deum dedicasse: et tanquam in bonis quæ non sunt amplius dominii tui, dispensatricem te appositam, et rationibus reddendis obnoxiam esse? Quod si me audis, pro necessitate petentium, largitionem tuam deinceps moderaberis. Sic enim fiet, ut plures beneficiis a te afficiantur, et tu misericordiæ ac diligentissimæ benignitatis a Deo mercedem accipias. Fuit etiam illi simultas quædam ac dissensio cum monachis nonnullis, ac præcipue cum Isaacio. Hujus enim philosophiæ sectatores qui in monasteriis suis quiete degerent, magnopere laudabat: utque a nemine afficerentur injuria, et necessaria cuncta haberent, sollicite procurabat. Eos vero qui foras egrederentur, ac per vicos urbis

ἔχοιεν, σφόδρα ἐπεμελεῖτο· ἐξιόντας δὲ θύραζε καὶ
κατὰ τὴν πόλιν φαινομένους, ὡς τὴν φιλοσοφίαν
5 ἐνυβρίζοντας, ἐλοιδόρει καὶ ἐπέστρεφεν. Ἐκ τοιού-
των δὴ προφάσεων ἀπηχθάνοντο πρὸς αὐτὸν κλη-
ρικοὶ καὶ πολλοὶ τῶν μοναχῶν, καὶ χαλεπὸν καὶ ὀρ-
γίλον, σκαιόν τε καὶ ὑπερήφανον ἀπεκάλουν. Ἐπε-
χείρουν δὲ[1] διαβάλλειν καὶ πρὸς τὸν δῆμον περὶ τὸν
βίον, καὶ τοῦτον πείθειν[m] ὡς ἀληθῆ λέγοιεν, ὅτι
μηδενὶ συνήσθιεν, οὔτε ἐπὶ ἑστίασιν καλούμενος ὑπή-
6 κουε. Τούτου δὲ πρόφασιν ἑτέραν λέγειν οὐκ ἔχω,
πλὴν ὅτι ἀψευδής τις οἶμαι πυθανομένῳ περὶ τούτου
ἔφη, ὡς ὑπὸ ἀσκήσεως τὴν κεφαλὴν καὶ τὸ στόμα
τῆς γαστρὸς κακῶς διατεθεὶς, παρῃτεῖτο τὰς ἐν τοῖς
ἀρίστοις συνουσίας. Καὶ οἱ μὲν ἐντεῦθεν μάλιστα
τὰς μεγίστας ὕφαινον κατ' αὐτοῦ διαβολάς.

[1] Ita B. et Steph. δὲ καὶ περὶ τὸν βίον διαβ. πρὸς τ. δ. καὶ τοῦτον Vales. [καὶ περὶ τὸν βίον inserunt ante διαβάλλειν Christoph. et Scalig. nec tamen quidquam mutant post διαβάλλειν.]

[m] Malim scribere καὶ τούτῳ πείθειν, quam lectionem in versione mea secutus sum. VALESIUS.

conspicerentur; tanquam qui professionem suam dedecore afficerent, carpebat atque objurgabat. Hujusmodi ex causis, clerici et monachi complures Joanni infensi erant, et morosum atque iracundum, sævumque ac superbum eum appellabant. Tentarunt etiam ejus vitam criminari apud populum: eaque potissimum ratione fidem dictis suis adstruere, quod ille cum nemine cibum sumeret, nec ad convivium vocatus accederet. Hujus autem rei causam nullam aliam afferre possum, præter eam quam quidam vir, ut opinor, minime mendax interroganti mihi retulit: eo quod scilicet ob assiduam in virtutis studio contentionem, capitis et stomachi ægritudine laborans, prandiorum cœtus ac frequentiam detrectaret. Et isti quidem hinc potissimum gravissimas adversus eum calumnias texebant.

ΚΕΦ. Ι΄.

Περὶ Σευηριανοῦ τοῦ Γαβάλων, καὶ Ἀντιόχου τοῦ Πτολεμαΐδος· καὶ ὅσα μεταξὺ Σεραπίωνος καὶ Σευηριανοῦ γέγονε. Καὶ ὡς διὰ τῆς βασιλίδος τὰ μεταξὺ αὐτῶν διελύθησαν.

1 Ἐπεγένετο δέ τις αὐτῷ πρόφασις[n] καὶ πρὸς τὴν βασιλέως γαμετὴν, διὰ Σευηριανὸν τὸν ἐκ Γαβάλων τῆς Συρίας ἐπίσκοπον. Οὗτός τε γὰρ καὶ Ἀντίοχος ὁ Πτολεμαΐδος, Φοίνισσα δὲ αὕτη πόλις[o], κατὰ ταυτὸν ἄμφω ἐγενέσθην, ἐλλογίμω τε καὶ ἐπὶ ἐκκλησίας 339 ἱκανὼ διδάσκειν· ἀλλ' ὁ μὲν εὐκόλως καὶ μάλα εὐήχως ἔλεγεν, ὡς καὶ Χρυσόστομος πρός τινων ὀνομάζεσθαι· ὁ δὲ Σευηριανὸς τὴν Σύρων δασύτητα, καίπερ τοῖς νοήμασι καὶ ταῖς μαρτυρίαις τῶν γραφῶν ἀμείνων εἶναι δοκῶν, ἐπὶ τῆς γλώττης ἔφερεν. 2 Ἐλθὼν δὲ πρότερος Ἀντίοχος εἰς Κωνσταντινούπολιν, ἐπὶ τοῖς λόγοις ἐπῃνέθη· καὶ χρήματα ἀθροίσας, εἰς τὴν αὐτοῦ πόλιν ἐπανῆλθε. Κατὰ ζῆλον δὲ τούτου καὶ Σευηριανὸς ὕστερον ἀφικόμενος, εὔνου τυχὼν Ἰωάν-

[n] *πρόφασις μίσους* Christoph. B. Steph. Niceph. Scal. Vales. quod non agnoscit

[o] *δὲ πόλις ἥδε* tacite Vales.

CAPUT X.

De Severiano Gabalitano, et Antiocho Ptolemaidis episcopo: et de his quæ inter Severianum ac Serapionem gesta sunt: et quomodo imperatrix eos inter se reconciliaverit.

Accessit autem illi alia quoque simultatis causa adversus imperatricem, auctore Severiano Gabalorum Syriæ episcopo. Hic enim, et Antiochus episcopus Ptolemaïdis, quæ urbs est in Phœnice sita, ambo eruditi, et ad populum in ecclesia docendum idonei, eodem tempore existiterunt. Verum Antiochus quidem expedite admodum et sonora voce loquebatur: ita ut a nonnullis diceretur Chrysostomus. Severianus autem asperitatem Syrorum in loquendo retinebat, licet alioqui in sententiis, et in locis sacræ scripturæ exponendis præstantior haberetur. Cæterum Antiochus cum prior venisset Constantinopolim, eloquentiæ causa magnam laudem retulerat: collectisque abunde pecuniis, ad civitatem suam redierat. Cujus exemplum secutus Severianus, cum

*νου, πολλάκις ἐπὶ τῆς ἐκκλησίας λέγων ἐθαυμάζετο·
καὶ ἐν τιμῇ ἦν, καὶ πολλοῖς τῶν ἐν[p] δυνάμει καὶ αὐτῷ
3 βασιλεῖ καὶ τῇ βασιλίδι γνώριμος ἐγένετο. Ἡνίκα
δὲ Ἰωάννης εἰς τὴν Ἀσίαν ἀπεδήμησε, τὴν ἐκκλησίαν
αὐτῷ παρέθετο· κολακείαις γὰρ αὐτὸν περιέποντα,
φίλον εἶναι σπουδαῖον ἐνόμισεν. Ὁ δὲ πλέον ἐπεμε-
λεῖτο τοῖς ἀκροαταῖς χαρίζεσθαι, καὶ τὸν λαὸν τοῖς
λόγοις ἥδειν[q]. Ἰωάννης δὲ ταῦτα[r] πυθόμενος[s], ἐζηλο-
τύπησε μὲν, ὥς φασι, Σαραπίωνος αὐτὸν ἐπὶ τούτοις[t]
4 παρακινοῦντος. Ἐπεὶ δὲ ἐκ τῆς Ἀσίας ἐπανῆλθεν,
ἔτυχέ που παριὼν Σευηριανός· ἰδὼν δὲ αὐτὸν Σαρα-
πίων οὐκ ἐξανέστη, ἐπίτηδες τοῖς παριοῦσιν[u] ἐν-
δεικνύμενος, ὡς ὑπερφρονεῖ τὸν ἄνδρα. Ὁ δὲ πρὸς
τοῦτο χαλεπήνας ἀνεβόησεν· Εἰ Σαραπίων ἀποθάνοι
5 κληρικὸς[x], Χριστὸς οὐκ ἐνηνθρώπησεν. Ἐπὶ τούτοις*

p Ita C. *πολὺς ἐν* ceteri.

q Pro verbo *ἥδειν* Nicephorus tria posuit hoc modo: *καὶ τοῖς λόγοις ἐπάγειν, καὶ πρὸς ἑαυτὸν πᾶσι τρόποις μεθέλκειν καὶ ἰδιοῦσθαι.* VALESIUS. *ἡδύνειν* C.

r *τάδε* B.

s *πειθόμενος* Steph. Genev. corr. Vales.

t Scribendum videtur *ἐπὶ τοῦτο*, quemadmodum legit interpres. Si quis tamen vulgatam lectionem velit defendere, ut *ἐπὶ τούτοις* idem sit quod *πρὸς τούτοις*, id est, *ad hæc, præterea;* equidem non valde repugnabo. VALES.

u Rectius apud Nicephorum scribitur *τοῖς παροῦσι*. VALES.

x Ita, et in marg. *γρ. χριστιανὸς*, B. *χριστιανὸς* ceteri. Conf. *εἰ Σαραπίων, ἔφη, κληρικὸς μὴ ἀποθάνοι*, infra. Conf. adnot.

post illum venisset, et Joannem forte benevolum nactus esset, sæpe in ecclesia concionatus, magnam sui admirationem excitavit: multumque honoris et auctoritatis adeptus est: ipsique adeo imperatori, et Augustæ familiaris exstitit. Et cum Joannes in Asiam proficisceretur, ecclesiam suam ei commendavit. Illum enim amicum et studiosum sui existimabat, eo quod assentationibus ipsum palparet. Verum ille auditoribus gratificari, et populum demulcere impensius studebat. Quæ cum audisset Joannes, æmulatione succensus est: Serapione, ut aiunt, eum ad id incitante hujusmodi ex causa. Cum Joannes reversus esset ex Asia, forte accidit ut Severianus alicubi præteriret: Serapio vero eum conspicatus, minime assurgeret, de industria ostendens iis qui aderant, sese illum contemnere. Ea re commotus Severianus

δὲ κατηγορηθεὶς παρὰ Σαραπίωνος, ἐξηλάθη τῆς πόλεως παρὰ Ἰωάννου[y], ὡς ὑβριστὴς καὶ βλάσφημος εἰς Θεόν. Οἱ μὲν γὰρ ἐπὶ μαρτυρίᾳ τούτων παραχθέντες ἦσαν· οἱ δὲ, τῶν Σαραπίωνος ἐπιτηδείων, ἀποκρυψάμενοι τὰ εἰρημένα πάντα, τουτὶ μόνον εἰρηκέναι ἐμαρτύρησαν, ὡς ἄρα Χριστὸς οὐκ ἐνηνθρώπησεν. Ἰωάννης δὲ καὶ τάδε, καὶ τ' ἄλλα ἐπῃτιᾶτο. Οὐδὲ γὰρ[z] εἰ Σαραπίων, ἔφη, κληρικὸς μὴ ἀποθά-
6 νοι[a], παρὰ τοῦτο Χριστὸς οὐκ ἐνηνθρώπησεν. Ἡ δὲ βασιλέως γαμετὴ ἅμα τε ταῦτα ἐγεγόνει, διὰ τῶν Σευηριανοῦ σπουδαστῶν ἔγνω· καὶ εὐθὺς αὐτὸν ἐκ Χαλκηδόνος μετεκαλέσατο. Ἰωάννης δὲ καίπερ πολλῶν ἀντιβολούντων, παρῃτεῖτο τὴν πρὸς αὐτὸν ὁμιλίαν· εἰσότε δὴ ἐν τῇ ἐπωνύμῳ τῶν ἀποστόλων ἐκκλησίᾳ τοῖς αὐτοῦ γόνασιν ἡ βασιλὶς ἐπιθεῖσα Θεοδόσιον τὸν υἱὸν, λιπαροῦσά τε καὶ πολλάκις ὁρκοῦσα, μόλις αὐτὸν εἰς φιλίαν τῷ Σευηριανῷ συνῆψε. Καὶ τὰ μὲν ὧδε ἔγνων.

[y] ὑπὸ Ἰωάννου C. quod melius est.

[z] Ita C. οὐ γὰρ ceteri.

[a] ἀποθάνῃ B.

exclamavit protinus his verbis: Si Serapio moriatur Christianus, Christus nunquam homo factus est. Ob hæc a Serapione accusatus Severianus, urbe expulsus est a Joanne, tanquam contumeliosus, et impie locutus in Deum. Harum enim rerum testes quidem inducti sunt. Quidam vero ex Serapionis familiaribus, integrum dictum supprimentes, id solum a Severiano dictum esse affirmarunt, quod Christus homo factus non esset. Joannes porro utrumque Severiano objecit. Neque enim, aiebat, si Serapio non moriatur clericus, ideo Christus homo factus non erit. Imperatrix vero simul atque hæc gesta fuerant, ex Severiani fautoribus rescivit. Statimque eum Chalcedone revocavit. Sed Joannes, quamvis multis eum obsecrantibus, colloquium ejus detrectavit; donec Augusta in ecclesia apostolorum imposito Joannis genibus Theodosio filio, illum identidem obsecrans atque adjurans, ægre in gratiam reduxit cum Severiano. Et hæc quidem ita gesta esse accepi.

ΚΕΦ. ΙΑ΄. 340

Περὶ τῆς κατ' Αἴγυπτον ζητήσεως, εἰ ἀνθρωπόμορφον τὸ θεῖον· καὶ περὶ Θεοφίλου τοῦ Ἀλεξανδρείας καὶ τῶν Ὠριγένους βίβλων.

1 Ἐν τούτῳ δὲ, οὐ πολλῷ πρότερον ἀρξαμένη ζή-
τησις κατὰ τὴν Αἴγυπτον κεκίνητο, εἰ τὸν Θεὸν ἀν-
θρωπόμορφον δοξάζειν δεῖ. Ταύτης δὲ τῆς γνώμης
οἱ πλείους τῶν τῇδε μοναχῶν ἦσαν, ὑπὸ ἁπλότητος
ἀβασανίστως τοὺς ἱεροὺς ἐκλαμβάνοντες λόγους, καὶ
ὀφθαλμοὺς Θεοῦ καὶ πρόσωπον καὶ χεῖρας, καὶ ὅσα
2 τοιαῦτα προσεθισθέντες ἀκούειν. Οἱ δὲ τὴν ἐν τοῖς
ὀνόμασι κεκρυμμένην διάνοιαν σκοποῦντες, ἐναντίως
εἶχον· καὶ τοὺς τάδε λέγοντας, ἄντικρυς βλασφημεῖν
εἰς τὸ θεῖον ἔλεγον. Καὶ Θεόφιλος δὲ ταύτης ἔχεσθαι
τῆς δόξης ἐν ἐκκλησίᾳ παρεκελεύσατο, καὶ ἐν ἐπι-
στολῇ ἣν ἐξ ἔθους περὶ τῆς Πασχαλίας ἑορτῆς
ἔγραφε, καὶ ἀσώματον χρῆναι νοεῖν τὸν Θεὸν εἰση-
3 γεῖτο, καὶ ἀνθρώπου[b] σχήματος ἀλλότριον. Ἐπεὶ δὲ
τοῦτο δῆλον ἐγένετο τοῖς Αἰγυπτίων μοναχοῖς, ἧκον

[b] ἀνθρωπείου C.

CAPUT XI.

De quæstione in Ægypto exorta, utrum Deus humana forma præditus sit. Et de Theophilo Alexandriæ episcopo: deque libris Origenis.

Per idem tempus quæstio, non multo ante exorta, in Ægypti partibus agitata est, utrum Deum humana forma præditum credere oporteat. Hujus autem opinionis erant plerique ex monachis regionis illius, qui præ imperitia, verbi sacræ scripturæ simpliciter et incaute accipiebant, et oculos, vultum, ac manus Dei, aliaque ejusmodi audire consueverant. Alii vero sensum in verbis reconditum spectantes, contrarium sentiebant: et eos qui ita dicerent, impie prorsus in Deum loqui asseverabant. Et hanc quidem sententiam Theophilus amplectendam esse publice in ecclesia docuit: et in epistola quam ex more scripsit de festo Paschali, Deum incorporeum intelligi oportere affirmavit, et ab humana figura alienum. Quod cum Ægyptiorum monachi didicissent,

εἰς Ἀλεξάνδρειαν· καὶ εἰς ἓν ἀθροισθέντες ἐστασία-
ζον, καὶ ὡς ἀσεβοῦντα τὸν Θεόφιλον ἀνελεῖν ἐβου-
λεύοντο. Ὁ δὲ παραυτίκα φανεὶς ἔτι στασιάζουσιν,
Οὕτως ὑμᾶς, ἔφη, εἶδον ὡς Θεοῦ πρόσωπον. Τὸ δὲ
4 ῥηθὲν ἱκανῶς ἐφύλαξε[c] τοὺς ἄνδρας. Καὶ τῆς ὀργῆς
καθυφέντες, Οὐκοῦν, φασὶν, εἰ τάδε ἀληθῶς δοξάζεις,
καὶ τὰς Ὠριγένους ἀποκήρυξον βίβλους, ὡς τῶν
ἀσκουμένων ταύτας οὕτω φρονεῖν εἰσηγουμένων.
Ἀλλ' ἐμοὶ, ἔφη, τοῦτο πάλαι δεδογμένον ἦν, καὶ
ποιήσω ὡς ὑμῖν δοκεῖ· μέμφομαι γὰρ οὐχ ἧτ-
5 τον κἀγὼ τοῖς τὰ Ὠριγένους δοξάζουσι. Καὶ ὁ
μὲν, οὕτω βουκολήσας τοὺς ἀδελφοὺς[d] διέλυσε τὴν
στάσιν.

[c] Forte scribendum est ἐμάλαξε. Nam vulgata scriptura meo quidem judicio tolerari non potest. Quis enim verbum φυλάττειν eo sensu usurpatum unquam legit, pro *compescere* seu *cohibere?* VALESIUS. Fortasse melius legi potest ἐφλύαξε, hoc est, *nugatus est*, vel *nugando illusit*. De verbo φλυάσσω, quod simile est illi φλυαρέω, vid. Lexica. φλυάσσει, φλυαρεῖ, φλύει, Hesych.

[d] Ita B. Steph. Genev. μοναχοὺς Christ. Scal. et tacite Valesius. τὸ στῖφος τῶν μοναχῶν Niceph.

Alexandriam venerunt. Et in unum congregati tumultuari cœperunt, ac Theophilum velut impium e medio tollere volebant. Verum ille ad eos adhuc tumultuantes progressus: Perinde, inquit, vos aspexi ac vultum Dei. Hoc dictum hominus tantisper cohibuit. Proinde illi sedato furore; Si, inquiunt, ex animo ita credis, Origenis libros condemna; cum illi lectores suos in eam sententiam inducant. Tum Theophilus: Istud, inquit, jampridem constitueram, faciamque sicut vobis videtur. Nam et ipse æque ac vos, iis succenseo qui Origenis opiniones sequuntur. Hac ratione Theophilus, delusis monachis, seditionem dissolvit.

ΚΕΦ. ΙΒ'.

Περὶ τῶν τεσσάρων ἀδελφῶν ἀσκητῶν, τῶν μακρῶν λεγομένων, οἷς δι' ἔχθραν ἐγένετο ὁ Θεόφιλος.

1 Ἴσως δ' ἂν καὶ ἥδε ἡ ζήτησις παντελῶς τότε διελύθη, εἰ μὴ πεπαυμένην ἤδη δι' ἔχθραν ἰδίαν ἐκίνησε Θεόφιλος, ἐπιβουλεύων Ἀμμωνίῳ καὶ Διοσκόρῳ, Εὐσεβίῳ τε καὶ Εὐθυμίῳ, τοῖς ἐπίκλην μακροῖς· οὓς ἀδελφοὺς ὄντας, εὐδοκίμους γενέσθαι παρὰ τοῖς ἐν
2 Σκήτει φιλοσοφοῦσιν ἐκ τῶν πρόσθεν ἔγνωμεν. Οὗτοι γὰρ ἦσαν αὐτῷ τὰ μάλιστα τῶν ἐν Αἰγύπτῳ μοναχῶν κεχαρισμένοι, καὶ τὰ πολλὰ συνομίλους καὶ συνοίκους αὐτοὺς ἐποιεῖτο· τὸν δὲ Διόσκορον καὶ τῆς Ἑρμουπόλεως ἐπίσκοπον κατέστησεν. Εἰς μῖσος δὲ αὐτοῖς κατέστη ἐκ τῆς πρὸς Ἰσίδωρον ἔχθρας, ὃν μετὰ Νεκτάριον ἐν Κωνσταντινουπόλει χειροτονεῖν
3 ἐσπούδαζεν. Οἱ μὲν γάρ φασιν, ὡς γυνή τις ἐκ τῆς Μανιχαίων αἱρέσεως μετέθετο πρὸς τὴν καθόλου ἐκκλησίαν· ὡς ἀπερισκέπτως δὲ ταύτης κοινωνησάσης μυστηρίων πρὶν ἀπαγορεῦσαι τὴν προτέραν αἵ-

CAPUT XII.

De quatuor fratribus monachis, qui Longi dicebantur, quibus infensus fuit Theophilus.

Ac fortassis penitus extincta fuisset hæc quæstio, nisi illam jam sopitam Theophilus ob privatas inimicitias denuo excitasset, dum insidias struit Ammonio, Dioscoro, Eusebio atque Euthymio, qui Longi vulgo dicebantur: quos quidem, cum fratres essent, celebres exstitisse inter eos qui apud Scetim philosophantur, ex superioribus cognovimus. Hi enim præ cæteris Ægypti monachis, Theophilo cari erant: eosque in contubernio et familiari congressu ut plurimum habebat. Denique Dioscorum etiam Hermopolis episcopum constituit. Odium vero adversus eos concepit, ex inimicitiis ab ipso susceptis cum Isidoro, quem mortuo Nectario, ad episcopatum urbis Constantinopolitanæ promovere studuerat. Sunt enim qui dicant, mulierem quandam ex Manichæorum

ρεσιν, ἐπῃτιᾶτο Θεόφιλος τὸν τότε ἀρχιπρεσβύτερον·
4 ἀπηχθάνετο γὰρ αὐτῷ καὶ ἄλλως. Ὁ δὲ Πέτρος, τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ, καὶ κατὰ τὸν νόμον τῆς ἐκκλησίας, καὶ γνώμῃ Θεοφίλου κεκοινωνηκέναι τὸ γύναιον ἰσχυρίζετο· καὶ μάρτυρα τούτων, Ἰσίδωρον ἔλεγεν. Ὁ δὲ ἔτυχε μὲν τότε ὡς Ῥώμην ἀποσταλείς· ἐπανελθὼν δὲ ἀληθῆ λέγειν τὸν Πέτρον ἐμαρτύρησεν. Ὡς συκοφαντηθεὶς δὲ Θεόφιλος χαλεπήνας, ἄμφω τῆς ἐκκλησίας ἐξήλασε. Καὶ οἱ μὲν τάδε λέγουσι. Τῶν γε μὴν συγγενομένων τούτοις τότε τοῖς μοναχοῖς ἀνδρὸς οἵου πιστεύεσθαι ἐπυθόμην, διττὴν αἰτίαν Θεοφίλῳ γενέσθαι τῆς πρὸς Ἰσίδωρον δυσμενείας· κοινὴν μὲν αὐτῷ τε καὶ Πέτρῳ[e] τῷ πρεσβυτέρῳ, καθότι μαρτυρῆσαι παρῃτήσαντο[f], ὡς τῆς Θεοφίλου ἀδελφῆς πρός του[g] κληρονόμου γραφείσης· ἰδίαν δέ, καθὸ χρημάτων αὐτῷ πολλῶν[h]

[e] Πέτρῳ om. B. Steph. inser. Christoph. Scal. Curt. Vales. Vid. adnot.

[f] παρεκτήσαντο J. Christ. Scal.

[g] Ita legendum esse monuit Vales. πρὸς τοῦ codd. et editt.

[h] πολλῶν om. B. Steph. inser. Christoph. Scal. Vales. fortasse e Niceph.

secta ad ecclesiam catholicam transiisse. Theophilns vero, perinde quasi ea mulier temere atque inconsulte sacra mysteria participasset, antequam priori hæresi renuntiavisset, eum qui tunc erat archipresbyter, objurgavit. Nam et ei infensus erat aliunde. At Petrus, id enim nomen erat archiepresbytero, mulierem ex præscripto legum ecclesiæ, et ex consensu ipsius Theophili, communicasse affirmabat: ejusque rei Isidorum testem esse dicebat. Hic vero tum quidem aberat, Romam missus a Theophilo. Sed postea reversus, Petrum vera dixisse testatus est. Tum vero indignatus Theophilus, quasi calumniam passus esset, utrumque ecclesia ejecit. Atque hæc quidem dicuntur a quibusdam. Ego vero ex quodam viro fide digno, qui cum supradictis monachis tunc versatus fuerat, audivi duas fuisse causas Theophilo odii ac simultatis adversus Isidorum. Alteram Isidoro communem cum Petro presbytero; eo quod ambo testificari recusassent, sororem Theophili a nescio quo heredem scriptam fuisse. Privatam alteram, quod Isidorus ex pecuniis, quæ ad ipsum tanquam ad cura-

προσφερομένων ὡς ἐπιτρόπῳ πτωχῶν, ἐπιχειροῦντι
Θεοφίλῳ τούτων λαμβάνειν, ὡς δεδαπανημένῳ εἰς
οἰκοδομὰς ἐκκλησιῶν, οὐκ ἐνεδίδου· ἄμεινον εἶναι
λέγων τὰ σώματα τῶν καμνόντων, ἃ ναοὺς Θεοῦ κυ-
ριώτερον νοεῖν ἐστὶ, δι' οὓς καὶ τὰ χρήματα παρεί-
χετο, ταῖς προσηκούσαις θεραπείαις ἀνανεοῦν, ἢ τοί-
7 χους[i] οἰκοδομεῖν. Ἀλλ' εἴτε ἐντεῦθεν, εἴτε ἐξ αἰτίας
ἑτέρας, ἀφαιρεθεὶς παρὰ Θεοφίλου τῆς κοινωνίας Ἰσί-
δωρος, ἦλθεν εἰς Σκῆτιν, ὡς πρὸς ἑταίρους τοὺς ἐν-
θάδε μοναχούς. Παραλαβὼν δέ τινας Ἀμμώνιος
παρεγένετο πρὸς Θεόφιλον, καὶ τὴν κοινωνίαν ἀπο-
8 δοῦναι Ἰσιδώρῳ ἐδεῖτο. Ὁ δὲ, τότε μὲν προθύμως
ὑποσχέσθαι λέγεται. Χρόνου δὲ διαγενομένου, ὡς
οὐδὲν αὐτοῖς πλέον ἠνύετο, δῆλος δὲ ἐγεγόνει Θεόφι-
λος παρακουόμενος, σπουδαιότερόν πως αὐτῷ προσ-
ελθόντες, ἀπῄτουν τὴν ὑπόσχεσιν πληροῦν. Ὁ δὲ,
τινὰ τῶν μοναχῶν ἐν δημοσίᾳ φρουρᾷ ποιεῖ, ὥστε
9 φόβον τοῖς ἄλλοις ἐμβαλεῖν. Ἥμαρτε δὲ τούτου. Ὁ
γὰρ Ἀμμώνιος ἅμα πᾶσι τοῖς σὺν αὐτῷ μοναχοῖς,
δόξαντες τοῖς προεστῶσι τῆς φρουρᾶς εἰς μετάδοσιν

[i] τείχη B.

torem pauperum multæ afferebantur, Theophilo aliquid accipere conanti, utpote aliis jam consumptis in structuras ecclesiarum, concedere noluisset: præstabilius esse dicens, ægrorum corpora convenienti cura reficere atque instaurare, quæ Dei templa potius existimanda sunt, et quorum gratia præbitæ essent pecuniæ, quam parietes exstruere. Verum sive ob hanc, sive ob aliam causam Isidorus a Theophilo communione privatus, ad monachos Scetis, tanquam ad sodales suos, perrexit. Tunc Ammonius, assumptis secum quibusdam, ad Theophilum profectus est. Utque Isidoro communionem restitueret, rogavit. Ille tum quidem id se facturum prompte pollicitus esse dicitur. Elapso autem tempore, cum nihil amplius proficerent, et manifeste patuisset Theophilum nihil aliud quam fallere, ipsum adeuntes, impensius flagitarunt ut promissa præstaret. Verum Theophilus unum ex monachis custodiæ publicæ mancipavit, quo reliquis terrorem injiceret. Sed spes eum fefellit. Ammonius enim et cuncti qui cum illo erant mo-

ἐπιτηδείων τοῖς καθειργμένοις ἐλθεῖν, ἑτοίμως ἔνδον
εἰσεδέχθησαν· εἰσελθόντες[k] δὲ, οὐκέτι ἐξιέναι ἠνεί-
10 χοντο. Μαθὼν δὲ τάδε Θεόφιλος, ἐδήλου πρὸς ἑαυ- 45
τὸν καλῶν τοὺς ἄνδρας. Οἱ δὲ, τὰ μὲν πρῶτα, αὐτὸν
παραγενόμενον σφᾶς ἐξάγειν ἠξίουν· μηδὲ γὰρ εἶναι
δίκαιον δημοσίᾳ ὑβρισμένους, λάθρα τῆς φρουρᾶς
ἀνίεσθαι. Ὕστερον δὲ ἐνδόντες, ὡς αὐτὸν ἦλθον·
παραιτησαμένους[l] δὲ αὐτοὺς, ὡς οὐ περαιτέρω λυπή- 342
11 σων, ἀπέπεμψεν. Καθ' ἑαυτὸν δὲ ἐδάκνετο, καὶ ἠγα-
νάκτει, καὶ κακῶς ποιεῖν ἐπεβούλευεν. Ἀπορῶν δὲ ὅ,
τι δράσειεν αὐτοὺς κακὸν, ἀκτήμονας ὄντας, καὶ πάν-
των πλὴν φιλοσοφίας[m] ὑπερορῶντας, ἔγνω περὶ τὴν
ἡσυχίαν βλάψαι. Καὶ ἐπεὶ ἠπίστατο ἐξ ὧν αὐτῷ
συνόντες διελέγοντο, μεμφομένους τοῖς ἀνθρωπόμορ-
φον τὸν Θεὸν δοξάζουσιν, ὡς τὰ Ὠριγένους φρο-
νοῦντας, συνέκρουσε πρὸς τὸ μοναχικὸν πλῆθος, ἄλ-
12 λως ἔχον δόξης. Ἐκ τούτου δὲ δεινή τις ἔρις ἐν τοῖς

[k] Ita tacite Vales. ἐπελθόντες B. Steph. Genev.

[l] Lego παραιτησάμενος, quemadmodum etiam legit Nicephorus. VALESIUS.

[m] Ita B., et cod. Fuk. probante Valesio. σοφίας editt.

nachi, cum custos carceris eos ad necessaria vinctis subministranda venire existimasset, facile intro admissi sunt. Ingressi vero, exire postea noluerunt. Quo cognito, Theophilus eos ad se accersit. Illi initio quidem poscebant, ut ipse adveniens, illinc ipsos educeret. Neque enim æquum esse, ut publice contumelia affecti, clam ex carcere dimitterentur. Postmodum vero cedentes, se ad illum contulerunt. Ille petita ab eis venia, sic eos dimisit, quasi nulla deinceps molestia illos affecturus. Intra se tamen fremens indignabatur, et malo eos afficere cogitabat. Cumque dubius hæreret, quonam modo nocere posset hominibus qui nihil possidebant, et qui omnia præter philosophiam aspernabantur, quietem illorum turbare statuit. Et quoniam ex sermonibus quos cum illis habuerat dum apud ipsum essent, norat illos, utpote Origenis sectatores, opinionem illorum qui Deum humana forma præditum esse dicebant, reprehendere, commisit eos cum multitudine monachorum qui aliter sentiebant. Hinc vero gravissima contentio inter monachos exorta est. Neque enim compositis ad modestiam

μοναχοῖς ἐκράτει· καὶ τὰς διαλέξεις οὐκ ἐν κόσμῳ πρὸς ἑαυτοὺς ποιούμενοι, πείθειν ἀλλήλους οὐκ ἠξίουν, ἀλλ' εἰς ὕβρεις καθίσταντο. Καὶ οἱ μὲν τοὺς ἀσώματον τὸν Θεὸν ὁριζομένους, Ὠριγενιαστὰς ἀπεκάλουν· οἱ δὲ, Ἀνθρωπομορφιανοὺς, τοὺς ἐναντίως φρονοῦντας.

ΚΕΦ. ΙΓ'.

Ὡς οἱ αὐτοὶ μακροὶ διὰ τὸν ζῆλον Ἰωάννου, αὐτῷ προσχωροῦσι· καὶ ὡς ἐντεῦθεν ἀχθεσθεὶς Θεόφιλος, κατὰ Ἰωάννου ὁπλίζεται.

1 Αἰσθόμενοι δὲ τῆς ἐπιβουλῆς οἱ περὶ Διόσκορον καὶ Ἀμμώνιον, ἀνεχώρησαν εἰς Ἱεροσόλυμα· κἀκεῖθεν εἰς Σκυθόπολιν ἧκον, ἐπιτηδείαν ἡγησάμενοι τὴν ἐνθάδε οἴκησιν διὰ τοὺς πολλοὺς φοίνικας, ὧν τοῖς φύλλοις ἐχρῶντο πρὸς τὰ εἰωθότα τοῖς μοναχοῖς ἔργα.
2 Εἵποντο γὰρ αὐτοῖς ἀμφὶ ἄνδρες ὀγδοήκοντα. Ἐν τούτῳ δὲ Θεόφιλος πέμπει τινὰς εἰς Κωνσταντινούπολιν, ἅμα τε κατ' αὐτῶν διαβολὰς[n] προπαρασκευάσοντας, καὶ εἰ βασιλέως περί του δέοιντο, ἀντιπράξοντας. Μαθόντες δὲ τάδε οἱ ἀμφὶ τὸν Ἀμμώνιον,

[n] διαβολὰς κατ' αὐτῶν B.

disputationibus persuadere sibi invicem conabantur: sed mutuis se conviciis incessebant. Atque hi quidem, eos qui Deum incorporeum asserebant, Origenistas vocabant: illi vero, eos qui contra sentirent, Anthropomorphianos.

CAPUT XIII.

Quomodo iidem monachi ad Joannem confugerint, ob singularem ejus virtutem: et quomodo hac de causa Theophilus adversus Joannem insurrexerit.

Porro Dioscorus et Ammonius ac reliqui, cognitis Theophili insidiis, Hierosolymam se contulerunt: atque inde perrexerunt Scythopolim; commodum sibi ejus loci domicilium fore arbitrati, ob copiam palmarum, quarum foliis ad consueta monachorum opera utebantur. Sequebantur enim illos viri circiter octoginta. Eodem tempore Theophilus quosdam misit Constantinopolim, qui et calumnias adversus illos præstruerent, et si quid illi ab imperatore peterent, ipsi obsisterent. Quæ cum didicisset Ammonius et qui

ἀπέπλευσαν εἰς Κωνσταντινούπολιν· σὺν αὐτοῖς δὲ
3 καὶ Ἰσίδωρος. Κοινῇ τε ἐσπούδαζον παρὰ βασιλεῖ
κριτῇ καὶ Ἰωάννῃ τῷ ἐπισκόπῳ ἐλέγχεσθαι τὰς κατ᾽
αὐτῶν ἐπιβουλάς. Ὤιοντο γὰρ ἐνδίκου παρρησίας
αὐτὸν ἐπιμελούμενον δύνασθαι τὰ δίκαια βοηθεῖν αὐ-
τοῖς. Ὁ δὲ προσελθόντας αὐτῷ τοὺς ἄνδρας φιλο-
φρόνως ἐδέξατο, καὶ ἐν τιμῇ εἶχε, καὶ εὔχεσθαι ἐπὶ
ἐκκλησίας οὐ διεκώλυσε· κοινωνεῖν δὲ μυστηρίων αὐ-
τοῖς οὐχ ἡγήσατο[o], ὡς οὐ θεμιτὸν πρὸ διαγνώσεως 343
4 τοῦτο ποιεῖν. Ἔγραψε δὲ Θεοφίλῳ, κοινωνίαν αὐτοῖς
ἀποδοῦναι[p] ὡς ὀρθῶς περὶ Θεοῦ δοξάζουσιν· εἰ δὲ
δίκῃ δέοι κρίνεσθαι τὰ κατ᾽ αὐτούς, ἀποστέλλειν ὃν
αὐτῷ δοκεῖ δικασόμενον. Ὁ δὲ, οὐδὲν ἀντεδήλωσε·
χρόνου δὲ πολλοῦ διαγενομένου, προϊούσῃ τῇ βασι-
λέως γαμετῇ προσῆλθον οἱ ἀμφὶ Ἀμμώνιον, τὰ κατ᾽
5 αὐτῶν βεβουλευμένα Θεοφίλῳ μεμφόμενοι. Ἡ δὲ,
ἐπιβουλευθέντας αὐτοὺς ᾔσθετο, καὶ τιμῶσα ἔστη·
καὶ προκύψασα τοῦ βασιλικοῦ ὀχήματος, ἐπένευσε

[o] ἡγήσαντο B. Steph. tacite corr. Vales.
[p] αὐτοῖς ἀποδοῦναι αὐτοῖς B.

cum illo erant, Constantinopolim navigarunt, comitante eos Isidoro. Junctique inter se, id perficere studebant, ut coram imperatore judice et Joanne episcopo, insidiæ ipsis comparatæ convincerentur. Etenim arbitrabantur, hunc utpote justæ libertatis studiosum, in iis quæ justa essent posse ipsis opitulari. Joannes vero illos ad se venientes benigne excepit, et in pretio habuit, et in ecclesia orare nequaquam prohibuit. Cum illis tamen haudquaquam communicandum sibi esse existimavit, propterea quod ante causam cognitam id fieri non liceret. Cæterum scripsit Theophilo, ut communionem illis restitueret, quippe qui de Deo recte sentirent: vel si causam eorum in judicio examinandam putaret, mitteret aliquem qui accusatoris partes sustineret. Verum Theophilus nihil rescripsit. Elapso deinde haud modico tempore, cum Augusta in publicum procederet, accedentes ad eam qui cum Ammonio erant, de insidiis quas Theophilus ipsis struxisset conquesti sunt. Illa cum eos insidiis circumventos esse probe sciret, honoris causa substitit. Et extra imperiale vehiculum prospiciens,

τῇ κεφαλῇ· καί, Εὐλογεῖτε, ἔφη, καὶ εὔχεσθε ὑπὲρ
βασιλέως καὶ ἐμοῦ, καὶ τῶν ἡμετέρων παίδων, καὶ τῆς
ἀρχῆς· ἐμοὶ δὲ ἐν τάχει μελήσει συνόδου, καὶ τῆς
6 Θεοφίλου ἀφίξεως. Καὶ ἡ μὲν τάδε ἐσπούδαζε.
Ψευδοῦς δὲ φήμης ἐν Ἀλεξανδρείᾳ κρατούσης, ὡς
ἐκοινώνησεν Ἰωάννης τοῖς περὶ Διόσκορον[q], καὶ προ-
θυμεῖται πάντα βοηθεῖν αὐτοῖς, διενοεῖτο Θεόφιλος,
εἴπου[r] δύναιτο, καὶ αὐτὸν Ἰωάννην τῆς ἐπισκοπῆς
καθελεῖν.

ΚΕΦ. ΙΔʹ.

Περὶ τῆς μοχθηρίας Θεοφίλου· καὶ περὶ τοῦ ἁγίου Ἐπιφανίου, ὡς ἐπεδή-μησε τῇ Κωνσταντίνου, καὶ στασιάσαι τὸ πλῆθος κατὰ Ἰωάννου παρε-σκεύασε.

1 Ταῦτά τε κατὰ νοῦν κρύπτων, καὶ συσκευάζων,
ἔγραφε κατὰ πόλεις τοῖς ἐπισκόποις, τὰ Ὠριγένους
βιβλία κατηγορῶν. Λογισάμενος δὲ μέγιστον αὐτῷ
συνοίσειν εἰ κοινωνὸν προσλάβοιτο τῶν σπουδαζο-
μένων, Ἐπιφάνιον τὸν Σαλαμῖνος[s] τῆς ἐν Κύπρῳ

q ἀμφὶ Διόσκορον C.

r In cod. Fuk. εἴ πῃ, quod Curt. magis placet. VALESIUS.

s Σαλαμίνης Steph. corr. Christ.

capite inclinato annuit: Benedicite, inquiens, et orate pro imperatore, et pro me ac liberis meis, et pro imperio. Ego dabo operam, ut synodus brevi convocetur, et Theophilus huc veniat. Et Augusta quidem hæc fieri procurabat. Alexandriæ vero, cum falsus rumor invaluisset, Joannem cum Dioscoro ac reliquis communicasse, eosque in omnibus adjuvare paratum esse, cogitare cœpit Theophilus, qua ratione Joannem quoque ipsum episcopatu dejicere posset.

CAPUT XIV.

De improbitate Theophili: et de sancto Epiphanio, quomodo Constantinopolim venerit, et plebem adversus Joannem concitaverit.

Verum hæc in intimo pectoris sui recessu occultans ac moliens, scripsit interim ad omnes ubique locorum episcopos literas, quibus libros Origenis reprehendebat. Cumque consideraret magno sibi emolumento fore, si Epiphanium Salaminis in Cypro episco-

ἐπίσκοπον[t], ἄνδρα τῶν κατ' αὐτὸν αἰδοῖ βίου ἐπιση-
μότατον, φίλον ἐποιεῖτο, πρότερον αὐτῷ μεμφόμενος,
2 ὡς ἀνθρωπόμορφον τὸν Θεὸν δοξάζοντι. Ὡς ἐκ με-
τανοίας δὲ τὴν ὀρθὴν δόξαν ἐπιγνοὺς[u], ὁμοφρονεῖν
αὐτῷ ἔγραφε, καὶ κατὰ[v] τῶν Ὠριγένους βιβλίων ὡς
παραιτίου δογμάτων τοιούτων, ἐκίνει διαβολάς. Ἐπι-
φάνιος δὲ πάλαι ἀποστρεφόμενος τὰ Ὠριγένους συγ-
γράμματα, ῥᾳδίως προσέθετο τῇ Θεοφίλου ἐπιστολῇ.
3 Καὶ συνελθὼν ἅμα τοῖς ἐν Κύπρῳ ἐπισκόποις, ἀπη-
γόρευσε τὴν διάγνωσιν[x] τῶν Ὠριγένους λόγων. Καὶ
τὰ δεδογμένα αὐτοῖς γράψας ἄλλοις τε καὶ τῷ Κων-
σταντινουπόλεως ἐπισκόπῳ, προετρέπετο συνόδους[y]
4 ποιεῖν, καὶ ταῦτα[z] ψηφίζεσθαι. Συνιδὼν δὲ Θεόφι-
λος ὡς οὐδείς ἐστι κίνδυνος Ἐπιφανίῳ ἕπεσθαι,
πολλοὺς ἐπαινέτας ἔχοντι, καὶ διὰ τὴν ἀρετὴν τοῦ

[t] ἐπισκοπῆς B. Steph. corr. Christ. Curt. Scal.

[u] ἐπιγνόντι temere Lowth: vid. adnott.

[v] τὰ κατὰ B. τὰς κατὰ Steph.

[x] Scribendum est proculdubio ἀνάγνωσιν. Quod confirmat Socrates vi. 10. VALESIUS. Nil opus est mutare: Socrates habet ἀναγινώσκειν βιβλία, Sozomenus διάγνωσιν λόγων: utrumque bonum est.

[y] σύνοδον J. cod. Fuk. Valesii. Christ. Scal.

[z] Assentior Henrico Savillio, qui ad oram sui codicis emendavit ταὐτὰ. VALESIUS.

pum, participem et consortem consiliorum suorum haberet, virum ob virtutis reverentiam omnium sui temporis clarissimum; eum sibi amicum adjunxit, licet antea eum reprehendisset, quod Deum humana specie præditum opinaretur. Tum vero, quasi resipiscens veram tandem sententiam agnovisset, idem se cum illo sentire scripsit, et Origenis libros tanquam hujusmodi dogmatum auctoris, calumniari instituit. Porro Epiphanius, qui Origenis libros jam pridem aversabatur, Theophili literis facile assensum præbuit. Collectoque Cypriorum episcoporum concilio, Origenis libros legi prohibuit. Datis deinde literis tum ad alios, tum ad episcopum Constantinopolitanum, ea quæ a synodo decreta fuerant insinuantibus, hortatus est illos, ut synodum convocarent, eademque decernerent. Animadvertens igitur Theophilus, se Epiphanium absque periculo sequi posse, utpote quem multi laudarent, et cujus sententiam ob vitæ sanctitatem suspicerent, ipse quoque cum

βίου ὅπερ ἂν φρονῇ[a] θαυμάζοντας, παραπλήσια αὐτῷ 45 ἐψηφίσατο σὺν τοῖς ὑπ' αὐτὸν ἐπισκόποις. Ὁ δὲ 343 Ἰωάννης, τὴν μὲν ἐπὶ τούτοις σπουδὴν οὐκ ἀξίαν ἡγεῖτο λόγου, καὶ τὰ Ἐπιφανίου καὶ Θεοφίλου γράμ-
5 ματα ἐν δευτέρῳ ἐποιεῖτο. Οἱ δὲ δυσμενῶς πρὸς αὐτὸν ἔχοντες τῶν ἐν δυνάμει καὶ τῷ κλήρῳ, μαθόντες Θεόφιλον σπουδάζειν αὐτοῦ τὴν καθαίρεσιν, ἐπιμελῶς συνέπραττον· καὶ σύνοδον μεγίστην γενέσθαι ἐν Κωνσταντινουπόλει παρεσκευάζοντο· καὶ Θεόφιλος δὲ ταῦτα γνοὺς, ἔτι μᾶλλον ἠπείγετο· καὶ τοὺς μὲν ἐξ Αἰγύπτου ἐπισκόπους ἐκπλεῦσαι ἐκέλευσε· γράφει δὲ Ἐπιφανίῳ καὶ ἑτέροις τῶν ἀνὰ τὴν ἕω, σπουδῇ
6 συνελθεῖν· αὐτὸς δὲ πεζὸς ἐποιεῖτο τὴν πορείαν. Καὶ οὐκ εἰς μακρὰν δὲ πρῶτος Ἐπιφάνιος ἐκπλεύσας τῆς Κύπρου, κατῆρεν[b] εἰς τὸ πρὸ τῆς Κωνσταντινουπόλεως καλούμενον Ἕβδομον. Εὐξάμενος δὲ ἐν τῇ ἐνθάδε ἐκκλησίᾳ, ἧκεν εἰς τὴν πόλιν. Ὁ δὲ Ἰωάννης εἰσιόντα αὐτὸν τῇ ὑπαντήσει τοῦ παντὸς κλήρου ἐτί-

[a] Ita B. C. φρονεῖ editt.

[b] Ita B. Steph. Genev. κατῆλθεν Christoph. Scalig. quos secutus est Vales. προσορμίσας τῷ ἐπὶ Ἰωάννην μαρτυρίῳ Socrat. vi. 12, 2.

episcopis qui sub ipso erant, idem quod Epiphanius, decrevit. Verum Joannes studium illorum haud magni ponderis esse existimavit; et Epiphanii ac Theophili literas neglexit. Ex potentioribus vero et ex clero, hi qui Joanni privatim infensi erant, cum intellexissent Theophilum id agere ut Joannem episcopatu exueret, ipsi quoque operam suam ac studium contulerunt, utque Constantinopoli maxima synodus fieret procurarunt. Quibus cognitis, Theophilus adhuc magis incubuit, et episcopos quidem Ægypti navigare jussit Constantinopolim. Epiphanio vero et aliis per Orientem episcopis scripsit, ut quamprimum in unum convenirent. Ipse pedestri itinere proficiscitur. Nec multo post Epiphanius, cum primus ex insula Cypro solvisset, ad locum haud procul ab urbe Constantinopolitana quem Septimum vocant, applicuit. Factaque oratione in ecclesia quæ illic est, in urbem introivit. Eum ingredientem Joannes occursu cleri totius honoravit. At vero

7 μησεν. Ἐπιφάνιος δὲ δῆλος ἦν εἴξας ταῖς κατ' αὐ-
τοῦ διαβολαῖς· προτραπεὶς γὰρ ἐν οἰκήμασιν ἐκκλη-
σιαστικοῖς καταμένειν, οὐκ ἠνέσχετο. Καὶ Ἰωάννῃ[c]
μὲν εἰς ταυτὸν συνελθεῖν ἀπέφυγεν· ἰδίᾳ δὲ συγκα-
λῶν τοὺς ἐνδημοῦντας ἐν Κωνσταντινουπόλει ἐπισκό-
πους, ἐπεδείκνυ τὰ ψηφισθέντα κατὰ τῶν Ὠριγένους
λόγων. Καὶ τινὰς ἐπιψηφίσασθαι ἔπεισεν· οἱ δὲ
8 πλείους παρῃτήσαντο. Θεότιμος δὲ ὁ Σκυθίας ἐπί-
σκοπος, καὶ ἄντικρυς Ἐπιφανίου καθήψατο. Οὔτε
γὰρ ἔφη ὅσιον εἶναι, τὸν πάλαι τετελευτηκότα ὑβρι-
ζειν· οὔτε βλασφημίας ἐκτὸς, τὴν τῶν παλαιοτέρων
διαβάλλειν κρίσιν, καὶ τὰ παρ' ἐκείνων δεδοκιμασμένα
ἀθετεῖν. Ἅμα τε λέγων, καὶ βιβλίον τὶ τῶν Ὠρι-
γένους προκομίσας διεξῄει· καὶ χρειώδη ταῖς ἐκκλη-
σίαις τὰ ἀνεγνωσμένα δείξας, Ἄτοπον, ἔφη, ὑπομένου-
σιν οἱ ταῦτα διαβάλλοντες· κινδυνεύουσι γὰρ ταῦτα
9 ὑβρίζειν, περὶ ὧν οἱ λόγοι. Ὁ δὲ Ἰωάννης, δι' αἰδοῦς
εἶχεν ἔτι τὸν Ἐπιφάνιον, καὶ παρεκάλει αὐτὸν συνεκ-

[c] Emendavi obsecutus Valesio, Savilio, et Nicephoro. Ἰωάννης codd. et editt.

Epiphanius perspicue declaravit, quod calumniis adversus Joannem concinnatis fidem habuisset. Invitatus enim ut in ædibus ecclesiasticis manere vellet, neutiquam acquievit. Et cum Joanne quidem congredi penitus detrectavit: privatim vero convocatis episcopis qui tum Constantinopoli morabantur, ea quæ adversus libros Origenis decreta fuerant, illis ostendit. Ac nonnullis quidem persuasit ut decretis subscriberent: plures vero id facere recusarunt. Quin et Theotimus episcopus Scythiæ, palam reprehendit Epiphanium. Nam neque pium esse dicebat, eum qui jam pridem mortuus esset, contumelia afficere: neque citra calumniam judicia antiquiorum reprehendi, et quæ ab illis probata essent damnari posse. Atque hæc dicens, prolato Origenis quopiam libro, locum ex eo recitavit. Cumque ea quæ recitaverat, ecclesiis utilia esse ostendisset: Absurde faciunt, inquit, qui ista vituperant. Cavendum enim est illis, ne et ea damnent de quibus conscripti sunt hi libri. Porro Joannes adhuc nihilominus reverentiam exhibebat Epiphanio, eumque hortabatur ut collectas secum celebrare, et

κλησιάζειν, καὶ σύνοικον ἔχειν. Ὁ δὲ, οὔτε συνοι-
κεῖν, οὔτε συνεύχεσθαι αὐτῷ ἀντεδήλου, εἰ μὴ κατα-
ψηφίσηται τῶν Ὠριγένους λόγων, καὶ Διόσκορον καὶ
10 τοὺς σὺν αὐτῷ ἐξελάσῃ. Ἐπεὶ δὲ ταῦτα ποιεῖν πρὸ
δίκης οὐ δίκαιον ἡγεῖτο καὶ ἀνεβάλλετο, μελλούσης
ἐπιτελεῖσθαι συνάξεως ἐν τῇ ἐπωνύμῳ τῶν ἀποστό-
λων ἐκκλησίᾳ, κατεσκεύαζον οἱ Ἰωάννου δυσμενεῖς
προελθεῖν Ἐπιφάνιον, καὶ δημοσίᾳ ἀποκηρῦξαι ἐπὶ
τοῦ λαοῦ[d] τὰς Ὠριγένους βίβλους, καὶ τοὺς ἀμφὶ
τὸν[e] Διόσκορον, ὡς τὰ τούτου φρονοῦντας· ἐν ταυτῷ
δὲ καὶ τὸν ἐπίσκοπον τῆς πόλεως διαβαλεῖν, ὡς ἐκεί-
νοις προσκείμενον. Καὶ οἱ μὲν τάδε ἐσπούδαζον·
ᾤοντο γὰρ αὐτὸν οὕτω συγκρούσειν πρὸς τὸ πλῆ-
11 θος. Τῇ δὲ ἑξῆς ἐπὶ τοῦτο προελθὼν Ἐπιφάνιος,
ἐγγὺς ἤδη τῆς ἐκκλησίας ἐτύγχανεν· ἀπαντήσας δὲ
αὐτῷ Σαραπίων[f] παρὰ Ἰωάννου ἀποσταλεὶς, ᾔσθετο 345
γὰρ τὰ τῇ προτεραίᾳ βεβουλευμένα, ἐμαρτύρατο μήτε
δίκαια ποιεῖν, μήτε αὐτῷ συμφέροντα, εἰ ταραχῆς ἐν

[d] ἐπὶ τοῦ λαοῦ ἀποκηρύξαι B. [e] τὸν om. B.
[f] [Σεραπίων mendose Reading.]

contubernalem ipsum habere vellet. Verum Epiphanius, se neque ejus domo usurum, nec cum eo oraturum esse respondit, nisi Origenis libros prius damnasset, et Dioscorum una cum sociis expulisset. Sed cum ille ante causæ cognitionem hæc facere, haudquaquam justum esse duceret, et procrastinaretur; die quo collecta agenda erat in ecclesia apostolorum, procurarunt Joannis inimici, ut Epiphanius in ecclesiam veniret, et publice coram populo tum Origenis libros, tum Dioscorum et eos qui cum illo erant, tanquam idem cum Origene sentientes, anathemate damnaret: eademque opera episcopum urbis perstringeret, ut qui illis addictus esset. Atque hi quidem istud moliebantur. Quippe existimabant, se hac ratione plebem ab illo alienaturos. Postero igitur die, cum ad id agendum progressus Epiphanius jam ecclesiæ appropinquaret, obviam ei occurrit Serapio, missus a Joanne. Præsenserat enim Joannes ea quæ pridie fuerant constituta. Palamque denuntiavit Epiphanio, illum ea gerere, quæ nec justa essent, nec ipsi privatim utilia: siquidem tumultu ac seditione

τῷ πλήθει ἢ στάσεως κινηθείσης, αὐτὸς κινδυνεύσει, ὡς αἴτιος γεγονώς. Καὶ ὁ μὲν ὧδε ἀνεκόπη τῆς ἐπὶ τοῦτο ὁρμῆς.

ΚΕΦ. ΙΕ'.

Περὶ τοῦ παιδὸς τῆς βασιλίδος, καὶ τοῦ ἁγίου Ἐπιφανίου· καὶ ὡς οἱ μακροὶ πρὸς διάλογον ἦλθον Ἐπιφανίῳ, καὶ ὡς ἀπέπλευσεν εἰς Κύπρον αὖθις· καὶ περὶ Ἐπιφανίου καὶ Ἰωάννου.

1 Ἐν τούτῳ δὲ συνέβη νοσεῖν τοῦ βασιλέως παιδίον· περιδεὴς δὲ οὖσα ἡ μήτηρ μή τι πάθοι, πέμψασα πρὸς Ἐπιφάνιον, ἐδεῖτο εὔχεσθαι ὑπὲρ αὐτοῦ. Ὁ δὲ, ζήσεσθαι τὸν κάμνοντα ὑπέσχετο, εἰ τοὺς ἀμφὶ Διό-
2 σκορον αἱρετικοὺς ὄντας ἀποστραφείη. Ἡ δὲ βασιλὶς, Τὸ ἐμὸν, ἔφη, παιδίον, εἴγε δοκεῖ τῷ Θεῷ λαμβάνειν, ταύτῃ ἔστω· Κύριος γὰρ ὁ δοὺς, πάλιν ἀφαιρεῖται· αὐτὸς δὲ εἴπερ οἷός τε ἦς νεκροὺς ἀνεγείρειν, οὐκ ἂν ὁ σὸς ἀρχιδιάκονος τεθνήκει. Ἔτυχε γὰρ οὐ πρὸ πολλοῦ τελευτήσας Κρισπίων, ὃν ἀδελφὸν ὄντα Φουσκώνος καὶ Σαλαμάνου[g] τῶν ἐπὶ Οὐάλεντος δηλω-

[g] Σαλάμου Niceph. Verum in cod. Fuk. Σαλαμάνου. Quomodo etiam Savilius ad latus sui codicis adnotavit. VALESIUS. Σαλάμου B. Steph. Genev. Σαλαμάνου Christ. Σαλμάνου Scal. Σαλαμάνης supra, vi. 32.

populi excitata, ipse tanquam ejus rei auctor periculum subiturus esset. Hac ratione cohibitus est impetus Epiphanii.

CAPUT XV.

De filio imperatricis, et de beato Epiphanio: et quomodo monachi longi in colloquium cum eo venerint, et Epiphanius in Cyprum reversus sit. Item de Joanne et de Epiphanio nonnulla.

Interea accidit ut imperatoris filius admodum puer morbo corriperetur. Mater vero sollicita ne quid tristius ei contingeret, misso ad Epiphanium nuncio, ut pro illo Deum precaretur postulavit. Ille puerum victurum esse respondit, si Augusta hæreticos qui cum Dioscoro erant aversaretur. Verum Augusta: Si Deus, inquit, filium meum eripere mihi voluerit, ita fiat. Dominus enim qui dedit, idem et aufert. Quod si tu mortuos ad vitam revocare posses, mortuus non esset archidiaconus tuus. Etenim haud multo antea e vivis excesserat Crispio, frater Fusconis et Salamanis

θέντων μοναχῶν, σύνοικον ἔχων, ἀρχιδιάκονον ἑαυτῷ[h]
3 κατέστησεν. Οἱ δὲ περὶ Ἀμμώνιον, τοῦτο γὰρ αὐτῇ τῇ βασιλίδι ἐδόκει[i], πρὸς Ἐπιφάνιον ἦλθον. Πυθομένου δὲ αὐτοῦ τίνες εἶεν, ὑπολαβὼν Ἀμμώνιος, Οἱ μακροὶ, ἔφη, ὦ πάτερ· ἀλλ' εἰ πώποτε μαθηταῖς ἡμετέροις ἢ συντάγμασιν ἐνέτυχες, ἡδέως ἐμάνθανον. Τοῦ δὲ ἀποφήσαντος, πάλιν ἤρετο· Πόθεν οὖν αἱρετικοὺς εἶναι σφᾶς νενόμικας, μηδένα ἔλεγχον ἔχων
4 τῆς αὐτῶν γνώμης; Ἀκηκοέναι δὲ Ἐπιφανίου λέγοντος, Ἡμεῖς δὲ, ἔφη, πᾶν τοὐναντίον πεπόνθαμεν· μαθηταῖς γὰρ σοῖς συνετύχομεν[k] πολλάκις καὶ συγγράμμασιν· ὧν ἐκεῖνό γέ ἐστιν ὃ τὴν ἐπιγραφὴν Ἀγκυρωτὸς ἔχον· βουλομένων τε πολλῶν λοιδορεῖσθαι καὶ ὡς αἱρετικὸν διαβάλλειν, ὑπερηγωνιζόμεθα ὡς εἰκὸς πατρὸς, καὶ ὑπεραπελογούμεθα. Οὔκουν ἐχρῆν ἐξ ἀκοῆς ἐρήμην καταδικάζειν, ὧν οὐκ αὐτὸς πεισθεὶς κατέγνως, οὔτε τοιαύτην ἀμοιβὴν τοῖς εὖ λέ-

[h] αὐτοῦ B. Steph. [i] ἐδόκει om. B. Steph. suppl. Scal. Vales. [k] ἐνετύχομεν C.

monachorum, quorum mentionem fecimus cum res Valentis Augusti temporibus gestas referremus: quem Epiphanius cum contubernalem haberet, archidiaconum suum constituerat. Ammonius vero et qui cum illo erant, Epiphanium adierunt; id enim ipsi quoque Augustæ placuerat. Cumque Epiphanius interrogasset quinam essent, respondit Ammonius: Longi sumus, o pater. Sed libenter equidem discerem, utrum aliquando in discipulos aut in libros nostros incideris. Illo negante, iterum quæsivit Ammonius: Unde ergo hæreticos illos esse judicasti, qui nullum habes argumentum quo sententiam illorum possis convincere? Et cum Epiphanius diceret, id se auditu accepisse: Nos vero, ait Ammonius, plane contrarium fecimus. Nam et discipulos tuos sæpenumero vidimus, et libros perlegimus: ex quibus unus est qui Ancoratus inscribitur. Cumque multi vituperare te et tanquam hæreticum calumniari vellent, nos pro patre, uti par erat, propugnavimus, et causæ tuæ defensionem suscepimus. Proinde nec tu ex solo auditu absentes damnare debuisti, quos nequaquam tu ipse certis argumentis inductus conviceras: nec ejusmodi gratiam referre laudatoribus tuis. Posthæc Epiphanius lenius eos adlocu-

5 γουσιν ἀποδοῦναι. Ὁ δὲ Ἐπιφάνιος, τότε μὲν μετριώτερον[l] προσδιαλεχθεὶς, ἀπέπεμπε[m] τοὺς ἄνδρας. Οὐ πολλῷ δὲ ὕστερον ἀπέπλευσεν εἰς Κύπρον· ἢ τῆς ἐπὶ Κωνσταντινουπόλεως ἀφίξεως καταγνούς· ἢ τοῦ Θεοῦ χρήσαντος, καὶ τὸν αὐτοῦ θάνατον, ὡς εἰκὸς, αὐτῷ προμηνύσαντος· πλέων γὰρ, πρὶν εἰς Κύπρον
6 ἐλθεῖν, ἐτελεύτησε. Λέγεται γοῦν τοῖς αὐτῷ συνελ- 346
θοῦσιν ἐπισκόποις ἐπὶ θάλασσαν εἰπεῖν, μέλλων ἐπιβαίνειν τοῦ σκάφους, Ἀφίημι ὑμῖν τὴν πόλιν καὶ τὰ βασίλεια, καὶ τὴν ὑπόκρισιν· ἐγὼ δὲ ἄπειμι· σπεύ-
7 δω γὰρ, πάνυ σπεύδω. Κἀκεῖνον δὲ εἰσέτι νῦν πολλῶν ὄντα τὸν λόγον ἐπυθόμην, ὡς Ἐπιφανίῳ μὲν Ἰωάννης τὴν ἐν τῇ θαλάσσῃ τελευτὴν προεμήνυσεν· ὁ δὲ ἐκείνῳ, τῆς ἐπισκοπῆς τὴν καθαίρεσιν. Ἐν ᾧ γὰρ διεφέροντο, ὁ μὲν ἐδήλωσεν Ἰωάννῃ, Ἐλπίζω σὲ μὴ ἀποθανεῖν ἐπίσκοπον. Ὁ δὲ Ἰωάννης ἀντεδήλου· Οὐδὲ ἐγώ σε τῆς σῆς ἐπιβήσεσθαι πόλεως.

l μετριώτερον πως J. m ἀπέπεμψε C.

tus, tum quidem ab se dimisit. Brevi autem interjecto tempore, Cyprum navigavit: seu quod Constantinopolitanæ profectionis ipsum pœniteret: seu quod Deus oraculo ipsum admonuisset, mortemque ipsi suam, ut verisimile est, prænuntiasset. Dum enim navigaret, priusquam appulisset in Cyprum, fato interceptus est. Cæterum cum navem conscensurus esset, episcopis qui ipsum ad littus usque prosecuti fuerant, dixisse fertur: Urbem vobis et palatium, et scenam relinquo. Ego vero abscedo: festino enim et quidem valde. Aliud præterea quidpiam audivi, quod multorum sermonibus etiamnum circumfertur; Joannem quidem Epiphanio prædixisse, illum in navigatione esse moriturum: Epiphanium autem prænuntiasse Joanni abdicationem episcopatus. Nam dum inter se dissiderent, Epiphanius quidem Joanni scripsisse dicitur: Spero te nequaquam episcopum esse moriturum. Joannes vero rescripsit Epiphanio: Nec ego spero te in urbem tuam ingressurum esse.

ΚΕΦ. Ιϛʹ.

Περὶ τῆς εἰς τὴν βασίλισσαν Ἰωάννου διαφορᾶς· καὶ ὡς ἧκεν ἐξ Αἰγύπτου Θεόφιλος· καὶ περὶ Κυρίνου τοῦ Χαλκηδόνος ἐπισκόπου.

1 Ἐπεὶ δὲ ἀπέπλευσεν Ἐπιφάνιος, ἐκκλησιάζων Ἰω-
άννης κοινὸν κατὰ γυναικῶν διεξῆλθε ψόγον· αἰνιγ-
ματωδῶς δὲ συγκεῖσθαι τοῦτον κατὰ τῆς τοῦ βασιλέως
γαμετῆς τὸ πλῆθος ἐδέχετο. Οἱ δὲ τοῦ ἐπισκόπου
δυσμενεῖς, καὶ αὐτὸν τὸν λόγον ἐκλαμβάνοντες τῇ
βασιλίδι διεκόμισαν. Ἡ δὲ παρὰ τῷ ἀνδρὶ τὴν ὕβριν
ἀπωδύρατο, καὶ Θεόφιλον θᾶττον παρεῖναι, καὶ σύν-
2 οδον ποιεῖν κατήπειγε. Συνέπραττε δὲ καὶ συγκατε-
σκεύαζε ταῦτα καὶ Σεβηριανὸς ὁ Γαβαλεύς, οὔπω τῆς
προτέρας ἀπαλλαγεὶς λύπης. Ἀλλὰ πότερον[n] οὕτως
ὡς ἔτυχεν, ἐπὶ τοῦτον Ἰωάννης προήχθη τὸν λόγον, ἢ
ὥς τινες λέγουσιν, ὑπονοήσας ὡς ἡ βασιλὶς ἀνέπεισεν[o]
Ἐπιφάνιον ἐπιβουλεύειν αὐτῷ, ἀκριβῶς οὐκ ἔχω λέ-
3 γειν. Οὐκ εἰς μακρὰν δὲ καὶ Θεόφιλος παρῆν εἰς
Χαλκηδόνα τὴν Βιθυνῶν, καὶ ἄλλοι πολλῶν πόλεων

[n] πρότερον B. Steph. Genev. tacite emendavit Vales. εἴτε Niceph.
[o] Ita B. C. ἔπεισεν editt.

CAPUT XVI.

De imperatricis simultate adversus Joannem: et quomodo Theophilus ex Ægypto advenerit. Item de Cyrino Chalcedonis episcopo.

Porro digresso ab urbe Epiphanio, Joannes in ecclesia verba faciens, communem adversus mulieres vituperationem instituit. Eam populus ita accepit, quasi adversus imperatoris conjugem figurate composita fuisset. Hi vero qui episcopo infensi erant, orationem ipsam excipientes, ad imperatricem attulerunt. Illa apud imperatorem de contumelia sua graviter conquesta, Theophilum urgere cœpit, ut quantocyus adveniret, et synodum congregaret. Adnitebatur etiam et negotium promovebat Severianus Gabalensis, nondum prioris offensæ oblitus. Utrum porro Joannes fortuito ad eam orationem provectus sit, an, ut quidam dicunt, eo quod suspicabatur Epiphanium ab imperatrice impulsum fuisse ut insidias ipsi strueret, equidem certo affirmare non possum. Haud multo post ipse quoque Theophilus Chalcedonem Bithyniæ adve-

ἐπίσκοποι· οἱ μὲν, ὑπὸ Θεοφίλου προτραπέντες[p]· οἱ δὲ, βασιλέως προστάγματι μετακληθέντες. Σπουδῇ δὲ μάλιστα συνῄεσαν, ὅσοι τε τῶν ἐν Ἀσίᾳ τῆς ἐπισκοπῆς ἀφῄρηντο παρὰ Ἰωάννου, καὶ ὅσοι ἄλλοθεν ἄλλως[q] αὐτῷ ἀπηχθάνοντο. Ἤδη δὲ καὶ ἐξ Αἰγύπτου νῆες ἃς Θεόφιλος περιέμενεν, εἰς Χαλκηδόνα ἀφίκοντο.
4 Συνελθόντων δὲ πάλιν[r] εἰς ταὐτὸν ἐνθάδε, καὶ βουλευομένων ὅπως αὐτοῖς κατὰ γνώμην προβαίη ἡ κατὰ Ἰωάννου ἐπιχείρησις, Κυρῖνος ὃς ἡγεῖτο τότε τῆς ἐν Χαλκηδόνι ἐκκλησίας, καὶ κατὰ τὸ συγγενὲς ἴσως Θεοφίλῳ χαριζόμενος, ἦν γὰρ Αἰγύπτιος, καὶ ἄλλως διάφορος Ἰωάννῃ τυγχάνων, πλεῖστα αὐτὸν ἐλοιδόρει.
5 Ταχεῖα δὲ τούτων τῶν ὕβρεων ἔδοξεν αὐτὸν μετιέναι δίκη. Μαρουθᾶς γὰρ ὁ ἐκ Μεσοποταμίας, συνὼν τοῖς ἐπισκόποις, ἄκων αὐτοῦ θάτερον τοῖν ποδοῖν ἐπάτησεν. Ὀδυνηθεὶς δὲ, οὐκέτι σὺν τοῖς ἄλλοις ἱερεῦσιν εἰς Κωνσταντινούπολιν ἐπεραιώθη, καίπερ ἀναγκαῖος[s] εἶ-

[p] ἐπιτραπέντες B. τραπέντες Steph. Genev. προτραπέντες Christoph. Vales.

[q] Scribendum est ἄλλος, ut in cod. Fuk. emendatum est eadem manu. VALESIUS.

[r] Ita B. Steph. Genev. πάντων tacite Valesius. Cf. adnott.

[s] Ita B.C. ἀναγκαίως editt.

nit, et una cum illo complures episcopi, alii a Theophilo invitati; alii imperatoris jussu acciti. Verum studiosius quam reliqui convenere, tum ii quibus Joannes in Asia episcopatum ademerat, tum quicunque, alius aliam ob causam, illi infensi erant. Jamque aderant ex Ægypto naves quas Theophilus exspectabat, et Chalcedonem appulerant. Cumque universi simul illic convenissent, atque inter se consultarent, qua ratione conatus ipsis adversus Joannem ex voto succederet, Cyrinus qui tunc Nicomediensem regebat ecclesiam, Theophilo fortassis gratificans ob generis conjunctionem: erat enim Ægyptius, et alioqui a Joanne dissidebat: multis eum probris et conviciis oneravit. Verum Divina justitia, contumeliarum istarum brevi ab illo pœnas exegit. Maruthas enim ortus ex Mesopotamia, qui una cum episcopis illic aderat, forte alterum ejus pedem calcavit. Unde affectus dolore, una cum reliquis episcopis Constantinopolim trajicere non potuit, licet ad

6 ναι δοκῶν πρὸς τὰς κατὰ Ἰωάννου ἐπιβουλάς. Μετὰ ταῦτα δὲ κακῶς διατεθεὶς, πολλάκις ὑπὸ τῶν ἰατρῶν 347 ἀπεπρίσθη τὸ σκέλος· ἐπιγενομένη γὰρ σηπεδὼν τὸ πᾶν ἐπενέμετο σῶμα, ὡς καὶ τὸν ἕτερον πόδα ταὐτὸν ὑπομεῖναι, τῇ μεταδόσει τοῦ πάθους. Ἀλλ' ὁ μὲν οὐ πολλῷ ὕστερον ἐν ταῖς ὀδύναις ἐτελεύτα τὸν βίον.

ΚΕΦ. ΙΖ'.

Περὶ τῆς γενομένης συνόδου παρὰ Θεοφίλου, καὶ τῶν κατηγοριῶν Ἰωάννου, ἐν Ῥουφιαναῖς[t]· καὶ ὡς κληθεὶς Ἰωάννης, καὶ μὴ παραγενόμενος, παρ' αὐτοῦ καθῃρέθη.

1 Περαιωθέντι δὲ Θεοφίλῳ, οὐδεὶς τῶν Κωνσταντινουπόλεως κληρικῶν[u] ὑπήντετο. Δῆλος γὰρ ἦν ἤδη τῷ ἐπισκόπῳ δυσμενής. Τὸ δὲ τῶν Ἀλεξανδρέων ναυτικὸν, οἵπερ ἔτυχον ἐνδημοῦντες, ἔκ τε τῶν ἄλλων πλοίων, καὶ μάλιστα τῶν σιτηγῶν, ὁμοῦ συνελέγησαν,
2 καὶ προθύμως αὐτὸν εὐφημοῦντες ἐδέξαντο. Παραδραμὼν δὲ τὴν ἐκκλησίαν, εἰς βασιλικὴν οἰκίαν ἦλθεν,

[t] Lege Ῥουφινιαναῖς. [u] κληρικῶν om. C.

struendas Joanni insidias admodum necessarius videretur. Postea vero cum ex eo vulnere male haberet, crus ei non semel a medicis dissectum est. Superveniens enim putredo totum corpus depascebatur: adeo ut alter quoque pes idem passus sit ex mutua doloris communicatione. Et Cyrinus quidem haud multo post in doloribus expiravit.

CAPUT XVII.

De synodo a Theophilo facta in Rufinianis, et de accusationibus adversus Joannem. Et quomodo Joannes vocatus, cum se judicio non sisteret, a Theophilo depositus est.

Porro cum Theophilus Constantinopolim trajecisset, nullus ex clericis urbis regiæ obviam ei processit. Jam enim palam factum fuerat, illum episcopo infestum esse. Nautæ vero Alexandrini qui tum forte erant Constantinopoli, tum ex aliis navibus, tum præcipue ex frumentariis, in unum collecti, cum gaudio et faustis acclamationibus eum exceperunt. At ille ecclesiam prætergressus, in imperialem domum concessit, in qua ipsi diversorium fuerat

ἐν ᾗ καταμένειν αὐτῷ ηὐτρέπιστο. Ἐπεὶ δὲ πολλοὺς
ἔγνω Ἰωάννῃ ἀπεχθάνεσθαι, καὶ κατηγορεῖν ἑτοίμους[x],
προδιαθεὶς τὰ ἄλλα ᾗπερ αὐτῷ καλῶς ἔχειν ἐδόκει,
3 ἧκεν εἰς Δρῦν. Χαλκηδόνος δὲ τοῦτο προάστειον,
Ῥουφίνου τοῦ ὑπατικοῦ νῦν ἐπώνυμον, ἐν ᾧ βασίλεια
ἐστι, καὶ μεγάλη ἐκκλησία, ἣν αὐτὸς Ῥουφῖνος ἐπὶ
τιμῇ Πέτρου καὶ Παύλου τῶν ἀποστόλων ἐδείματο,
καὶ ἀποστολεῖον[y] ἐξ αὐτῶν ὠνόμασε· πλησίον δὲ
μοναχοὺς συνῴκισεν[z] οἳ τῆς ἐκκλησίας τὸν κλῆρον
4 ἐπλήρουν. Ἐνταῦθα δὲ συνελθὼν Θεόφιλος ἅμα τοῖς
ἄλλοις ἐπισκόποις, περὶ μὲν τῶν Ὠριγένους βιβλίων
οὐδὲν ἐπεμνημόνευσε· τοὺς δὲ ἀπὸ Σκήτεως μοναχοὺς
εἰς μετάνοιαν ἐκάλει, μήτε μνησικακεῖν, μήτε κακῶς
ποιεῖν ὑποσχόμενος. Ἐπιβοώντων δὲ αὐτοῖς συγγνώμην αἰτεῖν τῶν Θεοφίλου σπουδαστῶν, καὶ προσποιουμένων τὴν σύνοδον ἱκετεύειν ὑπὲρ αὐτῶν, ταραχθέντες οἱ μοναχοὶ, καὶ τοῦτο χρῆναι ποιεῖν νομίσαντες, πολλῶν ἐπισκόπων προκαθημένων, τοῦτο δὴ τὸ

[x] Cod. Fuk. ἑτοίμως, non male. VALESIUS.

[y] ἀποσταλεῖον B.

[z] Ita C. ut dudum conjecerat Valesius e Nicephoro. Verum ι et η nonnunquam inter se permutantur tanquam æquales in codicibus. συνῴκησεν editt.

præparatum. Porro cum multos esse animadvertisset, qui Joannem odissent, et accusare parati essent, præparatis omnibus prout ipsi conducere videbatur, ad Quercum perrexit. Id suburbanum est Chalcedonis, quod nunc ex Rufini viri consularis nomine appellatur: in quo palatium est, et ecclesia maxima, quam Rufinus ipse in honorem apostolorum Petri ac Pauli construxerat, et apostoleum ob id cognominarat. Monachos quoque juxta eam collocavit, qui clericorum in ea ecclesia munus explerent. Hoc igitur in loco Theophilus una cum reliquis episcopis cum consedisset, de libris quidem Origenis nullam amplius mentionem fecit; sed Scetienses monachos ad pœnitentiam invitavit, oblivioni se traditurum præterita, nec mali quicquam facturum pollicitus. Cumque fautores Theophili inclamarent monachis, ut veniam peterent; et synodum pro illis supplicare fingerent: conturbati monachi, idque sibi faciendum esse existimantes, considentibus tot episcopis: id

σύνηθες αὐτοῖς λέγειν κἂν ἀδικῶνται, Συγχώρησον[a],
5 *ἔφασαν. Θεοφίλου δὲ ἑτοίμως σπεισαμένου, καὶ τὴν
κοινωνίαν αὐτοῖς ἀποδόντος, διελύθη τῶν περὶ Σκῆτιν
ἀδικημάτων ἡ ἐξέτασις. Ὅπερ οἶμαι οὐκ ἂν συνέβη,* 348
*εἰ συμπαρῆσαν τοῖς ἄλλοις μοναχοῖς Διόσκορός τε
καὶ Ἀμμώνιος. Ὁ μὲν γὰρ ἤδη πρότερον τελευτήσας,
ἐτάφη ἐν τῇ Μωκίου τοῦ μάρτυρος ἐπωνύμῳ ἐκκλη-*
6 *σίᾳ. Ἀμμώνιος δὲ ἔναγχος τῆς συνόδου παρασκευα-
ζομένης, ἐμαλακίσθη τὸ σῶμα· περαιωθεὶς δὲ εἰς Δρῦν,
χαλεπώτερον ὑπὸ τῆς νόσου διετέθη· καὶ μετ' οὐ πολὺ
τελευτᾷ τὸν βίον· καὶ πρὸς τῶν πλησίον μοναχῶν,
ἔνθα δὴ κεῖται, λαμπρᾶς ἠξιώθη ταφῆς. Ὁ δὲ Θεό-
φιλος, ὡς ἐπύθετο, λέγεται δακρῦσαι, καὶ εἰς πάντας
εἰπεῖν, ὡς οὐδεὶς εἴη τῶν κατ' αὐτὸν μοναχὸς, οἷος*
7 *Ἀμμώνιος, εἰ καὶ αὐτῷ ταραχῆς αἴτιος ἐγένετο. Προὔ-
χώρει δὲ ὅμως αὐτῷ καὶ τοῦτο κατὰ γνώμην. Ἡ δὲ
σύνοδος ἅπαντας συνεκάλεσε τοὺς Κωνσταντινουπό-
λεως κληρικοὺς, καθαίρεσιν ἀπειλήσασα κατὰ τῶν
ἀπειθούντων. Ἐκάλεσε δὲ καὶ Ἰωάννην πρὸς ἀπολο-*

[a] *συγχώρησιν* J. Christ. *συγχώρησις* Scal.

quod solemne est ipsis dicere, etiamsi injuria affecti fuerint, Parce scilicet dixerunt. Cum autem Theophilus libenter eos in gratiam recepisset, et communionem eis restituisset, finita est quæstio de injuriis monachorum Scetiensium. Quod meo quidem judicio factum non esset, si Dioscorus et Ammonius una cum aliis monachis illis adfuissent. Nam Dioscorus quidem, antequam hæc fierent, mortuus, et in ecclesia Mocii martyris sepultus fuerat. Ammonius vero, paulo ante dum synodus pararetur, languore correptus est. Cumque ad Quercum trajecisset, ingravescente morbo, non multo post extremum diem clausit: et apud vicinos illic monachos, ubi cadaver ejus jacet, splendidam meruit sepulturam. Cæterum Theophilus hoc audito lacrymas fudisse dicitur, cunctisque audientibus dixisse, neminem inter sui temporis monachos parem Ammonio exstitisse, quamvis illum in maximas perturbationes conjecisset. Sed tamen hoc illi ex animi sententia successit. Porro synodus cunctos Constantinopolitanæ urbis clericos ad se evocavit, depositionem illis interminata qui non obtemperassent. Joannem quoque ad causam dicendam vocavit. Et una cum illo Serapionem adesse

γίαν· σὺν αὐτῷ δὲ παρεῖναι προσέταξε Σαραπίωνα, καὶ Τίγριον πρεσβύτερον, καὶ Παῦλον ἀναγνώστην.
8 *Ὁ δὲ Ἰωάννης, ἄλλους τέ τινας τῶν ἐπιτηδείων αὐτῷ κληρικῶν, καὶ Δημήτριον τὸν Πισινοῦντος ἐπίσκοπον πέμψας πρὸς αὐτοὺς ἔλεγε, μὴ ἀποφεύγειν τὴν κρίσιν· ἕτοιμος δὲ εἶναι, εἰ πρότερον μάθοι τοὺς κατηγόρους, καὶ τὴν γραφὴν ἐπισκέψαιτο, ἐπὶ μείζονος ἀπολογεῖσθαι συνόδου· μὴ γὰρ αἱρεῖσθαι ἀνόητόν τι ὑπομένειν, καὶ περιφανῶν ἐχθρῶν ἀνέχεσθαι δικαστῶν.*
9 *Ὡς ἀπειθοῦντος δὲ συνόδῳ χαλεπαινόντων αὐτῶν, οἱ μὲν τῶν τάδε ἀγγειλάντων, δείσαντες οὐκέτι ἀνέστρεφον· Δημήτριος δὲ, καὶ ὅσοι τὴν Ἰωάννου προετίμων συνουσίαν, ὡς αὐτὸν ἐπανῆλθον. Κατ' αὐτὴν δὲ τὴν ἡμέραν ταχυδρόμος καὶ ταχυγράφος*[b] *ἐκ τῶν βασιλειῶν παραγενόμενοι, τὸν μὲν κατήπειγον πρὸς τοὺς ἐπισκόπους ἐλθεῖν· τοὺς δὲ, μὴ μέλλειν*[c] *περὶ τὴν κρίσιν.*
10 *Ἐπεὶ δὲ τετράκις κληθεὶς, οἰκουμενικὴν ἐπεκαλεῖτο σύνοδον, οὐδὲν ἕτερον ἐπαιτιώμενοι, πλὴν ὅτι κληθεὶς οὐχ ὑπήκουσε, καθεῖλον αὐτόν.*

[b] Ita B. Christ. Vales. *ταχυδρόμος καὶ* om. Steph. et mox *παραγενόμενος—κατήπειγον* legit; *καὶ ταχυγράφος* om. Scal. [c] *μέλειν* B.

jussit, et Tigrium presbyterum cum Paulo lectore. At Joannes missis ad eos quibusdam clericis, familiaribus suis, et Demetrio Pesinuntis episcopo, nuntiavit illis se non subterfugere judicium: immo paratum esse, dummodo prius accusatores cognoverit, et accusationis libellum inspexerit, coram majore concilio causam suam defendere. Neque enim velle se stultum ac temerarium facinus admittere, et judicium eorum subire qui manifesti essent ipsius inimici. Verum cum indignarentur episcopi adversus Joannem, tanquam parere synodo recusantem; ex iis qui ista nuntiaverant quidam metu territi, non amplius reverterunt. Demetrius vero, et quicunque Joannis consortium cunctis rebus anteponebant, ad illum rediere. Eodem die cursor et notarius ex palatio venientes, Joannem quidem urgebant ut ad episcopos accederet: istos vero hortati sunt, ut judicium accelerarent. Porro cum ille quater vocatus, ad œcumenicam synodum provocasset, nihil ei aliud objicientes quam quod vocatus non paruisset, eum deposuerunt.

ΚΕΦ. ΙΗ'.

Ὅτι ἐστασίασε τὸ πλῆθος κατὰ Θεοφίλου καὶ τῆς αὐτοῦ συνόδου, καὶ τοὺς κρατοῦντας ἐλοιδορεῖτο. Ἀνακληθεὶς τοίνυν ὁ Ἰωάννης, πάλιν ἐπὶ τὸν θρόνον ἐγένετο.

1 Τὸ δὲ πλῆθος, ὡς τάδε ἔγνω ἐν Κωνσταντινουπόλει περὶ δείλην ὀψίαν, πρὸς στάσιν κεκίνητο· καὶ συνδραμόντες ἕωθεν[c] εἰς τὴν ἐκκλησίαν, ἄλλα τε πολλὰ ἀνέκραγον, καὶ ὡς δέοι μείζονα σύνοδον περὶ αὐτοῦ διαλαβεῖν. Κατεπειγόντων τε τῶν ἐκ βασιλέως προστεταγμένων εἰς ὑπερορίαν αὐτὸν ἀπάγειν, οὐ συνεχώ-
2 ρουν. Ὁ δὲ, δείσας μήτι ἕτερον αὐτῷ ἔγκλημα πλασθῇ[d], ἢ ὡς βασιλεῖ ἀπειθοῦντι, ἢ τὸν δῆμον ταράττοντι, ἡμέρᾳ τρίτῃ μετὰ τὴν καθαίρεσιν, διασπαρέντος τοῦ πλήθους περὶ μεσημβρίαν λαθὼν ἀπέλιπε τὴν ἐκκλησίαν. Ἤδη δὲ αὐτοῦ ἀπαγομένου, χαλεπῶς ὁ λαὸς ἐστασίαζε, βασιλέα τε καὶ τὴν σύνοδον καὶ μάλιστα Θεόφιλον καὶ Σεβηριανὸν ἐλοιδόρουν[e]· ἄμφω
3 μὲν γὰρ ἀρχηγὼ τῆς ἐπιβουλῆς ἤστην. Ὁ δὲ Σεβη-

[c] ἕωθεν om. B. Steph. suppl. Christ. Vales.

[d] Rectius in codice Fuketiano scriptum est πλακῇ. VALESIUS.

[e] ἐλοιδόρουν om. B. Steph. suppl. Scal.

CAPUT XVIII.

Quomodo populus adversus Theophilum et reliquos episcopos seditionem excitaverit, et imperatores conviciis appetierit. Et qua ratione revocatus Joannes, sedem suam receperit.

At plebs Constantinopolitana, cum hæc sub vesperam cognovisset, ad seditionem prorupit. Et prima luce concursu ad ecclesiam facto, tum alia multa vociferati sunt, tum majorem synodum de hac causa cognoscere debere. Et cum ii quibus ab imperatore mandatum fuerat, ut eum in exsilium abducerent, idipsum urgerent, illi reluctabantur. Sed Joannes, veritus ne alterum sibi crimen affingeretur, vel quod principi parere noluisset, vel quod populum ad seditionem concitasset; triduo post latam depositionis sententiam, disperso hinc inde populo, circa meridiem latenter ex ecclesia discessit. Cumque jam abduceretur, populus graviter tumultuatus est, et imperatorem totamque synodum, sed præcipue Theophilum et Severianum, maledictis appetiit. Ambo enim isti

ριανὸς καὶ ἐπὶ ἐκκλησίας τότε διδάσκων, ἐπῄνεσε τὴν
Ἰωάννου καθαίρεσιν, ὡς κατὰ ἀλαζόνος, εἰ καὶ μηδὲν
ἦν ἕτερον[f] ἔγκλημα γεγενημένον[g]· τὰ μὲν γὰρ ἄλλα,
ἔφη, ἁμαρτήματα συγχωρεῖ τοῖς ἀνθρώποις τὸ θεῖον,
4 ὑπερηφάνοις δὲ ἀντιτάσσεται. Ἐπὶ τούτοις δὲ ἐνεμέ-
σησε τὸ πλῆθος, καὶ τὴν ὀργὴν ἀνενέου, καὶ ἀσχέτως
ἐστασίαζε· καὶ οὔτε ἐν ἐκκλησίαις, οὔτε ἐν ἀγοραῖς
ἠρεμεῖν ἠνείχετο· ἅμα δὲ ὀλολυγῇ καὶ ὀδυρμοῖς μέχρι
καὶ αὐτῶν τῶν βασιλείων προϊόντες, ἐδέοντο περὶ τῆς
5 Ἰωάννου ἀνακλήσεως. Εἴξασα δὲ ταῖς ἱκεσίαις τοῦ
δήμου ἡ βασιλὶς, πείθει τὸν ἄνδρα ἐπινεῦσαι· ἐν τάχει
τε Βρίσωνα[h] τὸν ἀμφ' αὐτὴν πιστὸν εὐνοῦχον πέμ-
ψασα, ἐκ Πρενέτου[i] τῆς Βιθυνίας Ἰωάννην ἐπανή-
γαγεν, ἀθῷον εἶναι τῶν κατ' αὐτοῦ βεβουλευμένων
δηλώσασα, καὶ δι' αἰδοῦς αὐτὸν ἔχειν, ὡς ἱερέα καὶ
6 μυσταγωγὸν τῶν αὐτῆς παίδων. Ὁ δὲ ἐπανελθὼν,
ἐν προαστείῳ αὐτῆς τῆς βασιλίδος περὶ τὸν Ἀνά-

[f] ἕτερον ἦν B. ἦν om. Steph.

[g] Proculdubio scribendum est γεγενημένην. Refertur enim ad vocem καθαίρεσιν. VALESIUS.

[h] Ita supra, c. 8, et Socrat. Βρίσσωνα B. et editt.

[i] Πενέτου C. Πρινέτου al. (i. e. J., ut videtur,) Scal.

auctores fuerant insidiarum. Severianus vero cum in ecclesia per id tempus sermonem haberet, depositionis Joannis sententiam laudavit, utpote in hominem arrogantem, etsi nullum aliud crimen esset, prolatam. Cætera enim delicta, ut aiebat, Deus hominibus indulget: superbis autem resistit. Ob hæc populus indignatus est, iramque suam renovavit. Nec jam amplius a seditione revocari poterat; sed tum in ecclesiis, tum in foro tumultuabatur. Denique ad ipsum usque palatium progressi cum ululatu et lamentis, orabant ut Joannes revocaretur. Proinde imperatrix supplicationibus populi victa, marito ut annueret persuasit: missoque confestim Brisone, omnium quos circa se habebat eunuchorum fidelissimo, ex oppido Bithyniæ Preneto Joannem reduxit, scribens se nullatenus participem esse insidiarum quæ adversus illum structæ fuissent, seque illum honore prosequi, ut sacerdotem et initiatorem liberorum suorum. At Joannes reversus in suburbano imperatricis ipsius, circa Anaplum resedit. Nec ante judicium

πλουν διέτριβε· καὶ πρὸ κρίσεως μείζονος συνόδου,
ἵν' εἴη δῆλον ὡς ἀδίκως ἀφῃρέθη τῆς ἐπισκοπῆς, παρ-
ῃτεῖτο τέως τὴν εἰς τὴν πόλιν εἴσοδον. Ἐπεὶ δὲ πάλιν
ὁ λαὸς ἠγανάκτει, καὶ τοὺς κρατοῦντας ἐλοιδόρει, βια-
7 σθεὶς εἰσῆλθεν. Ἐν ψαλμῳδίαις δὲ πρὸς τὸ συμβὰν
πεποιημέναις ὑπαντήσας ὁ δῆμος· ἔφερον δὲ κηροὺς
ἡμμένους οἱ πλείους· ἄγουσιν αὐτὸν ἐπὶ τὴν ἐκκλη-
σίαν. Παραιτούμενόν τε καὶ πολλάκις ἰσχυριζόμενον,
χρῆναι πρότερον τοὺς καταψηφισαμένους αὐτοῦ πάλιν
ἀποψηφίσασθαι, ὡς ἱερεῦσι θέμις ἠνάγκασαν τὴν εἰ-
ρήνην τῷ λαῷ προσειπεῖν, καὶ εἰς τὸν ἐπισκοπικὸν
καθίσαι θρόνον. Ἀναγκασθεὶς δὲ, καὶ σχέδιόν τινα
8 διεξῆλθε λόγον. Ἐκ χαριεστάτης δὲ εἰκόνος τὰς ἀφ-
ορμὰς λαβὼν, ὑπεδήλου Θεόφιλον μὲν ἐνυβρίσαι τὴν
ὑπ' αὐτὸν ἐκκλησίαν ἐπιχειρῆσαι, ὡς τὸν Αἰγυπτίων
βασιλέα τὴν Ἀβραὰμ τοῦ πατριάρχου γαμετὴν, ὡς
αἱ τῶν Ἑβραίων ἱστοροῦσι βίβλοι· τὸν δὲ λαὸν ὡς
εἰκὸς ἐπαινέσας τῆς προθυμίας, καὶ τοὺς κρατοῦντας
τῆς περὶ αὐτὸν εὐνοίας, εἰς πολλοὺς κρότους καὶ
εὐφημίαν τοῦ βασιλέως καὶ τῆς αὐτοῦ γαμετῆς, τὸ 350

majoris synodi, quo palam fieret episcopatum ipsi injuste ademptum fuisse, ingredi in urbem sustinebat. Sed cum populus denuo indignaretur, et imperatores conviciis incesseret, coactus tandem introivit. Porro populus psalmos canens ad præsens negotium compositos, plerique etiam cereos accensos manibus gestantes obviam ei progressi, ad ecclesiam eum deduxerunt. Et quanquam recusantem, ac sæpius affirmantem prius necesse esse, ut qui ipsum condemnaverant, mutata sententia nunc absolverent, compulerunt, uti mos est episcopis, pacem populo dare, et in episcopali solio considere. Coactus itaque, extemporalem quoque habuit orationem. Sumptoque argumento ex elegantissima similitudine, figurate indicavit, Theophilum quidem tentasse vim inferre ecclesiæ suæ, perinde ac olim regem Ægyptium uxori patriarchæ Abrahami, ut refertur in sacris Hebræorum libris: populum vero ob propensum erga se animum, et imperatores ob prolixam benevolentiam, ut par erat, laudibus prosecutus, tantos multitudinis plau-

πλῆθος ἐκίνησεν, ὡς καὶ ἡμιτελῆ καταλιπεῖν τὸν λόγον.

ΚΕΦ. ΙΘ′.

Περὶ τῆς δυστροπίας Θεοφίλου, καὶ περὶ τῆς ἔχθρας Αἰγυπτίων, καὶ τῶν Κωνσταντινουπολιτῶν· καὶ περὶ τῆς φυγῆς Θεοφίλου· καὶ Νιλαμβῶνος[k] τοῦ ἀσκητοῦ, καὶ τῆς περὶ Ἰωάννην συνόδου.

1 Θεόφιλος δὲ ἀπορῶν ὅ τι χρήσαιτο τοῖς παροῦσιν,
οὐκ ἐθάρρει, καίπερ προθυμούμενος, εἰς τὸ φανερὸν
διαβάλλειν Ἰωάννην, ὡς παρανόμως μετὰ καθαίρεσιν
ἱερωμένον. Ἤιδει[l] γὰρ τοῖς κρατοῦσι προσκρούσων,
οἳ διὰ τὴν κίνησιν τοῦ δήμου παραιτούμενον ἐπανελ-
2 θεῖν ἐβιάσαντο. Τοῖς δὲ Ἡρακλείδου κατηγόροις δι-
καστήριον κατὰ ἀπόντος προτέθηκεν[m], οἰηθεὶς ἐντεῦθεν
εὐλογωτέραν πως αἰτίαν εὑρήσειν τῆς Ἰωάννου καθ-
αιρέσεως. Ἀντερούντων δὲ τῶν αὐτοῦ[n] ἐπιτηδείων,
ὡς οὐ νόμιμον οὐδὲ ἐκκλησιαστικὸν, τὸν ἀπόντα κρί-
νεσθαι, τῶν δὲ περὶ τὸν Θεόφιλον τἀναντία ἰσχυρι-
ζομένων, ἐπιλαβόμενοι τῆς ἔριδος τὸ λοιπὸν τῶν

[k] Lege Νιλαμμῶνος.

[l] Ita B. et Niceph., uti Savilius et Valesius monuerant legendum esse. ἤδη editt.

[m] Ita Scal. Vales. προτέθεικεν B. Christ. προέθηκεν C. παρέθηκεν Steph.

[n] αὐτῷ C.

sus totque acclamationes in laudem imperatoris et Augustæ excitavit, ut orationem imperfectam abrumpere sit coactus.

CAPUT XIX.

De improbitate Theophili, deque inimicitiis inter Ægyptios et Constantinopolitanos: et de fuga Theophili. Item de Nilammone monacho: et de synodo pro Joanne collecta.

At Theophilus ambigens quid facto opus esset, licet Joannem publice accusare vellet, quod contra præscripta legum, post depositionem sacerdotio fungeretur, non tamen satis fiduciæ habebat. Norat enim se hoc facto imperatorem et proceres offensurum, qui propter populi seditionem eum invitum redire compulerant. Igitur accusatoribus Heraclidis, judicium contra absentem constituit, ratus ex ea re probabiliorem se causam deponendi Joannis arrepturum. Sed cum amici ejus contradicerent, nec justum, nec ecclesiasticum esse affirmantes, hominem absentem judicare, Theophilus vero cum suis contra niteretur: hinc reliqua Ægyptiorum

Ἀλεξανδρέων καὶ Αἰγυπτίων πλῆθος, καὶ ὁ Κων-
σταντινουπόλεως λαὸς, εἰς ἀλλήλους ἐχώρησαν· ὡς
πολλοὺς τραυματίας γενέσθαι, τινὰς δὲ καὶ ἀπολέσθαι.
3 Δείσαντες δὲ καὶ Σεβηριανὸς καὶ οἱ ἄλλοι ἐπίσκοποι,
πλὴν τῶν τὰ Ἰωάννου φρονούντων, φυγῇ τὴν Κων-
σταντινούπολιν ἀπέλιπον. Καὶ Θεόφιλος δὲ αὐτίκα
μηδὲν ἀναβαλλόμενος, ἤδη τοῦ χειμῶνος ἀρχομένου,
φεύγων ἅμα Ἰσαακίῳ τῷ μοναχῷ ἀπέπλευσεν εἰς
Ἀλεξάνδρειαν. Ἀπὸ δὲ τοῦ πελάγους ὧδε συμβὰν,
κατῆρεν εἰς Γέρας, πόλιν μικρὰν, ἀμφὶ πεντήκοντα
4 στάδια τοῦ Πηλουσίου ἀφεστῶσαν. Τελευτήσαντος
δὲ τότε τοῦ ἐνθάδε ἐπισκόπου, οἱ μὲν πολῖται, ὡς ἐπυ-
θόμην, ἐψηφίσαντο Νιλάμμωνα προστατεῖν τῆς αὐτῶν
ἐκκλησίας, ἄνδρα ἀγαθὸν, καὶ μοναστικῆς φιλοσοφίας
εἰς ἄκρον ἐλθόντα. Ὤικει δὲ πρὸ τοῦ ἄστεος, ἐν οἰ-
κήματι καθείρξας ἑαυτὸν, καὶ λίθοις τὴν θύραν ἀπο-
φράξας. Ἀποφεύγοντα δὲ τὴν ἱερωσύνην, ἐλθὼν πρὸς
αὐτὸν Θεόφιλος, συνεβούλευσε καταδέχεσθαι τὴν παρ'
5 αὐτοῦ χειροτονίαν. Ὁ δὲ πολλάκις παραιτησάμενος

et Alexandrinorum multitudo, inde populus Constantinopolitanus rixari aggressi, in se mutuo impetum fecere. Adeo ut multi vulnerati, quidam etiam interfecti sint. Itaque Severianus et reliqui episcopi metu conterriti, exceptis iis qui Joanni adhærebant, omnes ex urbe aufugerunt. Ipse etiam Theophilus illico nihil cunctatus, ineunte jam hyeme, fugiens una cum Isaacio monacho, in Ægyptum navigavit. Forte accidit ut navis secundo vento appelleret Geras, parvum oppidum, quinquaginta circiter stadiis distans Pelusio. Ejus loci episcopo tunc mortuo, cives quidem, ut accepi, Nilammonem ecclesiæ suæ antistitem elegerant; virum bonum, et qui ad monasticæ philosophiæ culmen pervenerat. Is degebat juxta urbem, in cella, in qua seipsum incluserat et januam lapidibus obstruxerat. Recusabat autem sacerdotium suscipere. Verum Theophilus ad eum accedens, hortari cœpit, ut ordinari se ab ipso pateretur. Ille cum sæpius recusans Theophilo non persuaderet, tandem, Crastino die, inquit, id fac si tibi ita videtur, o pater; ut mihi liceat hodie res meas disponere. Postridie cum ex compacto venisset Theophilus, jussissetque ut januam aperiret: Age, inquit

ὡς οὐκ ἔπειθεν, Αὔριον εἴ σοι φίλον, ἔφη, πρᾶξον ὦ
πάτερ· ὥστέ με σήμερον τὰ κατ' ἐμαυτὸν διαθεῖναι.
Ἐπεὶ δὲ τῇ ὑστεραίᾳ κατὰ τὰ συγκείμενα ἦλθε, καὶ
τὴν θύραν ἀνοίγειν ἐκέλευσεν, Ἄγε δὴ πρότερον, ὁ
Νιλάμμων ἔφη, εὐξώμεθα. Καὶ Θεόφιλος ἐπαινέσας,
ηὔξατο· Νιλάμμων δὲ ἐν τῷ εὔχεσθαι τὴν ἐνθάδε
6 κατέλιπε βιοτήν. Τοῦτο δὲ, τὰ μὲν πρῶτα ἠγνοεῖτο
Θεοφίλῳ καὶ τοῖς ἀμφ' αὐτὸν ἔξωθεν ἑστῶσιν. Ἀνα-
λωθείσης δὲ λοιπὸν τῆς ἡμέρας, ὡς πολλάκις γεγω-
νότερον καλούντων οὐχ ὑπήκουε, καταβαλόντες τοὺς
πρὸ τῆς θύρας λίθους, εὗρον τὸν ἄνδρα νεκρόν· καὶ 351
περιστείλαντες ᾗ ἔδει, δημοσίας ἠξίωσαν ταφῆς· καὶ
εὐκτήριον οἶκον περὶ τὸν αὐτοῦ τάφον ᾠκοδόμησαν οἱ
ἐπιχώριοι· καὶ ἐπισημότατα εἰσέτι νῦν τὴν ἡμέραν
7 τῆς αὐτοῦ τελευτῆς ἄγουσιν. Ὁ μὲν δὴ Νιλάμμων
ὧδε τέθνηκεν, εἴ γε θάνατον δεῖ καλεῖν, ὃν ὑπομεῖναι
ηὔξατο πρὶν ἐπιτραπῆναι τὴν ἱερωσύνην, ἧς ἀνάξιος
εἶναι διὰ μετριότητα τρόπων ἡγεῖτο. Ὁ δὲ Ἰωάννης
ἐπανελθὼν εἰς Κωνσταντινούπολιν, ἔτι μᾶλλον κεχα-
8 ρισμένος τῷ λαῷ ἐφαίνετο. Συνεληλυθότων δὲ τότε

Nilammon, prius vacemus orationi. Tum Theophilus probato ejus consilio, Deum oravit. Nilammon vero inter orandum ex hac vita migravit. Et initio quidem Theophilum et eos qui cum illo extra cellam stabant, ea res latuit. Sed cum maxima pars diei jam consumpta esset, et altiori voce crebro inclamantibus ille nihil responderet, tandem dejectis lapidibus qui ante ostium positi erant, hominem mortuum deprehenderunt. Eumque quo par erat cultu indutum publica sepultura honorarunt. Ecclesiam quoque circa ejus tumulum incolæ ejus loci ædificarunt, diemque illius obitus celeberrimum agere hactenus perseverant. Et Nilammon quidem hoc genere mortis interiit. Si tamen mors vocanda est, quam ille subire maluit, quam episcopatum suscipere, quo quidem ob singularem modestiam se indignum existimabat. Joannes vero Constantinopolim reversus multitudini adhuc gratior apparuit. Porro cum eo tempore sexaginta circiter episcopi Constantinopolim convenissent, statutumque ab illis esset, ut ea quæ apud Quercum gesta

ἐν Κωνσταντινουπόλει ἀμφὶ ἑξήκοντα ἐπισκόπων, ἄκυρά τε τὰ ἐν τῇ Δρυῒ πεπραγμένα, καὶ αὐτὸν ἔχειν τὴν ἐπισκοπὴν ψηφισαμένων, διετέλεσεν ἱερώμενος[o], καὶ χειροτονῶν, καὶ τ' ἄλλα περὶ τὴν ἐκκλησίαν ᾗ θέμις τοῖς προεστῶσι, διέπων. Ἡνίκα καὶ Σαραπίωνα[p] τῆς ἐν Θρᾴκῃ Ἡρακλείας ἐπίσκοπον κατέστησεν.

ΚΕΦ. Κʹ.

Περὶ τοῦ ἀνδριάντος τῆς βασιλίδος· καὶ περὶ τῆς Ἰωάννου διδασκαλίας, καὶ τῆς κατ' αὐτοῦ πάλιν ἀθροισθείσης συνόδου, καὶ καθαιρέσεως.

1 Οὐ πολλῷ δὲ ὕστερον, ἀνδριάντος ἀργυροῦ τῆς
τοῦ βασιλέως γαμετῆς ἐπὶ πορφυροῦ κίονος ἀνατεθέν-
τος, ὃς καὶ νῦν ἐστὶ πρὸς μεσημβρίαν τῆς ἐκκλησίας,
πρὸ τοῦ οἴκου τῆς μεγάλης βουλῆς ἐφ' ὑψηλοῦ βή-
ματος, κρότοι τε καὶ δημώδεις θέαι ὀρχηστῶν τε καὶ
μίμων ἐνθάδε ἐπετελοῦντο, ὡς ἔθος ἦν τότε ἐπὶ τῇ
2 ἀνακλήσει τῶν βασιλικῶν εἰκόνων. Ἐφ' ὕβρει δὲ τῆς
ἐκκλησίας τάδε γεγενῆσθαι, ἐν ὁμιλίᾳ πρὸς τὸν λαὸν

o Rectius cod. Fuk. et Niceph. ἱερώμενος. Quantum vero discrimen afferat accentus mutatio in hac voce, jam supra observavi [ad vii. 21, 6.] VALESIUS. Ita B. ἱερωμένος Steph. Genev.

p Σεραπίωνα B. Steph. Genev.

fuerant, irrita essent, utque Joannes episcopatum retineret: ille deinceps missarum solemnia celebrare, ordinationes facere, et alia in ecclesia disponere, prout sacerdotibus jus fasque est, perseveravit. Quo quidem tempore etiam Serapionem Heracleæ in Thracia episcopum constituit.

CAPUT XX.

De statua Augustæ, et de concione Joannis: et de synodo quæ rursus contra illum congregata est, deque ejus depositione.

Haud multo post, cum argentea imperatricis statua purpureæ columnæ imposita dedicaretur, quæ etiamnum cernitur ad meridianam ecclesiæ plagam, ante ædem magni senatus, super excelso tribunali collocata: plausus illic, et saltatorum ac mimorum publica spectacula edebantur, sicuti tunc mos erat in dedicatione imperialium imaginum. Hæc Joannes ad contumeliam ecclesiæ gesta

ὁ Ἰωάννης διέβαλεν. Ἡ δὲ βασιλὶς, ἔτι προσφάτου οὔσης τῆς μνήμης τῶν προτέρων[q] λυπηρῶν, ὡς ὑβρισμένη πάλιν ἐμπίπλαται[r] θυμοῦ, καὶ σύνοδον αὖθις ἐπιτελεῖσθαι ἐσπούδαζεν. Ὁ δὲ οὐκ ἐνεδίδου· ἀλλ' ἔτι σαφέστερον ἐπ' ἐκκλησίας λοιδορῶν αὐτὴν, ἐξέ-
3 καυσε πρὸς ὀργήν. Ἡνίκα δὴ τὸν ἀοίδιμον ἐκεῖνον διεξῆλθε λόγον, ἀρξάμενος ὧδε, Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ὀρχεῖται, πάλιν Ἰωάννου τὴν κεφαλὴν ἐπὶ πίνακος σπουδάζει λαβεῖν. Οὐκ εἰς μακρὰν δὲ ἄλλοι τε ἐπίσκοποι παρεγένοντο, καὶ Λεόντιος ὁ Ἀγκύρας[s], καὶ Ἀκάκιος ὁ Βερροίας. Ἐπιγενομένης δὲ τῆς γενεθλίου ἡμέρας τοῦ Χριστοῦ, ὁ μὲν βασιλεὺς, ὡς εἰώθει, εἰς τὴν ἐκκλησίαν οὐκ ἦλθεν· ἐδήλωσε δὲ Ἰωάννῃ, μὴ κοινωνεῖν αὐτῷ πρὶν[t] ἀνεύθυνος φανῇ
4 τῶν ἐγκλημάτων[u]. Ἐπεὶ δὲ προθύμως ἀπολογεῖσθαι ἔφη, οἱ κατήγοροι δείσαντες ἐπεξιέναι τοῖς ἐγκλήμασιν οὐκ ἐθάρρουν. Ἐδόκει δὲ τοῖς δικασταῖς, μὴ δέον εἰς

[q] Ita B. πρότερον editt.
[r] ἐμπιπλᾶται C.
[s] Ita B. Ἀγγύρας editt.
[t] πλὴν B.
[u] Ita Vales. tacite: τῶν ἐγκλημάτων φανῇ B. Steph. Genev.

esse, in sermone ad populum criminatus est. Imperatrix vero, cum recens adhuc esset memoria offensarum præteriti temporis, quasi injuriam passa, denuo excanduit: deditque operam ut alia rursus synodus congregaretur. Joannes tamen haudquaquam cessit: sed adhuc apertius eam in ecclesia vituperans, ad iram excitavit. Quo quidem tempore celebrem illam orationem habuit, hunc in modum exorsus: Rursus Herodias furit: rursum saltat: rursum Joannis caput in disco gestit accipere. Elapso deinde brevi temporis spatio, tum alii episcopi, tum Leontius Ancyræ et Acacius Berœæ, Constantinopolim advenerunt. Cumque natalis Christi dies jam adesset, imperator more solito ad ecclesiam non processit: sed Joanni per internuntios significavit, se non communicaturum cum illo, priusquam de objectis criminibus satisfaciens, innocentiam suam approbasset. Cum vero Joannes respondisset, paratum se esse ad causam dicendam, accusatores ejus metu perculsi, accusationem prosequi non sunt ausi. Judicibus vero visum est, eum qui quomodocunque depositus fuisset, ad secundum judi-

δευτέραν χωρεῖν κρίσιν τὸν ὁπωσοῦν καθαιρεθέντα. Καὶ τῶν μὲν ἄλλων οὐδὲν ἐξήταζον· πρὸς τοῦτο δὲ μόνον ἀπολογεῖσθαι τὸν Ἰωάννην ἀπῄτουν, ὅτι καθαιρεθεὶς, πρὶν ἐπιτρέψαι σύνοδον, εἰς τὸν ἐπισκοπικὸν
5 ἐκάθισε θρόνον. Τοῦ δὲ τὴν ψῆφον τῶν κεκοινωνηκότων αὐτῷ μετὰ τὴν προτέραν σύνοδον προϊσχομένου, ὡς πλειόνων αὐτοῦ καταψηφισαμένων, καὶ διὰ τοῦτο ἱερατικοῦ κανόνος ἀπαγορεύοντος, οὐ προσίεντο τὴν ἀπολογίαν. Ἀλλὰ καθεῖλον αὐτὸν, ἑτεροδόξων ἐν-
6 ιστάμενον[x] τοῦτον εἶναι νόμον. Ἐπεὶ γὰρ οἱ ἀπὸ τῆς Ἀρείου αἱρέσεως συκοφαντήσαντες Ἀθανάσιον ἀφείλοντο τὴν Ἀλεξανδρέων ἐκκλησίαν, δέει τῆς τῶν πραγμάτων μεταβολῆς, τάδε ἐνομοθέτησαν, ἀνεξέταστα μένειν τὰ ἐπ' αὐτῷ βεβουλευμένα σπουδάζοντες.

ΚΕΦ. ΚΑ'.

Ὅσα κακὰ συνέβη ἐπὶ τῇ ἐκβολῇ Ἰωάννου τῷ πλήθει, καὶ περὶ τῆς κατ' αὐτοῦ διὰ ξίφους ἐπιβουλῆς.

1 Ὁ δὲ Ἰωάννης καθαιρεθεὶς, οὐκέτι ἐκκλησίαζε· ἀλλ' ἐν τῷ ἐπισκοπικῷ καταγωγίῳ ἠρέμει. Ἤδη δὲ

[x] ἐνιστάμενοι editt. Non dubitavi tamen post Savilium et Valesium emendare, cum non solum ex ipso contextu, verum etiam e Socrate et Nicephoro, satis appareat Sozomenum non scripsisse ἐνιστάμενοι.

cium admitti non debere. Ac de aliis quidem criminibus nullam quæstionem habuerunt: de hoc autem uno Joannem respondere jubebant, quod depositus, antequam synodus ei licentiam dedisset, in episcopali solio consedisset. Cumque ille suffragia eorum proferret qui post priorem synodum cum ipso communicaverant, judices eam defensionem minime admiserunt, eo quod plures fuissent qui ipsum condemnaverant; et sacerdotalis canon id diserte prohiberet. Sed eum deposuerunt, constanter asseverantem, illum esse canonem hæreticorum. Nam cum Ariani concinnatis adversus Athanasium calumniis, Alexandrinam ecclesiam ei ademissent, mutationem temporum formidantes, eam regulam condiderunt: studiose videlicet caventes, ut ea quæ adversus illum machinati fuerant, indiscussa remanerent.

ληγούσης τῆς τεσσαρακοστῆς, κατ' αὐτὴν τὴν ἱερὰν νύκτα, ἐν ᾗ ἡ ἐτήσιος ἑορτὴ ἐπὶ ἀναμνήσει[y] τῆς ἀναστάσεως τοῦ Χριστοῦ ἐπιτελεῖται, ἐξωθοῦνται τῆς ἐκκλησίας οἱ τὰ αὐτοῦ φρονοῦντες, ἐπιθεμένων αὐτοῖς ἔτι μυσταγωγοῦσι στρατιωτῶν, καὶ τῶν αὐτοῦ δυσμε-
2 νῶν. Ἀπροόπτου δὲ τούτου συμβάντος, πολὺς περὶ τὸ βαπτιστήριον ἐγένετο θόρυβος, γυναίων μὲν μετ' οἰμωγῆς ταραττομένων, παιδίων δὲ κλαιόντων, ἱερέων δὲ καὶ διακόνων τυπτομένων τε, καὶ πρὸς βίαν ὡς εἶχον σχήματος ἐλαυνομένων. Τ' ἄλλα δὲ οἷα εἰκὸς ἦν γενέσθαι ἐν ἀταξίᾳ τοσαύτῃ, οἱ μυηθέντες οὐκ ἀγνοοῦσιν· ἐγὼ δὲ ἀναγκαίως σιγήσομαι, μὴ καὶ
3 ἀμύητός τις ἐντύχῃ τῇ γραφῇ. Αἰσθόμενοι δὲ καὶ τὸ λοιπὸν πλῆθος τὴν ἐπιβουλὴν, τῇ ὑστεραίᾳ καταλιπόντες τὴν ἐκκλησίαν, ἐν δημοσίῳ λουτρῷ πολυχωρήτῳ μάλα, Κωνσταντίου τοῦ βασιλέως ἐπωνύμῳ, τὸ Πάσχα ἐπετέλεσαν, ὑπὸ ἐπισκόποις καὶ πρεσβυτέροις,

[y] ἀναμνήσεως J. Scal.

CAPUT XXI.

Quanta mala populo acciderint, post expulsum Joannem: et de insidiis per sicarios ei structis.

Porro Joannes sententia episcoporum depositus, ad ecclesiam amplius non processit: sed in episcopali domo quietus manebat. Exeunte autem quadragesima, in ipsa sacra nocte in qua anniversaria festivitas in memoriam resurrectionis dominicæ celebratur, fautores Joannis pelluntur ex ecclesia, militibus et quibusdam Joannis inimicis, in eos baptismi sacramenta adhuc peragentes, impetum facientibus. Quæ res cum præter exspectationem accidisset, ingens tumultus in baptisterio exortus est: mulieribus ejulantibus ac turbatis; pueris plorantibus; sacerdotibus vero ac diaconis vapulantibus, et in eo quo erant cultu atque ornatu, violenter fugatis. Cætera quæ in ejusmodi perturbatione evenisse verisimile est, fideles quidem non ignorant: ego vero de industria silentio præteribo, ne quis forte nondum initiatus, ea hic legat conscripta. Reliqua autem populi multitudo, cum insidias intellexisset, postridie relicta ecclesia, in publico lavacro admodum spatioso, quod imperatoris Constantii nomine nuncupatur, Pascha

καὶ λοιποῖς ἄλλοις, οἷς θέμις τὰ περὶ τὴν ἐκκλησίαν 353
διέπειν· οἳ δὴ τῷ λαῷ συνῆσαν, τὰ Ἰωάννου φρο-
4 νοῦντες. Ἐλαθέντες δὲ ἔνθεν, συνῆλθον πρὸ τοῦ
ἄστεος εἴς τινα χῶρον, ὃν Κωνσταντῖνος ὁ βασιλεὺς
μήπω τὴν πόλιν συνοικίσας[z], εἰς ἱπποδρόμου θέαν
ἐκάθηρε, ξύλοις περιτειχίσας· ἐξ ἐκείνου τε πῇ μὲν
ἐνθάδε, πῇ δὲ ἑτέρωθι ᾗ ἐξῆν, ἰδίᾳ ἐκκλησίαζον, καὶ
5 Ἰωαννῖται ὠνομάζοντο. Περὶ δὲ τοῦτον τὸν χρόνον
ἄνθρωπός τις δαιμονῶν ἢ νομιζόμενος, ἐγχειρίδιον
ἔχων[a] ὡς ἐπὶ σφαγὴν Ἰωάννου παρεσκευασμένος,
οὔπω δὲ ἐπιχειρήσας τῷ πράγματι, φωρᾶται· καὶ
ὑπὸ τοῦ πλήθους ὡς ὠνητὸς εἰς τὴν ἐπιβουλὴν συλ-
ληφθεὶς, ἄγεται πρὸς τὸν ὕπαρχον. Ἐπισκόπους δέ
τινας τῶν ἀμφ' αὐτὸν ἀποστείλας Ἰωάννης, ἐξείλετο
6 τοῦτον πρὶν αἰκισθῆναι. Εἰς ὕστερον δὲ καὶ Ἐλπι-
δίου πρεσβυτέρου, ὃς προφανὴς ἐχθρὸς διακόνου[b]
ἐτύγχανε, δοῦλος δρομαῖος εἰς τὸν ἐπισκοπικὸν οἶκον

[z] Ita C. uti jam conjecerat Valesius. συνοικήσας ceteri. Cf. supra, c. 17, 3.

[a] ἔχειν B. Steph. Genev. ἔχων Christoph. quem Valesius secutus est.

[b] Supervacaneum est διακόνου, aut pro eo, ut Valesius conjecit, legendum est Ἰωάννου. Vide adnott.

celebrarunt, sub episcopis et presbyteris, et cæteris aliis quibus res ecclesiasticas administrare jus fasque est: qui tum, ut Joanni faventes, cum populo versabantur. Verum cum inde expulsi essent, convenerunt in locum extra urbem, quem imperator Constantinus civitate nondum condita, ad circensium ludorum spectaculum complanaverat, et asseribus circumsepserat. Atque ex eo tempore modo istic, modo alibi, prout copia dabatur, seorsum collectas egere, et Joannitæ vulgo dicebantur. Per idem tempus vir quidam dæmoniacus, aut dæmoniacum simulans, deprenditur, pugionem habens, tanquam ad Joannem occidendum paratus, nondum tamen id facinus aggressus. Qui comprehensus a multitudine, perinde ac si pretio conductus fuisset ad cædem faciendam, ad præfectum urbis perductus est. Sed Joannes, missis quibusdam episcopis ex numero eorum quos circa se habebat, hominem liberavit priusquam tormentis subjiceretur. Posthæc servus quoque Elpidii presbyteri, qui diaconi aperte erat inimicus, effuso cursu

εἰσβάλλεται[c]. Ἐπιγνοὺς δέ τις αὐτὸν τῶν παρατυχόντων, ἐπέσχε, τοῦ δρόμου τὴν αἰτίαν πυθόμενος.
7 Ὁ δὲ μηδὲν ἀποκριθεὶς, παραχρῆμα ξιφιδίῳ παίει τὸν ἄνδρα, καὶ μετ' ἐκεῖνον ἕτερον ἐπιβοήσαντα τῇ τοῦ πρώτου πληγῇ· νύττει δὲ καὶ τρίτον ἐπὶ τούτοις. Θορυβησάντων δὲ σὺν βοῇ τῶν παρόντων, ὑποστρέψας ἔφυγε. Παρακελευομένων δὲ τῶν διωκόντων τοῖς πόρρωθεν συλλαμβάνεσθαι τὸν φεύγοντα, προσδραμών τις ἐκ βαλανείου λελουμένος ἀναχωρῶν ἐπελά-
8 βετο αὐτοῦ, καὶ καιρίαν πληγεὶς ἔκειτο νεκρός. Ἐπεὶ δὲ κυκλωθεὶς μόλις ὑπὸ τοῦ πλήθους ἐθηρεύθη[d], ἄγουσιν αὐτὸν εἰς τὰ βασίλεια. Καὶ μαρτυρόμενοι τῶν ἀπεχθανομένων Ἰωάννῃ τὴν ἐπιβουλὴν, καὶ τὸν φονέα καὶ τοὺς ἐπὶ τοῦτο ἀναπείσαντας ἐπεβόων τιμωρίαν δοῦναι. Παραλαβὼν δὲ τοῦτον ὁ ὕπαρχος ὡς ἐπεξιὼν τῇ δίκῃ, διέλυσε τοῦ δήμου τὴν ὀργήν.

[c] Ita B. Steph. Genev. εἰσέβαλλεν Vales. εἰσέβαλεν Christ. ἐσέβαλεν Scal. [d] ἐθηράθη C.

in ædes episcopales irrupit. Quem quidam ex iis qui forte illic aderant, cum agnovisset, impetum ejus repressit, causam cursus interrogans. Ille nullo responso dato, protinus hominem sica percutit: alterum deinde qui priore percusso inclamaverat, similiter vulneravit. Tertium quoque præter illos transfixit. Tandem vero cum omnes qui aderant commoti, clamorem ingentem sustulissent, ille aversus fugere cœpit. Et cum ii qui illum persequebantur, procul positis inclamarent ut fugientem comprehenderent, accurrens quidam ex balneo qui jam lotus domum redibat, hominem apprehendit: letalique vulnere ab eo percussus, exanimis concidit. Ad extremum cum a populo undique circumdatus, ægre admodum captus esset, ductus est in palatium. Testatique cives has esse insidias inimicorum Joannis, clamabant et sicarium et eos qui illum ad hoc incitavissent, pœnas dare oportere. Præfectus autem urbis, cum eum tanquam judicaturus accepisset, populi furorem compescuit.

ΚΕΦ. ΚΒʹ.

Ὡς ἐξηλάθη τοῦ θρόνου ἀδίκως ὁ Ἰωάννης, καὶ περὶ τυῦ γενομένου θορύβου· καὶ περὶ τοῦ πεμφθέντος τῇ ἐκκλησίᾳ θεηλάτου πυρὸς, καὶ περὶ τῆς εἰς Κουκουσὸν αὐτοῦ ἐξορίας.

1 Ἐξ ἐκείνου δὲ τὸν Ἰωάννην ἐφύλαττον οἱ τοῦ λαοῦ σπουδαιότεροι, νύκτωρ καὶ μεθʼ ἡμέραν, ἀμοιβαδὸν παρακαθήμενοι τὸν ἐπισκοπικὸν οἶκον. Σύγχυσιν δὲ ἐπαιτιώμενοι τῶν ἐκκλησιαστικῶν νόμων οἱ κατὰ αὐτοῦ συνεληλυθότες ἐπίσκοποι, ἐπὶ σφᾶς αὐτοὺς ἔφασαν δικαιοτάτην οὖσαν ἀναδεδέχθαι[e] τὴν ἐπʼ αὐτῷ κρίσιν, καὶ τῆς πόλεως αὐτὸν ἐξιέναι ἐκέλευσαν· 354
2 ἄλλως γὰρ μηδὲ τὸ πλῆθος ἠρεμήσειν. Παραγενομένου δὲ τοῦ ἀπὸ βασιλέως, καὶ ταῦτα σὺν ἀπειλῇ ποιεῖν προστάξαντος, λαθὼν τοὺς ἀπὸ τοῦ λαοῦ φύλακας ἐξῆλθε· τοσοῦτον μεμφόμενος, ὅτι γέ παρανόμως πρὸς βίαν ἐλαύνεται, μὴ ἀξιωθεὶς κρίσεως, ἧς καὶ ἀνδροφόνοις καὶ γόησι καὶ μοιχοῖς μέτεστιν ἐκ νόμων. Καὶ διὰ μικροῦ σκάφους περαιοῦται αὐτίκα

[e] Ita B. Steph. Genev. ἀναδέχεσθαι tacite Vales. Vide adnott.

CAPUT XXII.

Quomodo Joannes sede sua injuste pulsus est: et de tumultu subsecuto: deque igne in ecclesiam cœlitus immisso. Et quomodo Cucusum missus fuerit in exsilium.

Ab hinc ii qui ferventiores erant ex plebe, Joannem custodire cœperunt, noctu atque interdiu episcopalem domum alternis circumsidentes. Porro episcopi qui adversus Joannem convenerant, ecclesiasticas leges calcari conquerentes, damnationis sententiam in eum latam, utpote justissimam, in semetipsos recipere se aiebant: jubebantque ut ex civitate excederet: alioqui nec populum unquam quieturum esse. Sed cum quidam ab imperatore missus advenisset, et minaciter præcepisset Joanni ut id faceret, insciis populi custodibus qui ex plebe ipsum custodiebant, clam egressus est: id tantummodo questus, quod contra leges per vim ejiceretur, denegato ipsi judicio, quod homicidis et maleficis et adulteris, juxta leges concederetur. Parvoque impositus navigio, protinus in Bithyniam transportatur; atque inde confestim iter arripuit.

εἰς Βιθυνίαν· ἐκεῖθέν τε παραχρῆμα εἴχετο τῆς ὁδοῦ.
3 Προϊδόντες δέ τινες τῶν ἐπιβουλευόντων αὐτῷ, ὡς εἰ
αἴσθοιτο ὁ λαὸς, ἐπιδιώξει, καὶ πάλιν βιάσεται ἐπαν-
ελθεῖν, φθάσαντες ἀποκλείουσι τὰς θύρας τῆς ἐκκλη-
σίας. Ἐπεὶ δὲ οἱ ἀνὰ τὰς ἀγυιὰς ἔγνωσαν, οἱ μὲν
δρομαῖοι ἠπείγοντο πρὸς θάλασσαν, ὡς δὴ καταλη-
ψόμενοι· οἱ δὲ, περιδεεῖς γενόμενοι, εἰς φυγὴν ἠλαύ-
νοντο, ὡς ἐπὶ τοσούτῳ θορύβῳ καὶ ταραχῇ στάσεως[f]
4 καὶ βασιλέως ὀργῆς προσδοκωμένης. Οἱ δὲ ἐν τῇ
ἐκκλησίᾳ ἔτι μᾶλλον ἔφραττον τὰς ἐξόδους, ἐπὶ ταύ-
τας συρρέοντες καὶ περιωθοῦντες ἀλλήλους[g]. Μόλις
δὲ τὰς θύρας ἐπέτασαν σὺν βίᾳ πολλῇ, τῶν μὲν λί-
θοις κατεαξάντων, τῶν δὲ πρὸς ἑαυτοὺς ἀνθελκόντων,
καὶ τὸν κατὰ νώτου ὄχλον[h] εἰς τοὐπίσω ἀπωθουμέ-
νων. Ἐν τούτῳ δὲ πῦρ ἐξαπίνης πάντοθεν τὴν ἐκ-
κλησίαν ἐπεβόσκετο· καὶ πᾶσαν διαδραμὸν, ἐνεμήθη
καὶ τὸν[i] παρακείμενον αὐτῇ ἐκ μεσημβρίας μέγιστον
5 οἶκον τῆς συγκλήτου βουλῆς. Τούτου δὲ τὴν αἰτίαν
ἀντεπῆγον ἀλλήλοις· οἱ μὲν Ἰωάννῃ ἐπιβουλεύοντες,

[f] [A στάσεως ad ἐπὶ ταύτας om. Steph. suppl. Christ. Curt. Scal. ἐφράττοντο autem pro ἔφραττον legentes.]
[g] ἀλλήλοις J.
[h] τῶν—ὄχλων B.
[i] ἐπὶ τὸν Niceph.

Nonnulli vero ex Joannis insidiatoribus, prævidentes si populus id sensisset, fore ut insequeretur ac rursus eum redire cogeret, fores ecclesiæ occludere properarunt. Porro qui in plateis erant, cum hæc cognovissent, alii ad mare cucurrerunt, tanquam eum assecuturi: alii metu conterriti, fugam arripuerunt, cum post tantum tumultum tantamque perturbationem, seditio et imperatoris ira exspectaretur. Hi vero qui in ecclesia erant, adhuc magis aditus obstruebant, ad portas confluendo, et semetipsos mutuo impellendo. Tandem vero ægre portas magna vi reserarunt, cum alii eas lapidibus perfregissent, alii ad se retraherent, et turbam quæ a tergo erat, retrorsus repellerent. Dum hæc aguntur, ignis repente exortus ecclesiam undiquaque corripuit: et cum universam percucurrisset, ædem quoque amplissimam senatus, quæ illi ad meridiem vicina erat, combussit. Cujus rei culpam sibi mutuo adscribebant: Joannis quidem insidiatores, accusando fautores illius, quod

*τοὺς τὰ αὐτοῦ φρονοῦντας ἐπαιτιώμενοι, ὡς χαλεπή-
ναντας πρὸς τὴν τῆς συνόδου ψῆφον· οἱ δὲ, συκο-
φαντεῖσθαι ἰσχυριζόμενοι, καὶ τὴν ἐκείνων πρᾶξιν
σφίσι περιτρέπειν, ἅμα τῇ ἐκκλησίᾳ καὶ αὐτοὺς πυρ-
6 πολῆσαι βουλευσαμένων. Ἀπὸ δείλης δὲ ὀψίας μέ-
χρις ἕω τοῦ πυρὸς περαιτέρω χωροῦντος, καὶ πρὸς
τὰς ἔτι συνεστώσας ὕλας ἕρποντος, οἱ μὲν ἐπιδιώξαν-
τες Ἰωάννην εἰς Κουκουσὸν δίηγον τῆς Ἀρμενίας,
βασιλέως γράμματι καταδικασθέντα τὴν ἐκεῖσε οἴκη-
7 σιν. Οἱ δὲ τοὺς ξυνελθόντας αὐτῷ ἐπισκόπους καὶ
κληρικοὺς ἀγαγόντες, ἐν Χαλκηδόνι καθεῖρξαν. Ἄλ-
λοι δὲ περιϊόντες ἀνὰ τὴν πόλιν, τοὺς καταμηνυομέ-
νους τὰ αὐτοῦ φρονεῖν, συνελαμβάνοντο καὶ ἐφρού-
ρουν· καὶ ἀναθεματίζειν αὐτὸν ἠνάγκαζον.*

ΚΕΦ. ΚΓ'.

Περὶ Ἀρσακίου τοῦ μετὰ Ἰωάννην προχειρισθέντος, καὶ ὅσα κακὰ τοῖς προσ-κειμένοις Ἰωάννῃ εἰργάσατο· καὶ περὶ τῆς ὁσίας Νικαρέτης.

1 *Οὐ πολλῷ δὲ ὕστερον χειροτονεῖται Κωνσταντι-
νουπόλεως ἐπίσκοπος Ἀρσάκιος, Νεκταρίου τοῦ πρὸ*

synodi judicium moleste tulissent; isti vero calumniam se pati asseverantes, sibique imputari facinus illorum, qui ipsos una cum ecclesia incendere voluissent. Porro dum ignis a vespera usque ad diluculum ad ulteriora progreditur, et ad materias quæ adhuc integræ stabant serpit, hi qui Joannem prosequebantur, Cucusum Armeniæ eum perduxerunt, ubi degere literis principis jussus fuerat. Alii episcopos et clericos qui una cum Joanne profecti fuerant, Chalcedonem abductos, custodiæ manciparunt. Alii per urbem circumeuntes, eos qui delati fuerant quod Joanni faverent, comprehenderunt; et in custodiam datos, ut Joanni anathema dicerent coëgerunt.

CAPUT XXIII.

De Arsacio qui post Joannem electus est, et quantis malis affecerit eos qui Joanni favebant. Item de beata Nicarete.

Haud multo post Constantinopolitanæ ecclesiæ episcopus ordinatur Arsacius, frater Nectarii ejus qui ante Joannem episcopatum

Ἰωάννου ταύτην τὴν ἐπισκοπὴν διανύσαντος ἀδελφός· ἀνὴρ πρᾶος, καὶ περὶ τὸ θεῖον εὐλαβής· ἔβλαψαν δὲ τὴν ἐν τῷ πρεσβυτερίῳ περὶ αὐτοῦ κρατοῦσαν[i] δόξαν κληρικοί τινες, ποιοῦντες μὲν ἅπερ ἐβούλοντο, αὐτῷ δὲ ταῦτα ἀνατιθέντες· διέβαλε δὲ αὐτὸν μάλιστα καὶ τὰ συμβάντα μετὰ ταῦτα περὶ τοὺς Ἰωάννου
2 ἐπαινέτας. Ἐπεὶ γὰρ αὐτῷ καὶ τοῖς αὐτῷ συνοῦσι[k] 355
κοινωνεῖν ἢ συνεύχεσθαι οὐκέτι ἀνεκτὸν ἡγοῦντο, ἀναμεμιγμένων αὐτοῖς τῶν ἐπιβούλων Ἰωάννου, καθ' ἑαυτοὺς δὲ, ὡς εἴρηται, συνιόντες[l] ἐν ταῖς ἐσχατιαῖς τῆς πόλεως ἐκκλησίαζον, κοινοῦται βασιλεῖ περὶ τούτου. Συνηγμένοις δὲ συνταγματάρχης ἅμα στρατιώταις ἐμβαλεῖν ἐπιτραπεὶς, τὸ μὲν πλῆθος παίων ξύλοις καὶ λίθοις, εἰς φυγὴν τρέπει· τοὺς δὲ ἐπισημότερον καὶ προθυμότερον τὰ Ἰωάννου ζηλοῦντας, ἐν
3 φρουρᾷ ποιεῖται. Ἐνταῦθα δὲ, οἷα συμβαίνειν φιλεῖ, στρατιωτῶν ἐπιτραπέντων νεανιεύεσθαι, γύναια πρὸς

[i] κρατοῦσαν περὶ αὐτοῦ B.

[k] In cod. Fuk. συνιοῦσι, rectius, ut opinor. Atque ita legisse videtur Nicephorus. Nam pro his verbis, hæc substituit, τῇ αὐτοῦ ἐκκλησίᾳ. VALESIUS.

[l] Ita C. quemadmodum conjecerant Savilius et Valesius. συνιέντες ceteri.

illum rexerat: vir mansuetus et erga Deum religiosus. Verum laudem illam quam omnium consensu adeptus fuerat presbyter, imminuerunt postea clerici quidam, qui quodcunque ipsis libitum fuerat agebant: facta vero illi imputabant. Sed præcipue infamarunt illum ea quæ Joannis fautoribus postmodum acciderunt. Nam cum illi haudquam sustinerent, nec cum ipso, nec cum consortibus ipsius, communicare aut precationem facere, eo quod permixtos illis videbant Joannis inimicos: atque idcirco seorsum, uti diximus, congregati, in extremis civitatis partibus collectas celebrarent, ipse de ea re ad imperatorem retulit. Tribunus itaque cum militibus in congregatos impetum facere jussus, plebem quidem fustibus et saxis cædens, fugere compulit. Nobiliores vero, et eos qui Joannis partes ardentius tuebantur, custodiæ tradidit. Tum vero, sicut fieri solet, cum militibus licentia conceditur, mulieres ornatu suo per vim spoliatæ sunt, dum alii monilia, zonas

βίαν τοῦ κόσμου[m], τῶν μὲν ὅρμους καὶ ζώνας χρυσᾶς
καὶ περιδέραια καὶ στρεπτοὺς ληϊζομένων· τῶν δὲ
σὺν αὐτοῖς λοβοῖς ἐξελκόντων τὰ ἐνώτια. Μεγίστης
δὲ ταραχῆς καὶ οἰμωγῆς ἀνὰ τὴν πόλιν συμβάσης,
οὐδ' οὕτως μετέθεντο τοῦ περὶ Ἰωάννην φίλτρου.
4 Δημοσίᾳ δὲ οὐκέτι συνῄεσαν· πολλοὶ δέ, οὔτε εἰς
ἀγοράν, οὔτε εἰς βαλανεῖα ἐφοίτων· τισὶ δὲ καὶ τὸ
οἴκοι μένειν, οὐκ ἀκίνδυνον ἦν· καὶ φυγὴν ἑαυτοῖς
ἐπιτάξαντες, τῆς πόλεως ἐξῆλθον, ἄλλοι τε ἄνδρες
σπουδαῖοι[n], καὶ ἀγαθαὶ γυναῖκες· ὧν ἦν Νικαρέτη ἡ
Βιθυνὴ[o], τῶν παρὰ Νικομηδεῦσιν εὐπατριδῶν ἐπισή-
μου γένους, ἐπὶ ἀϊδίῳ παρθενίᾳ καὶ ἀρετῇ βίου εὐδο-
5 κιμοῦσα. Ἀτυφοτάτην δὲ ὧν ἴσμεν σπουδαίων γυ-
ναικῶν ταύτην ἔγνων, ἤθει τε καὶ λόγῳ καὶ διαίτῃ
τεταγμένην, καὶ τὰ θεῖα μέχρι θανάτου τῶν βιωτικῶν[p]
προτιμῶσαν[q]· ἀνδρείᾳ τε καὶ φρονήσει πρὸς περι-
πετείας δυσχερῶν πραγμάτων ἀντισχεῖν ἱκανήν· ὡς

[m] Deest verbum ἀφῃρέθησαν. VALESIUS.

[n] σπουδαῖοι ἄνδρες B.

[o] Βιθυνὶς C.

[p] In codice Fuketiano pro vocabulo βιωτικῶν, scriptum est ἀνθρωπίνων, quemadmodum etiam legitur apud Niceph. xiii. 25. VALESIUS. ἀνθρωπινῶν B. Christ.

[q] Literulam ν omissam addidi, sicut Valesius admonuit, quamvis προτιμῶσα codd. et edd., mendo manifesto.

aureas et torques diripiunt: alii inaures simul cum auriculis ipsis detrahunt. Cumque ingens perturbatio ac luctus in urbe exstitisset, ne sic quidem pristinam erga Joannem benevolentiam abjecerunt. Ac publice quidem non amplius conveniebant. Multi vero nec in forum, nec ad balnea procedebant. Quibusdam vero ne tutum quidem erat domi manere: sed indicto sibi ipsis exsilio, urbe excedebant cum alii multi viri boni, tum honestæ mulieres. Ex quibus fuit Nicarete Bithyna, nobili genere apud Nicomedienses orta, ob perpetuam virginitatem, et ob vitæ sanctimoniam celeberrima. Erat hæc omnium quas quidem novi religiosarum mulierum modestissima: in moribus et sermone ac victu modum atque ordinem servans. Usque ad exitum vitæ semper divina rebus humanis anteposuit: animi quoque fortitudine et prudentia

μήτε πολλῆς πατρῴας περιουσιας ἀδίκως ἀφαιρεθεῖ-
σαν ἀγανακτεῖν, ἐν ὀλίγοις τε περιλειφθεῖσιν, ὑπὸ
ἀρίστης οἰκονομίας, καίπερ εἰς γῆρας προελθοῦσαν,
τὰ ἐπιτήδεια σὺν τοῖς οἰκείοις ἔχειν, καὶ ἄλλοις ἀφθό-
6 *νως χορηγεῖν. Ὑπὸ φιλανθρώπου δὲ προθυμίας φι-*
λόκαλος οὖσα, καὶ παντοδαπὰ παρεσκεύαζε φάρμακα
εἰς πτωχῶν νοσούντων χρείαν· οἷς δὴ πολλοῖς τῶν
γνωρίμων πολλάκις ἐπήρκεσε μηδὲν ἀποναμένοις τῶν
συνήθων ἰατρῶν. Σὺν θείᾳ γάρ τινι ῥοπῇ, ἅπερ ἐπε-
χείρει εἰς χρηστὸν ἀπέβαινε τέλος· καὶ συλλήβδην
εἰπεῖν, τῶν καθ' ἡμᾶς σπουδαίων γυναικῶν ἑτέραν
οὐκ ἔγνων, εἰς τοσοῦτον ἤθους τε καὶ σεμνότητος καὶ
7 *τῆς ἄλλης ἀρετῆς ἐπιδοῦσαν. Ἀλλ' ἡ μὲν, καίπερ*
τοιάδε οὖσα, τοὺς πολλοὺς ἐλάνθανεν· ὑπὸ μετριό-
τητος γὰρ τρόπων, καὶ φιλοσοφίας, ἀεὶ λανθάνειν
ἐπετήδευεν· ὡς μήτε εἰς ἀξίωμα διακόνου σπουδάσαι
προελθεῖν, μήτε προτρεπομένου πολλάκις Ἰωάννου
ἑλέσθαι ποτὲ παρθένων ἐκκλησιαστικῶν ἡγεῖσθαι.
8 *Μεγίστου δὲ φόβου πᾶσιν ἐμπεσόντος, ἐπειδὴ δῆλον* 356

ad tolerandos adversæ fortunæ casus prædita fuit. Adeo ut cum amplissimo patrimonio injuste spoliata esset, minime tamen indignaretur: sed paucis sibi relictis, propter bonam ac prudentem dispensandi rationem, ipsa licet provecta jam ætate, una cum domesticis necessaria cuncta haberet, et aliis abunde suppeditaret. Porro cum esset admodum ingeniosa, et promptæ erga omnes humanitatis, medicamenta diversi generis præparabat ad usus pauperum ægrotantium. Per quæ multis etiam familiaribus suis sæpenumero subvenit, qui ex medicis suis nullum fructum perceperant. Nam divino adspirante nutu, quæcunque aggressa fuerat, felicem exitum sortiebantur. Denique ut compendio dicam, nullam ex religiosis nostri temporis feminis novi, quæ ad tantum modestiæ, gravitatis, reliquarumque virtutum fastigium pervenerit. Verum licet talis tantaque esset, plerisque ignota erat. Nam ob modestiam animi, ac philosophiæ studium, perpetuo latere studebat: ita ut nec honorem diaconissæ unquam ambierit, nec virginibus ecclesiasticis præesse, licet Joanne sæpius eam hortante, voluerit. Cum igitur ingens metus omnibus injectus esset, tandem ubi ap-

ἦν μηκέτι στασιάζειν τὸ πλῆθος, δημοσίᾳ προελθὼν ὁ τῆς πόλεως ὕπαρχος, ὡς ἐξετάσων τὰ περὶ τῆς πυρᾶς καὶ τοῦ βουλευτηρίου, πολλοὺς χαλεπῶς ἐτιμωρήσατο· ἕλλην γὰρ ὤν, ὡς ἐπεγγελῶν ταῖς συμφοραῖς τῆς ἐκκλησίας, καὶ πρὸς ἡδονὴν ἔσχε τὸ συμβάν.

ΚΕΦ. ΚΔʹ.

Περὶ Εὐτροπίου τοῦ ἀναγνώστου, καὶ τῆς μακαρίας Ὀλυμπιάδος, καὶ περὶ τοῦ πρεσβυτέρου Τιγρίου, οἷα διὰ τὸν ἐπίσκοπον Ἰωάννην ἔπαθον· καὶ περὶ πατριαρχῶν.

1 Ἐν δὲ τῷ τότε καὶ Εὐτρόπιός τις ἀναγνώστης παραχθεὶς ἐπὶ τῇ καταμηνύσει τῶν ἐμβαλόντων τὸ πῦρ, οὔτε βοείαις οὔτε ξύλοις οὔτε ὄνυξι ξαινόμενος πλευράς τε καὶ παρειάς, ἐπὶ τούτοις τε καὶ τὸν ὑφαπτόμενον τῷ σώματι πυρσὸν ὑπομείνας, καὶ ταῦτα νέος καὶ ἁπαλόχρως ὤν, οὐδὲν ὡμολόγησεν εἰδέναι. Μετὰ δὲ τὰς βασάνους, ἐγκλείεται εἰς τὸ δεσμωτή-
2 ριον· ἔνθα δὴ οὐκ εἰς μακρὰν ἐτελεύτησεν. Ἄξιον δὲ τῇ γραφῇ παραδοῦναι καὶ τὸ συμβὰν ἐπ' αὐτῷ ὄναρ. Σισινίῳ γὰρ τῷ ἐπισκόπῳ τῆς τῶν Ναυατια-

paruit populum non amplius tumultuari, præfectus urbis in publicum procedens tanquam quæstionem habiturus de incendio et de curiæ conflagratione, multos gravibus suppliciis affecit. Nam cum esset paganus, ecclesiæ calamitatibus insultans, eo quod acciderat oblectabatur.

CAPUT XXIV.

De Eutropio lectore, et de beata Olympiade, et Tigrio presbytero, quanta passi sint Joannis episcopi causa. Item de patriarchis.

Eodem tempore et Eutropius quidam lector, ad indicandos eos qui ignem ecclesiæ injecerant, in judicium inductus tametsi loris et fustibus cæderetur, et latera ei ac genæ unguibus lacerarentur; quamvis faces ardentes corpori admotas sustinuisset, idque adhuc adolescens et teneri corporis, nihil se scire confessus est. Qui post tormenta in carcerem conjectus, illic animam haud multo post exhalavit. Porro operæ pretium fuerit, etiam somnium quod de illo factum est, huic operi inserere. Etenim Sisinio Novatia-

νῶν αἱρέσεως ἤδη καθεύδοντι, ἀνήρ τις κάλλει καὶ μεγέθει περιφανέστατος, παρεστὼς τῷ θυσιαστηρίῳ τῆς αὐτῶν ἐκκλησίας, ἣν εἰς τιμὴν Στεφάνου τοῦ πρωτομάρτυρος[r] ᾠκοδόμησεν, ἔδοξεν ἀδημονεῖν ἐπὶ σπάνει ἀγαθῶν ἀνδρῶν, ὡς τούτου χάριν τὴν πᾶσαν πόλιν περιεληλυθὼς, καὶ μηδένα εὑρὼν ἢ μόνον Εὐ-
3 τρόπιον. Πρὸς δὲ τὴν ὄψιν καταπλαγεὶς ὁ Σισίνιος, πρός τινα τῶν ὑπ' αὐτὸν πιστοτάτων πρεσβυτέρων ὁμολογήσας τὸ ὄναρ, ἐκέλευσεν ἀναζητεῖν τὸν ἄνδρα ὅστις εἴη. Ὁ δὲ, εὐστόχως συμβαλὼν ὡς ἐν τοῖς ἔναγχος ἐπὶ τοῦ ὑπάρχου βασανισθεῖσιν εἰκὸς εἶναι τοιοῦτον, περιϊὼν τὰ δεσμωτήρια, ἐπυνθάνετο εἴ τις ἐστὶν ἐν αὐτοῖς Εὐτρόπιος. Καὶ εὑρὼν, εἰς λόγους αὐτῷ ἦλθε, καὶ διηγήσατο τοῦ ἐπισκόπου τὸ ὄναρ· καὶ δακρύων εὔχεσθαι ὑπὲρ αὐτοῦ ἐλιπάρει· καὶ τὰ
4 μὲν κατὰ Εὐτρόπιον ὧδε ἔσχεν. Ἀνδρεία δὲ ἐν ταύταις ταῖς συμφοραῖς ἀνεφάνη καὶ Ὀλυμπιὰς ἡ διάκονος. Ἐπεὶ γὰρ ἐκ ταύτης τῆς αἰτίας εἰς τὸ δικαστήριον παρήχθη, πυθομένου τοῦ ὑπάρχου τί δήποτε τὴν ἐκκλησίαν ἐνέπρησεν, ὑπολαβοῦσα, Οὐχ αὕτη,

[r] πρωτομαρτυρήσαντος B.

norum episcopo dormienti, vir quidam pulcritudine et statura eximius, stans ad altare ecclesiæ ipsorum, quam in honorem Stephani protomartyris ædificaverant, visus est, dolore confectus ob penuriam bonorum virorum : quippe qui ejus rei causa totam civitatem peragrasset, nec ullum præter Eutropium reperisset. Quo viso stupefactus Sisinius, cum cuidam presbytero suo cui maxime confidebat, somnium suum narrasset, exquirere eum jussit, quisnam vir ille esset. Ille cum recte conjecisset, hunc omnino unum esse ex illis quos paulo ante præfectus torqueri jusserat, carceres circumiens, percontatus est num quis Eutropius illic esset. Cumque reperisset, allocutus est illum, et episcopi somnium ei retulit : et lacrymabundus, ut pro se Deum precaretur rogavit. Atque hæc sunt quæ Eutropio contigerunt. Jam vero Olympias quoque diaconissa, in hoc rerum discrimine fortitudinem animi sui declaravit. Nam cum eandem ob causam in judicium adducta esset,

ἔφη, τοῦ ἐμοῦ βίου ἡ προαίρεσις· πολλὴν γὰρ οὖσαν εἰς ἀνανέωσιν ναῶν Θεοῦ τὴν οὐσίαν ἀνάλωσα. Τοῦ δὲ τὸν αὐτῆς βίον ἐπίστασθαι λέγοντος, Οὐκοῦν εἰς κατηγόρου τάξιν μετάβηθι, ἔφη, καὶ ἕτερος ἡμῖν δι-
5 *κάσει. Ἀμαρτύρου δὲ τῆς κατηγορίας οὔσης, μὴ ἔχων ὁ ὕπαρχος ὅ, τι δικαίως μέμψαιτο, ἠπιώτερόν πως εἰς ἕτερον μετέβη ἔγκλημα· καὶ ὡς ἐν συμβουλῇ, ἄνοιαν αὐτῇ καὶ ταῖς ἄλλαις γυναιξὶν ἐμέμφετο, ὅτι τὴν πρὸς* 357
τὸν[a] *ἐπίσκοπον κοινωνίαν ἠρνοῦντο*[t], *ἐξὸν μεταμελη-*
6 *θῆναι καὶ πραγμάτων ἀπηλλάχθαι. Ἀλλ' αἱ μέν, ὑπὸ δέους τάδε τῷ ὑπάρχῳ προστάξαντι εἶξαν· ἡ δὲ Ὀλυμπιάς, Οὐ δίκαιον, ἔφη, τὴν ἐν τῷ πλήθει ὑπὸ συκοφαντίας ἁλοῦσαν, ἐν δὲ τοῖς δικαστηρίοις ἐπ' οὐδενὶ τῶν κατηγορουμένων διελεγχθεῖσαν εἰς ἀπολογίαν ἕλκεσθαι μέμψεων ἀνευθύνων· ἐπίτρεψον οὖν*

[a] Ita B. uti monuerat legendum esse Valesius: εἰς τὸν ceteri.

[t] In cod. Fuk. ἠρνοῦντο, longe rectius meo quidem judicio. Eodem fere modo loquitur Constantinus imperator in epistola ad Alexandrum et Arium: ἡ μὲν κοινωνία ἠρνήθη. VALESIUS. ἠροῦντο, suprascript. ν ab alia manu, B. ᾑροῦντο Steph. Genev. ἡ μὲν σύνοδος ἠρνήθη Euseb. Vit. Const. ii. 69. Socrat. i. 7, 3: in quo loco citando Valesius memoria lapsus est.

interroganti præfecto cur ecclesiam incendisset, respondit: Non est hoc vitæ meæ institutum. Ego enim facultates meas quæ multæ erant et maximæ, templis Dei instaurandis impendi. Cumque ille diceret, sibi probe cognitam esse illius vivendi rationem, subjecit illa: Tu ergo in accusatoris locum transi, et alius de nobis judicet. Porro cum accusatio testibus destitueretur, præfectus nihil habens quod jure culparet, paulo clementius ad aliud crimen se convertit. Ac veluti consulendi gratia, tam Olympiadi, quam reliquis mulieribus amentiam exprobravit, quæ communionem episcopi sui aversarentur: cum resipiscere ipsis liceret, seque ipsas molestiis omnibus liberare. Sed cæteræ quidem præfecto ista præcipienti cesserunt. Olympias vero; Minime æquum est, inquit, ut quæ in multitudine per calumniam capta, in judicio vero nullius criminis convicta sum, ad defensionem trahar querelarum quæ in judicium non venerint. Permitte igitur mihi, ut adversus priorem accusationem patronos adhibeam. Nam si

*μοι, πρὸς τὴν προτέραν γραφὴν συνηγόρους προστή-
σασθαι· εἰ γὰρ παρανόμως βιασθείην οἷς μὴ δεῖ
7 κοινωνεῖν, οὐ ποιήσω ἃ μὴ θέμις τοῖς εὐσεβοῦσιν. Ὁ
δὲ, ὡς οὐκ ἔπεισεν αὐτὴν Ἀρσακίῳ κοινωνεῖν, τότε
μὲν ἠφίει ὡς συνηγόρους διδάξουσαν· ἐν ἑτέρᾳ δὲ
παραγαγὼν, πολλοῦ χρυσίου κατεδίκασεν· ᾤετο γὰρ
οὕτως αὐτὴν μεταθήσειν τῆς γνώμης. Ἀλλ' ἡ μὲν
τῶν χρημάτων ὑπεριδοῦσα, οὐ καθυφῆκε· καὶ κατα-
λιποῦσα τὴν Κωνσταντινούπολιν, ἐν Κυζίκῳ διέτρι-
8 βεν. Ἐν δὲ τῷ τότε καιρῷ καὶ Τίγριος[u] πρεσβύτερος
τῆς ἐσθῆτος γυμνωθεὶς, καὶ κατὰ νώτου μαστιγωθεὶς,
πόδας καὶ χεῖρας δεδεμένος διαταθεὶς, διελύθη τὰ ἄρ-
9 θρα. Ἐγένετο δὲ οὗτος βάρβαρος τὸ γένος, οὐκ ἐκ
γενετῆς[x] εὐνοῦχος· ἐν οἰκίᾳ δέ τινος τῶν ἐν δυνάμει
τὰ πρῶτα δουλεύσας, καὶ ἐπαινεθεὶς παρὰ τοῦ κεκτη-
μένου, μετέσχεν ἐλευθερίας. Εἰς πρεσβυτέρου δὲ
ἀξίαν προελθὼν, τῷ χρόνῳ διεφάνη τὸ ἦθος ἐπιεικέ-
στατος, καὶ πρᾶος, καὶ περὶ τοὺς δεομένους καὶ ξέ-
νους, εἴ πέρ τις ἄλλος, δεξιώτατος. Καὶ τὰ μὲν ἐν*

u Τίγριν vocat Socrat. vi. 15, 15. x γενητῆς B.

contra jus ac leges coacta fuero communicare illis quibus non oportet, non faciam id quod piis nefas est facere. Præfectus ergo cum ei persuadere non posset ut cum Arsacio communicaret, tum quidem eam dimisit, quo advocatos suos instrueret. Altero autem die cum eam exhiberi jussisset, magno auri pondere mulctavit. Sic enim illam a sententia sua sese abducturum putabat. Verum illa pecunias contemnens, nullatenus cessit: et relicta Constantinopoli, in urbe Cyzico domicilium fixit. Tunc etiam Tigrius presbyter vestimentis exutus, et tergo flagris cæsus, vinctisque pedibus ac manibus in eculeo extensus, membris dissolutus est. Erat hic barbarus natione, eunuchus quidem, sed non ab origine. Qui cum in domo cujusdam potentis servus fuisset, domino suo probatus, libertatem meruerat. Postea vero ad presbyterii gradum promotus, processu temporis, moribus commodissimis præditus apparuit, et placidus atque erga pauperes ac peregrinos, si quisquam alius, benignissimus. Et hæc quidem gesta

10 Κωνσταντινουπόλει τοιάδε ἦν. Ἐν τούτῳ δὲ Σιρικίου τὴν Ῥωμαίων ἐπισκοπὴν δέκα[y] καὶ πέντε διανύσαντος ἔτη, Ἀναστασίου δὲ τρία, μετὰ τοῦτον Ἰνο-
11 κέντιος ταύτην ἐπλήρου τὴν διαδοχήν. Ἐτελεύτησε δὲ καὶ Φλαβιανὸς, μὴ συνθέμενος τῇ Ἰωάννου καθαιρέσει· διαδέχεται δὲ τὴν Ἀντιοχέων ἐκκλησίαν Πορφύριος· καὶ ἐπειδὴ τοῖς κατ' αὐτοῦ κεχρημένοις ἐπεψηφίσατο, πολλοὶ τῶν ἐν Συρίᾳ τῆς ἐνθάδε ἐκκλησίας ἐχωρίσθησαν· καθ' ἑαυτούς τε τὰς συνόδους ποιούμενοι πραγμάτων καὶ πλείστων δεινῶν ἐπει-
12 ράθησαν. Χάριν γὰρ τῆς πρὸς Ἀρσάκιον κοινωνίας, καὶ Πορφύριον τοῦτον καὶ Θεόφιλον τὸν Ἀλεξανδρείας ἐπίσκοπον, σπουδῇ τῶν ἐν τοῖς βασιλείοις δυνατῶν, νόμος ἐτέθη τοὺς ὀρθῶς δοξάζοντας ἐκτὸς τῶν ἐκκλησιῶν μὴ συνιέναι, τοὺς δὲ μὴ κοινωνοῦντας αὐτοῖς, ἐλαύνεσθαι.

y πέντε καὶ δέκα B. Steph. Genev. tacite mutavit Vales.

sunt Constantinopoli. Per idem tempus, cum Siricius annis quindecim, et post eum Anastasius tribus annis episcopatum Romanæ urbis administrasset, Innocentius in eorum locum successit. Antiochiæ vero mortuus est Flavianus, qui Joannis depositioni haudquaquam consenserat. Cujus loco Porphyrius Antiochensis ecclesiæ sacerdotium suscepit. Qui cum condemnationi Joannis subscripsisset, multi in Syria ab ecclesiæ illius communione sese abruperunt: et seorsum collectas celebrantes, multas ærumnas ac molestias perpessi sunt. Etenim in gratiam communionis Arsacii et hujus quem diximus Porphyrii, et Theophili Alexandriæ episcopi, studio eorum qui in palatio plurimum poterant, lata lex est, ne orthodoxi extra ecclesias convenirent, utque ii qui cum supradictis non communicarent, expellerentur.

ΚΕΦ. ΚΕʹ.

358

Ὅτι τῆς ἐκκλησίας κακῶς ἐχούσης, καὶ τὰ κοσμικὰ κακῶς διέκειντο πράγματα. Καὶ τὰ κατὰ Στελίχωνα τὸν Ὀνωρίου στρατηγόν.

1 Περὶ δὲ τοῦτον τὸν χρόνον, ὡς ἐπίπαν συνενεχθὲν
εὑρεῖν ἐστὶν ἐν ταῖς τῶν ἱερέων διχονοίαις, καὶ τὰ
κοινὰ θορύβων καὶ ταραχῆς ἐπειράθη. Καὶ Οὖννοι
μὲν τὸν Ἴστρον περαιωθέντες, τοὺς Θρᾷκας ἐδῄουν.
Οἱ δὲ ἐν Ἰσαυρίᾳ λῃσταὶ εἰς πλῆθος ἀθροισθέντες,
μέχρι Καρῶν καὶ Φοινίκων, τὰς ἐν μέσῳ πόλεις καὶ
2 κώμας ἐκακούργουν. Στελίχων δὲ ὁ Ὀνωρίου στρα-
τηγὸς, ἀνὴρ εἴπέρ τις πώποτε ἐν πολλῇ δυνάμει γε-
γενημένος, Ῥωμαίων τε καὶ βαρβάρων τοὺς νέους
πειθομένους ἔχων[1], εἰς ἔχθραν καταστὰς τοῖς Ἀρκα-
δίου ἄρχουσιν, ἐβεβούλευτο πρὸς ἑαυτὰ συγκροῦσαι
3 τὰ βασίλεια. Καὶ στρατηγοῦ Ῥωμαίων ἀξίωμα
παρὰ[a] Ὀνωρίου προξενίσας Ἀλαρίχῳ τῷ ἡγουμένῳ
τῶν Γότθων, Ἰλλυριοῖς ἐπανέστησεν· ὕπαρχόν τε

[1] ἔχων om. B. Steph. Genev. tacite inseruit Vales.

[a] Ita C, ut Valesius conjecerat, qui monuit quoque vocem omissam esse in cod. Fuk. περὶ editt.

CAPUT XXV.

Quomodo ecclesia turbata, respublica quoque male affecta fuit. Et de Stilicone Honorii comite.

Eodem tempore, sicut in sacerdotum dissensionibus fere evenisse reperies, respublica quoque turbis ac motibus agitata est. Etenim Hunni trajecto Istro, Thraciam vastarunt. Latrones quoque Isauri, coacta ingenti multitudine, urbes omnes quæ inter Cariam et Phœnicen interjacent, una cum vicis populati sunt. Adhæc Stilico magister militum Honorii, vir omnium sui temporis potentissimus, qui Romanorum et barbarorum juventutem sibi obsequentem habebat, cum adversus Arcadii comites inimicitias suscepisset, utrumque imperium mutuo inter se committere decrevit. Cumque Alarico Gothorum duci dignitatem magistri militum ab Honorio impetravisset, eum adversus Illyrios direxit.

αὐτῶν[b] καταστάντα Ἰόβιον προπέμψας, συνέθετο 2
συνδραμεῖσθαι μετὰ τῶν Ῥωμαίων στρατιωτῶν· 3
ὥστε δῆθεν[c] καὶ τοὺς τῇδε ὑπηκόους ὑπὸ τὴν Ὀνω-
4 ρίου ἡγεμονίαν ποιῆσαι. Παραλαβὼν δὲ Ἀλάριχος τοὺς ὑπ' αὐτὸν ἐκ τῆς πρὸς τῇ Δαλματίᾳ καὶ Παννονίᾳ βαρβάρου γῆς οὗ διῆγεν, ἧκεν εἰς τὰς Ἠπείρους· καὶ συχνὸν ἐνταῦθα προσμείνας χρόνον, ἐπανῆλθεν εἰς Ἰταλίαν. Μέλλων γὰρ ἐκδημεῖν ὡς ὡμολόγησε Στελίχων, Ὀνωρίου γράμμασιν ἐπεσχέθη. Καὶ τὰ μὲν ἐν τούτοις ἦν.

ΚΕΦ. Κϛʹ.

Ἐπιστολαὶ δύο Ἰνοκεντίου Πάπα Ῥώμης, πρὸς τὸν Χρυσόστομον Ἰωάννην, καὶ πρὸς τὸν κλῆρον Κωνσταντινουπόλεως ὑπὲρ Ἰωάννου.

1 Μαθὼν δὲ Ἰνοκέντιος ὁ Ῥωμαίων ἐπίσκοπος τὰ κατὰ Ἰωάννου πεπραγμένα, ἐχαλέπαινε· καὶ τῶν μὲν κατέγνω· οἰκουμενικὴν δὲ σύνοδον συναγεῖραι[d] σπουδάζων, ἔγραψεν Ἰωάννῃ, ἐν μέρει τε τοῖς Κωνσταν-

[b] αὐτὸν cod. Fuk. Valesius infra, ad ix. 4. Steph. Genev. tacite mutavit Vales.

[c] δῆθεν post ὑπηκόους habet B.

[d] συναγεῖραι σύνοδον B.

Præmissoque Jovio qui præfectus prætorii creatus fuerat, pollicitus est se cum Romanis militibus adventurum, ut eam provinciam Honorii ditioni adjungeret. Igitur Alaricus assumptis quibus præerat Gothis, ex barbarorum regione ubi degebat, quæ est juxta Dalmatiam ac Pannoniam, in Epirum venit. Ubi cum diu moratus fuisset, in Italiam reversus est. Etenim Stilico, cum profecturus esset, sicut inter ipsos convenerat, Honorii literis fuerat retardatus. Et hæc quidem ita se habebant.

CAPUT XXVI.

Epistolæ duæ Innocentii Papæ: altera ad Joannem Chrysostomum, altera ad clerum Constantinopolitanum pro Joanne.

Porro Innocentius Romanæ urbis episcopus, cognitis iis quæ adversus Joannem gesta fuerant, vehementer commotus est. Et ea quidem damnavit. Cum autem œcumenicam synodum congregare studeret, scripsit ad Joannem, et seorsum ad clericos urbis Constantinopolitanæ. Utramque epistolam ex Latino ser-

τινουπόλεως κληρικοῖς. Ἑκατέραν δὲ ἐπιστολὴν ἐκ τῆς Ῥωμαίων φωνῆς εὑρὼν παρεθέμην· ἔχει δὲ ὧδε[e].

2 Τῷ ἀγαπητῷ ἀδελφῷ Ἰωάννῃ Ἰνοκέντιος[f]. Εἰ καὶ
πάντα δεῖ τὸν ἀναίτιον προσδοκᾷν τὰ χρηστὰ, καὶ παρὰ
τοῦ Θεοῦ τὸν ἔλεον αἰτεῖν, ὅμως καὶ παρὰ ἡμῶν τὴν
ἀνεξικακίαν συμβουλευόντων, τὰ καθήκοντα γράμματα
διὰ Κυριακοῦ τοῦ διακόνου ἐξαπέσταλται· ὥστε μὴ πλέον
δυνηθῆναι τὴν ὕβριν ἐν τῷ συντρίβειν τὸ ἀγαθὸν συνειδὸς,
3 ἐν τῷ ἐλπίζειν[g]. Οὐδὲ γὰρ ὀφείλεις διδαχθῆναι ὁ τοσού-
των λαῶν[h] διδάσκαλος καὶ ποιμὴν, τοὺς ἀρίστους ἀεὶ καὶ
πολλάκις δοκιμάζεσθαι, εἰ ἐν τῇ ἀκμῇ τῆς ὑπομονῆς παρα-
μένουσι, καὶ οὐδενὶ πόνῳ κακοπαθείας ὑποπίπτουσι. Καὶ
ἔστιν ὡς ἀληθῶς[i] βέβαιον πρᾶγμα τὸ συνειδὸς εἰς πάντα
4 τὰ ἀδίκως συμπίπτοντα. Ἅπερ εἰ μὴ κινήσειέ τις ὑπο-

[e] Supplendum est nonnihil, fortasse μεταβληθεῖσαν, post Niceph. ἔχει δὲ ὧδε. Εἰ καὶ B.

[f] In cod. Fuk. hic titulus legitur, τῷ ἀγαπητῷ ἀδελφῷ Ἰωάννῃ Ἰνοκέντιος. Qui titulus omitti non debuit. Ad marginem autem adscripta sunt hæc, ἐπιστολὴ Ἰνοκεντίου. VALESIUS. Ἐπιστολὴ Ἰνοκεντίου ὑπὲρ τοῦ Χρυσοστόμου titulum habent Steph. Genev. neutrum habet Niceph.

[g] Proculdubio scribendum est ἐν τῷ συντρίβειν, ἢ τὸ ἀγαθὸν συνειδὸς ἐν τῷ ἐλπίζειν. VALESIUS.

[h] λαὸς B.

[i] Olim conjeceram scribendum esse transpositis vocabulis καὶ ὥς ἐστιν ἀληθῶς, ut ad præcedentia referatur. Si cui tamen displicet hæc conjectura, equidem non magnopere succensebo. VALESIUS.

mone in Græcum translatam cum repererim, hic apponendam esse duxi. Sunt autem hujusmodi.

Dilecto fratri Joanni Innocentius. Etsi innocens prospera omnia exspectare et a Deo misericordiam petere debet, tamen etiam a nobis qui patientiam suademus, competentes literæ per Cyriacum diaconum sunt transmissæ; ne contumelia plus virium habeat ad opprimendum, quam bona conscientia ad spem confirmandam. Neque enim tu docendus es, tot populorum doctor et pastor, optimos quosque semper et assidue probari, utrum in vigore patientiæ permaneant, nec ulli labori ac molestiæ succumbant: Et quod conscientia omnino firmissima res sit adversus omnia quæ injuste accidunt. Quæ nisi quis tolerantia superaverit, malæ

μένων, τεκμήριον φαύλης ὑπολήψεως ἐκφέρει. Πάντα
γὰρ ὑπομένειν ὀφείλει, ὁ[k] τῷ Θεῷ πρῶτον, εἶτα καὶ τῷ
ἰδίῳ πεποιθὼς συνειδότι· ὁπότε μάλιστα γυμνάζεσθαι εἰς
ὑπομονὴν ὁ καλὸς καὶ ἀγαθὸς δύναται· νικᾶσθαι δὲ οὔ[l].
Ἐπειδήπερ αὐτοῦ τὴν διάνοιαν αἱ θεῖαι γραφαὶ φυλάτ-
5 τουσι. Καὶ[m] περιττεύουσιν[n] ὑποδείγμασιν αἱ θεῖαι ἀνα-
γνώσεις, ἃς τοῖς λαοῖς παραδιδόαμεν· αἵτινες πάντας
σχεδὸν τοὺς ἁγίους καταπεπονῆσθαι διαφόρως καὶ συνε-
χῶς ἐπιστώσαντο, καὶ δοκιμάζεσθαι καθάπερ ἔν τινι
διαγνώσει, οὕτω τε εἰς τὸν στέφανον τῆς ὑπομονῆς ἐλη-
6 λυθέναι. Παραμυθείτω τὴν ἀγάπην σου αὐτὸ τὸ συνειδὸς, 360
ἀδελφὲ τιμιώτατε, ὅπερ ἐν ταῖς θλίψεσιν ἔχει τὴν παρα-
μυθείαν τῆς ἀρετῆς. Ἐποπτεύοντος γὰρ τοῦ δεσπότου
Χριστοῦ, ἐν τῷ λιμένι τῆς εἰρήνης καθαρισθεῖσα ἡ συνεί-
δησις στήσεται.

7 [o]Ἰνοκέντιος ἐπίσκοπος πρεσβυτέροις καὶ διακόνοις καὶ παντὶ τῷ κλήρῳ καὶ τῷ λαῷ τῆς Κωνσταντινουπόλεως ἐκκλησίας τοῖς ὑπὸ τὸν ἐπίσκοπον Ἰωάννην, ἀγαπητοῖς

[k] ὁ om. Niceph.

[l] Ita B. Steph. Genev. Niceph. οὐκ Vales.

[m] καὶ om. B. Steph. Niceph. inseruit Christoph.; recepit Vales.

[n] περιττεύουσι γὰρ Niceph.

[o] In cod. Fuk. hæc ad latus leguntur adscripta, additis etiam his verbis καὶ λαϊκούς. VALESIUS.

suspicionis argumentum aliis de se præbet. Cuncta enim tolerare debet is qui Deo primum, deinde conscientiæ suæ confidit. Quippe vir bonus exerceri quidem potest ad tolerantiam; superari vero non potest, cum divinæ scripturæ mentem ejus muniant atque custodiant. Abundant enim exemplis lectiones sacræ, quas populis exponimus. Quæ universos fere sanctos variis modis vexatos, et tanquam in examine quodam probatos esse testantur, atque ita ad tolerantiæ coronam pervenisse. Consoletur ergo caritatem tuam ipsa animi conscientia, frater carissime, quæ in calamitatibus solet esse virtutis consolatio. Inspectante enim domino nostro Christo, in portu pacis purgata conscientia consistit.

Innocentius episcopus presbyteris et diaconis, et universo clero ac populo ecclesiæ Constantinopolitanæ, quæ est sub Joanne epi-

8 ἀδελφοῖς χαίρειν. Ἐκ τῶν γραμμάτων τῆς ὑμετέρας
ἀγάπης, ἅ τινα διὰ Γερμανοῦ τοῦ πρεσβυτέρου καὶ Κα-
σιανοῦ τοῦ διακόνου ἀπεστάλκατε, τὴν σκηνὴν τῶν κακῶν
ἣν πρὸ τῶν ὀφθαλμῶν ἐθήκατε, ἐμμερίμνῳ[p] φροντίδι
κατέμαθον· ὅσαις τε ἡ πίστις κάμνει ταλαιπωρίαις τε[q]
καὶ πόνοις, ἐπαναληφθείσῃ[r] πολλάκις τῇ ἀναγνώσει κατεῖ-
9 δον. Ὅπερ πρᾶγμα μόνη ἡ παράκλησις τῆς ὑπομονῆς
ἰᾶται. Δώσει γὰρ ἐν τάχει ὁ ἡμέτερος Θεὸς ταῖς τοσαύ-
ταις θλίψεσι τέλος, καὶ ταῦτα συνοίσει ὑπενηνοχέναι[s].
Ἀλλὰ γὰρ αὐτὴν τὴν ἀναγκαίαν παράκλησιν, ἐν ἀρχῇ
τῆς ἐπιστολῆς τῆς ὑμετέρας ἀγάπης κειμένην, ἐγκωμιά-
ζοντες ὑμῶν τὴν πρόθεσιν[t] ἐπεγνώκαμεν, πολλὰς πρὸς τὸ
10 ὑπομένειν μαρτυρίας περιέχουσαν. Τὴν γὰρ ἡμετέραν
παράκλησιν ἣν ὠφείλομεν[u] ὑμῖν ἐπιστεῖλαι, τοῖς ὑμετέ-
ροις γράμμασι προεφθάσατε. Ταύτην γὰρ τοῖς κάμνου-
σιν ὁ ἡμέτερος δεσπότης ὑπομονὴν παρέχειν εἴωθεν· ἵνα
καὶ ἐν ταῖς θλίψεσι τυγχάνοντες, ἑαυτοὺς οἱ τοῦ Χριστοῦ
δοῦλοι παραμυθῶνται· ἀναλογιζόμενοι ἐν ἑαυτοῖς[x] καὶ

[p] ἐνμερίμνῳ Niceph.

[q] τε om. Niceph.

[r] ἐπαναληφθείσας Niceph. mendose.

[s] Ita Christoph. Scal. Vales. συνενηνοχέναι B. Steph. Genev.

[t] σύνεσιν J. Christ. Scal.

[u] ὀφείλομεν Niceph.

[x] Ita tacite Valesius. ἑαυταῖς B. Steph. Genev. αὐταῖς Niceph.

scopo, dilectis fratribus salutem. Ex literis caritatis vestræ, quas per Germanum presbyterum et Cassianum diaconum misistis, scenam malorum quam ob oculos posuistis, anxia sollicitudine cognovi: quantisque ærumnis et calamitatibus fides laboret, repetita sæpius lectione perspexi. Quam quidem rem sola consolatio patientiæ sanare potest. Dabit enim brevi Deus noster finem tantis tribulationibus, et hæc tolerasse proficiet. Enimvero hanc ipsam necessariam consolationem in exordio literarum caritatis vestræ positam, propositum vestrum laudantes agnovimus, multis testimoniis ad patientiam hortantibus confirmatam. Nam consolationem nostram quam per literas nostras vobis afferre debebamus, vos ipsi literis in vestris prævenistis. Hanc siquidem Dominus noster patientiam laborantibus præbere solet, ut famuli Christi etiam in tribulationibus semetipsos consolentur; apud se repu-

πρότερον γεγενῆσθαι τοῖς ἁγίοις ἅπερ αὐτοὶ πάσχουσι.
11 Καὶ ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ὑμετέρων γραμμάτων δυνάμεθα ὑμῖν[y] προσενέγκαι παράκλησιν. Οὐ γὰρ τοῦ συναλγεῖν ὑμῖν ἐσμὲν ἀλλότριοι, ἐπειδήπερ καὶ ἡμεῖς κολαζόμεθα ἐν ὑμῖν. Τίς γὰρ ἐνέγκαι δυνήσεται τὰ ἐξαμαρτανόμενα ὑπ' ἐκείνων, οὕς τινας ἐχρῆν μάλιστα τοῦ γαληνοῦ τῆς εἰρήνης, καὶ αὐτῆς σπουδαστὰς εἶναι τῆς ὁμονοίας; Νῦν ἐξηλλαγμένῳ [z]τρόπῳ ἀπὸ τῆς προεδρίας τῶν ἰδίων
12 ἐκκλησιῶν ἐξωθοῦνται ἀθῷοι ἱερεῖς. Ὃ δὴ καὶ πρῶτος ὁ ἀδελφὸς ἡμῶν καὶ συλλειτουργὸς Ἰωάννης ὁ ὑμέτερος ἐπίσκοπος ἀδίκως πέπονθε, μηδεμιᾶς τυχὼν ἀκροάσεως. Οὐδὲν ἔγκλημα ἐπιφέρεται, οὐδ' εἰσακούεται. Καὶ τίς ἡ ἀπηγορευμένη ἐπίνοια; ἵνα μὴ πρόφασις κρίσεως γένηται, ἢ ζητηθῇ, εἰς τόπους ζώντων ἱερέων ἄλλοι ἀποκαθίστανται[a], ὡς δυναμένων τῶν ἐκ τοιούτου πλημμελήματος ὁρμωμένων, ὀρθῶς τι ἔχειν ἢ πεπρᾶχθαι ὑπό[b] τινος κριθῆ-

[y] Sensus postulat ut pro ὑμῖν scribamus ἡμῖν. Quod tamen miror neque a Lango, neque a Musculo animadversum fuisse. VALESIUS.

[z] Ita B. Steph. Genev. Niceph. ἐνηλλαγμένῳ Christoph. Scal. Vales.

[a] Melius scriberetur ὑποκαθίστανται. Quod verbum infra occurrit in hac epistola, ἐπειδήπερ οὐδὲ ἐπίσκοπος δύναται εἶναι ἐκεῖνος, ὃς ἀδίκως ὑποκαθίσταται. Ubi codex Fuketii scriptum habet ἀποκαθίσταται, male ut opinor. VALESIUS.

[b] ἢ ὑπό Niceph.

tantes, sanctis viris jam antea contigisse ea quæ ipsi patiuntur. Sed et nos ex ipsis literis vestris consolationem nobis mutuari possumus. Neque enim a doloris vestri consortio alieni sumus; quippe qui affligimur in vobis. Quis enim ferre possit ea quæ ab illis admissa sunt, quos præ cæteris decebat, tranquillitatis ac pacis et concordiæ esse studiosos? Nunc præpostero more ex sedibus ecclesiarum suarum exturbantur innoxii sacerdotes. Quod quidem primus ac præcipuus injuste perpessus est frater et comminister noster Joannes, episcopus vester qui in judicio auditus non est. Nullum crimen profertur, nullum auditur. Et quodnam est hoc perditum consilium? ne sit, aut ne quæratur ulla species judicii, in locum viventium sacerdotum alii substituuntur: quasi qui ab hoc facinore auspicati sunt, aliquid boni habere, aut aliquid recti egisse, a quoquam judicari possint. Neque enim talia

13 ναι. Οὐδὲ γὰρ πώποτε παρὰ τῶν πατέρων τῶν ἡμετέρων
τοιαῦτα τετολμῆσθαι ἐγνώκαμεν· ἀλλὰ μᾶλλον κεκωλύ-
σθαι, τῷ μηδενὶ[c] εἰς τόπον ζῶντος χειροτονεῖν ἄλλον 361
δεδόσθαι ἐξουσίαν· οὐ γὰρ χειροτονία ἀδόκιμος τὴν τιμὴν
δύναται ἀφελέσθαι τοῦ ἱερέως, ἐπειδήπερ οὐδὲ ἐπίσκοπος
14 δύναται εἶναι ἐκεῖνος, ὃς ἀδίκως ὑποκαθίσταται. Ὅτι καὶ[d]
περὶ τῆς τῶν κανόνων παραφυλακῆς, τούτοις δεῖν ἕπεσθαι
γράφομεν, οἵ τινες ἐν Νικαίᾳ εἰσὶν ὡρισμένοι, οἷς μόνοις
ὀφείλει ἐξακολουθεῖν ἡ καθολικὴ ἐκκλησία, καὶ τούτους
15 γνωρίζειν. Εἰ δὲ ἕτεροι[e] ὑπό τινων προφέρονται[f], οἵ τι-
νες ἀπὸ τῶν κανόνων τῶν ἐν Νικαίᾳ διαφωνοῦσι, καὶ ὑπὸ
αἱρετικῶν ἐλέγχονται συντετάχθαι, οὗτοι παρὰ τῶν καθο-
λικῶν ἐπισκόπων ἀποβάλλονται. Τὰ γὰρ ὑπὸ τῶν αἱρε-
τικῶν εὑρεθέντα, ταῦτα οὐκ ἔστι τοῖς καθολικοῖς κανόσι
προσάπτειν· ἀεὶ γὰρ διὰ τῶν ἐναντίων καὶ ἀθέσμων
16 τὴν τῶν ἐν Νικαίᾳ μειοῦν βουλὴν ἐθέλουσιν. Οὐ μόνον
οὖν[g] λέγομεν τούτοις μὴ δεῖν ἐξακολουθεῖν, ἀλλὰ μᾶλλον
αὐτοὺς μετὰ αἱρετικῶν καὶ σχισματικῶν δογμάτων εἶναι
κατακριτέους, καθάπερ καὶ πρότερον γέγονεν ἐν τῇ Σαρ-

[c] τὸ μηδενὶ Niceph.
[d] Mallem scribere ἔτι δὲ etc. VALESIUS.
[e] ἕτεροί τινες C.
[f] Ita tacite Valesius. προσφέρονται B. Steph. Genev. Niceph.
[g] οὖν om. B. Steph. Genev. tacite inseruit Vales.

unquam a patribus nostris gesta esse comperimus, sed potius prohibita, cum nemini licentia data sit in locum viventis alium ordinandi. Reproba enim ordinatio honorem sacerdotis auferre non potest: quandoquidem is episcopus omnino esse nequit, qui injuste substituitur. Quod autem spectat ad canonum observantiam, solis illis parendum esse dicimus, qui Nicææ definiti sunt. Quos solos canones sectari et agnoscere debet ecclesia catholica. Quod si a quibusdam alii proferantur qui a Nicænis canonibus dissentiant, et ab hæreticis compositi esse arguantur, hi a catholicis episcopis rejiciendi sunt. Nam quæ ab hæreticis sunt excogitata, ea catholicis regulis adjungere non licet. Quippe illi perpetuo id agunt ut Nicænorum patrum consilium evertant. Non solum igitur illos canones non sequendos esse dicimus, verum etiam una cum hæreticis ac schismaticis dogmatibus penitus condemnandos, quemadmodum etiam in Serdicensi synodo jam

δικῇ συνόδῳ ὑπὸ τῶν πρὸ ἡμῶν ἐπισκόπων. Τὰ γὰρ
πραχθέντα[h] κατακρίνεσθαι μᾶλλον προσῆκεν, ἢ ἄντικρυς
τῶν κανόνων γενόμενα ἔχειν τινὰ βεβαιότητα, ἀδελφοὶ
17 τιμιώτατοι. Ἀλλὰ τί κατὰ τῶν τοιούτων νῦν ἐν τῷ
παρόντι ποιήσομεν[i]; ἀναγκαία ἐστὶ διάγνωσις συνοδική,
ἣν καὶ πάλαι ἔφημεν συναθροιστέαν. Μόνη γάρ ἐστιν
ἥτις δύναται τὰς κινήσεις τῶν τοιούτων καταστεῖλαι κα-
ταιγίδων· ἧς ἵνα τύχωμεν, χρήσιμον τέως[j] ὑπερτίθεσθαι
τὴν ἰατρίαν[k] τῇ βουλήσει τοῦ μεγάλου Θεοῦ, καὶ τοῦ
18 Χριστοῦ αὐτοῦ, τοῦ Κυρίου ἡμῶν. Πάντα ὅσα νῦν τῷ
φθόνῳ τοῦ διαβόλου πρὸς τὴν τῶν πιστῶν δοκιμασίαν[l]
τετάρακται, πραϋνθήσεται. Οὐδὲν ὀφείλομεν τῇ στερρό-
τητι τῆς πίστεως παρὰ τοῦ Κυρίου ἀπελπίσαι. Καὶ γὰρ
ἡμεῖς πολλὰ σκεπτόμεθα, ὃν τρόπον ἡ σύνοδος οἰκουμε-
νικὴ[m] συναχθείη, ὅπως τῇ βουλήσει τοῦ Θεοῦ αἱ[n] ταρα-
χώδεις κινήσεις παύσωνται. Ὑπομείνωμεν οὖν τέως, καὶ τῷ
τείχει τῆς ὑπομονῆς ὀχυρούμενοι, ἐλπίσωμεν πάντα τῇ

[h] Ita Niceph. παραχθέντα B. Steph. Genev., ante quod Valesius inseruit καλῶς, post Christoph. Scal. Curt.

[i] Ita B. Niceph. ποιήσωμεν Steph. Genev. Vales.

[j] ἐστι ante τεως inser. Christoph. Vales.

[k] ἰατρείαν Niceph.

[l] δημοσίαν J. Scal.

[m] οἰκουμενικῶς Niceph.

[n] καὶ pro αἱ Niceph.

condemnati sunt ab episcopis qui ante nos fuerunt. Satius enim fuerit ea condemnari quæ recte facta sunt, quam ea quæ contra canones acta sunt, firmitatem ullam obtinere, fratres carissimi. Sed quid adversus ista in præsenti faciemus? Necessaria est cognitio synodi, quam et nos jampridem congregandam esse diximus. Hæc enim sola est, quæ hujusmodi tempestatum motus sedare possit. Quam quidem ut obtineamus, utile fuerit medicinam horum malorum ex voluntate ac nutu Dei optimi maximi, et Christi domini nostri, interim exspectare. Omnia siquidem quæ nunc per invidiam diaboli ad fidelium probationem conturbata sunt, pacabuntur. Firmi ac stabiles in fide, nihil non sperare a Domino debemus. Nam et nos diu multumque cogitamus, quonam modo œcumenica synodus congreganda sit, ut turbulenti motus cœlestis numinis arbitrio tandem conquiescant. Sustineamus igitur aliquantisper, et vallo patientiæ communiti, cuncta auxilio Dei nostri restituenda esse speremus. Omnia porro quæ

19 βοηθείᾳ τοῦ Θεοῦ ἡμῶν ἀποκατασταθῆναι. Πάντα δὲ ὅσα ὑμᾶς ὑφίστασθαι εἰρήκατε, καὶ πρότερον συνδραμόντων εἰς τὴν Ῥώμην τῆς ὑμετέρων[o] συνεπισκόπων, εἰ καὶ τὰ μάλιστα διαφόροις χρόνοις, τουτέστι Δημητρίου, Κυριακοῦ[p], Εὐλυσίου, καὶ Παλλαδίου, οἵ τινες σύνεισι μεθ' 362 ἡμῶν[q], τελείᾳ ἐρωτήσει μεμαθήκαμεν.

ΚΕΦ. ΚΖ'.

Περὶ τῶν γενομένων διὰ Ἰωάννην δεινῶν, καὶ περὶ τῆς τελευτῆς Εὐδοξίας τῆς βασιλίδος, καὶ Ἀρσακίου· ἔτι δὲ καὶ περὶ Ἀττικοῦ τοῦ πατριάρχου, ὅθεν καὶ οἷος τὸν τρόπον ἦν.

1 Τάδε μὲν τὰ Ἰνοκεντίου γράμματα· ἐξ ὧν συνιδεῖν ἐστὶν, οἵαν εἶχε περὶ Ἰωάννου γνώμην[r]. Ἐν τούτοις δὲ παμμεγέθης ἐν Κωνσταντινουπόλει καὶ τοῖς προαστείοις χάλαζα κατερράγη· τετάρτῃ τε μετὰ τοῦτο ἡμέρᾳ, ἡ τοῦ βασιλέως γαμετὴ ἐτελεύτησε.
2 Καὶ τάδε συμβῆναι χαλεπαίνοντος τοῦ Θεοῦ διὰ Ἰωάννην, ὡς τοῖς πολλοῖς ἐδόκει. Καὶ γὰρ δὴ καὶ Κυρῖνος ὁ Χαλκηδόνος ἐπίσκοπος, ὃς αὐτὸν μάλιστα

[o] Ita Niceph. ἡμετέρων codd. et editt.
[p] Κυριακοῦ om. Niceph.
[q] μεθ' ἡμῶν ἦσαν Niceph.
[r] In γνώμην Capitulum terminat B.

vos perferre dixistis, jam antea a coepiscopis nostris qui Romam licet diversis temporibus confugerunt, id est Demetrio, Cyriaco, Eulysio et Palladio, qui nobiscum sunt, accurata interrogatione didicimus.

CAPUT XXVII.

De calamitatibus quæ Joannis causa acciderunt: et de obitu Eudoxiæ Augustæ et Arsacii. Item de Attico patriarcha, quis et unde fuerit.

Hæ sunt Innocentii literæ: ex quibus licet cognoscere, quam ille opinionem de Joanne habuerit. Per idem tempus, Constantinopoli et in suburbanis grando immensæ magnitudinis cecidit: et quarto post die, imperatoris uxor finem vivendi fecit. Quæ quidem Deo Joannis causa indignante accidisse, plerique omnes opinabantur. Nam et Cyrinus Chalcedonensis episcopus, qui præ

ἐλοιδόρει, οὐ πολλῷ πρότερον ἐκ τῆς συγκυρησάσης αὐτῷ περὶ τὸν πόδα συμφορᾶς, ἑκάτερον σκέλος ὑπὸ 3 τῶν ἰατρῶν ἀποπρισθεὶς, ἐλεεινῶς ἀπεβίω. Καὶ Ἀρσάκιος δὲ ἐπ' ὀλίγον χρόνον τὴν Κωνσταντινουπόλεως ἐκκλησίαν ἐπιτροπεύσας, ἐτελεύτησε. Πολλῶν δὲ τὴν αὐτοῦ διαδοχὴν μνωμένων, τετάρτῳ μηνὶ τῆς αὐτοῦ τελευτῆς, χειροτονεῖται Ἀττικὸς, πρεσβύτερος τοῦ Κωνσταντινουπόλεως κλήρου, ἐκ τῶν ἐπιβούλων 4 Ἰωάννου. Οὗτος μὲν γένος ἦν ἐκ Σεβαστείας τῆς Ἀρμενίας· ἐκ νέου δὲ φιλοσοφεῖν ἐπαιδεύθη ὑπὸ μοναχοῖς[s] τῆς Μακεδονίου αἱρέσεως· οἳ δὴ τότε ἀνὰ τὴν Σεβάστειαν ἐν τῇδε τῇ φιλοσοφίᾳ διέπρεπον[t], ἐκ τῆς Εὐσταθίου διατριβῆς ὄντες[u], ὃν ἐπίσκοπον ἐνθάδε καὶ ἡγεμόνα[x] ἀρίστων μοναχῶν γενέσθαι[y] ἐν τοῖς πρόσ-5 θεν ἔγνωμεν. Ἤδη δὲ εἰς ἄνδρας τελῶν πρὸς τὴν καθόλου[z] ἐκκλησίαν μετέθετο· φύσει δὲ μᾶλλον ἢ μαθήσει φρόνιμος ὢν, ἐγένετο τῶν πρακτέων ἐπήβο-

[s] μοναχοῦ τῆς Μακεδονικῆς Suidas col. 639. Gaisford.

[t] τότε ἐν φιλοσοφίᾳ διαπρέποντες ἀνὰ Suid.

[u] ἦσαν Suid.

[x] ἡγεμόνα τῶν ἐνθάδε Suid.

[y] γενέσθαι ἐν τοῖς πρόσθεν om. Suid.

[z] καθολικὴν Suid.

cæteris illi conviciatus fuerat, non multo ante, cum ob fortuitum pedis dolorem alterum ei crus a medicis exsectum fuisset, miserabili exitu interierat. Sed et Arsacius, cum ecclesiam Constantinopolitanam brevi temporis spatio administrasset, ex hac luce migravit. Cujus successionem cum multi essent qui ambirent, quarto post obitum illius mense ordinatus est Atticus, ex presbytero cleri Constantinopolitani, qui unus fuerat ex Joannis insidiatoribus. Huic patria fuit Sebastia, urbs Armeniæ. Cæterum ab ineunte ætate in monastica philosophia institutus fuit a monachis Macedonianis, qui tunc temporis in hujus sapientiæ studio apud Sebastiam florebant, ex schola Eustathii progressi, quem episcopum simul et præstantissimorum monachorum patrem illic fuisse supra retulimus. Postea vero jam virilem ingressus ætatem, ad catholicam ecclesiam se transtulit. Porro cum esset natura magis quam disciplina prudens, in rebus agendis summæ fuit dexterita-

λος, ἐπιβουλεῦσαί[a] τε, καὶ πρὸς ἐπιβουλὰς ἀντισχεῖν
ἱκανός· τὸ δὲ ἦθος ἐπαγωγὸς, ὡς πολλοῖς κεχαρισμέ-
6 νος εἶναι. Μέτριος δὲ πρὸς τοὺς ἐπ' ἐκκλησίας λόγους,
ὡς μήτε γραφῆς ἀξίους νομίζεσθαι τοῖς ἀκροαταῖς,
μήτε παιδείας παντελῶς ἀμοίρους· ἐμμελὴς[b] γὰρ
ὢν, εἴ πη καιρὸν ἦγε, τοὺς παρ' Ἕλλησιν εὐδοκιμω-
τάτους συγγραφέας ἠσκεῖτο· καὶ τῷ δοκεῖν ἰδιώτης
εἶναι περὶ τούτων διαλεγόμενος, καὶ τοὺς ἐπιστήμο-
7 νας πολλάκις ἐλάνθανεν. Ἐλέγετο δὲ πρὸς μὲν τοὺς
ὁμοδόξους σπουδαῖος εἶναι· τοῖς δὲ ἑτεροδόξοις φο-
βερός· ναὶ ῥᾳδίως μὲν αὐτοῖς ἡνίκα βούλοιτο δέος
ἐμποιεῖν· αὖθις δὲ μεταβαλλόμενος, πρᾷος φαίνεσθαι.
Καὶ τὸν μὲν[c] τοιόνδε γενέσθαι φασὶν, οἵ γε τὸν ἄνδρα
8 ἔγνωσαν. Ὁ δὲ Ἰωάννης καὶ φεύγων ἐπισημότερος
ἐγένετο· χρημάτων γὰρ ἔχων ἀφθονίαν, ἄλλων τε
πολλῶν προσφερόντων καὶ Ὀλυμπιάδος τῆς διακό- 363
νου πεμπούσης, πολλοὺς αἰχμαλώτους παρὰ τῶν
Ἰσαύρων λῃστῶν[d] ὠνεῖτο, καὶ τοῖς ἰδίοις ἀπεδίδου·

[a] ἐπιβουλεύειν Suid.
[b] ἐπιμελὴς Niceph.
[c] τοῦτον μὲν Suid.
[d] Ita B.C. λῃστῶν om. editt.

tis: et ad struendas atque evitandas insidias sollertissimus. Moribus autem blandus fuit, ita ut plerisque gratus esset. In concionibus vero ecclesiasticis mediocris, adeo ut sermones illius, nec digni qui exscriberentur, nec prorsus eruditionis expertes auditoribus viderentur. Nam cum studiosus esset elegantiæ, si quando tempus nactus fuerat, probatissimos quosque veterum scriptores lectitabat. Et quoniam indoctus esse videbatur; cum de illis dissereret, ipsos etiam doctos plerumque latuit. Porro erga suæ opinionis homines gnavus atque industrius fuisse dicitur: iis vero qui diversam sectam sequebantur terribilis. Ita ut quoties volebat, metum illis incuteret: rursus vero mutatus, mitis in eos appareret. Atque hunc quidem ejusmodi fuisse dicunt ii, qui illum probe norant. Joannes vero etiam in exsilio degens, magis inclaruit. Nam cum pecuniis abundaret, quas cum alii multi adferebant, tum Olympias diaconissa ad eum mittebat, plurimos captivos ab Isauris redemit, ac suis restituit. Multis etiam egen-

πολλοῖς δὲ δεομένοις τὰ ἀναγκαῖα ἐχορήγει· οἷς δὲ οὐδὲν ἔδει χρημάτων τῷ λόγῳ προσήγετο καὶ εἰς ἄγαν κεχαρισμένος ἐτύγχανεν Ἀρμενίοις τε παρ' οἷς
9 ἦν, καὶ τοῖς πλησιοχώροις. Πλεῖστοι δὲ πρὸς αὐτὸν ἐφοίτων ἀπό τε Ἀντιοχείας, καὶ τῆς ἄλλης Συρίας καὶ Κιλικίας.

ΚΕΦ. ΚΗ'.

Ὡς διὰ σπουδῆς ἦν Ἰνοκεντίῳ τῷ Ῥώμης διὰ συνόδου τὸν Ἰωάννην ἐπαγαγεῖν· καὶ περὶ τῶν πεμφθέντων παρ' αὐτοῦ ἐπὶ ἐξετάσει· καὶ περὶ τῆς τελευτῆς τοῦ Χρυσοστόμου Ἰωάννου.

1 Ἰνοκέντιος δὲ ὁ Ῥώμης ἐπίσκοπος, καθὰ πρότερον ἔγραψεν, ἐπανελθεῖν αὐτὸν σπουδάζων, σὺν τοῖς ἐκ τῆς ἕω περὶ τούτου πρεσβευομένοις ἐπισκόποις[e] πέπομφεν ἐπισκόπους πέντε, καὶ πρεσβυτέρους δύο τῆς Ῥωμαίων ἐκκλησίας πρὸς Ὀνώριον καὶ Ἀρκάδιον τὸν βασιλέα, σύνοδον αἰτήσοντας, καὶ καιρὸν ταύτης
2 καὶ τόπον. Οἱ δὲ ἐπὶ Κωνσταντινουπόλεως ἀπεχθανόμενοι Ἰωάννῃ, ὡς ἐπὶ ὕβρει τῆς ἐνταῦθα βασιλείας τούτων γενομένων, διαβολὴν κατεσκεύασαν· καὶ τοὺς

[e] ἐπισκόποις bis B.

tibus necessaria subministrabat. Eos vero quibus pecuniis opus non erat, oratione sibi conciliabat. Eratque admodum carus tum Armeniis apud quos degebat, tum finitimis omnibus. Multi quotidie ad eum confluebant ex urbe Antiochia, et ex reliqua Syria, ac Cilicia.

CAPUT XXVIII.

Quomodo Innocentius episcopus Romanus impense studuerit, ut collecta synodo Joannem revocaret; et de legatis ab eo missis ad inquirendum; et de morte Joannis Chrysostomi.

Porro Innocentius Romanæ urbis episcopus, cum sicut ante scripserat, impense studeret ut Joannes restitueretur; una cum episcopis qui ex Oriente legati ad eum venerant, misit episcopos quinque, et duos ecclesiæ Romanæ presbyteros, ad Honorium et Arcadium Augustos, qui synodum, ejusque celebrandæ tempus ac locum postularent. Verum hi qui apud Constantinopolim Joanni infensi erant, quasi in contumeliam Orientalis imperii hæc acta

μὲν ὡς ὑπερόριον[f] ἀρχὴν ἐνοχλήσαντας, ἀτίμως ἐκπεμφθῆναι παρεσκεύασαν· αὐτὸν δὲ Ἰωάννην ψήφῳ βασιλέως πορρωτέρω μετοικισθῆναι εἰς Πιτυοῦντα κατώρθωσαν· ἐν τάχει τε παραγενόμενοι στρατιῶται,
3 *τοῦτο ἐπετέλουν. Φασὶ δὲ αὐτὸν ὑπὸ τούτων ἀγόμενον, καθ' ὁδὸν προϊδεῖν τὴν ἡμέραν ἐν ᾗ τελευτᾷν ἔμελλεν, ἐπιφανέντος αὐτῷ Βασιλίσκου τοῦ μάρτυρος ἐν Κωμάνοις τῆς Ἀρμενίας· ἔνθα δὴ μηκέτι πρὸς τὴν ὁδὸν ἀντισχὼν, ἤλγει γὰρ τὴν κεφαλὴν, καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου φέρειν οὐχ οἷός τε ὢν, νόσῳ τὸν βίον μετήλλαξεν.*

[f] Ita B.C. ὑπερορίαν editt.

essent, calumniari cœperunt. Atque hos quidem, utpote qui externo imperatori molesti fuissent, cum ignominia dimitti curarunt. Ipsum vero Joannem edicto imperatoris longius transferri ad oppidum Pityuntem perfecerunt. Milites igitur confestim advenientes, edictum executioni mandarunt. Cæterum aiunt Joannem, cum a militibus abduceretur, in itinere diem obitus sui prævidisse, apparente ipsi Basilisco martyre in oppido Armeniæ Comanis. Quo in loco cum vires ei ad iter faciendum deficerent, capitis enim dolore laborabat; nec solis radios perferre posset, ex morbo interiit.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΕΙΟΥ

ΣΩΖΟΜΕΝΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ Θʹ.

ΚΕΦ. Αʹ.

Περὶ τῆς Ἀρκαδίου τελευτῆς, καὶ τῆς τοῦ νέου Θεοδοσίου ἀρχῆς, καὶ περὶ τῶν ἀδελφῶν αὐτοῦ· καὶ περὶ τῆς εὐσεβείας καὶ ἀρετῆς καὶ παρθενίας Πουλχερίας τῆς βασιλίδος, καὶ περὶ τῶν θεοφιλῶν ταύτης ἔργων, καὶ ὡς τὸν βασιλέα πρεπόντως ἀνῆγε.

1 ΤΑ μὲν δὴ κατὰ Ἰωάννην ὧδε ἔσχε. Μετ' οὐ πολὺ δὲ τῆς τούτου τελευτῆς, τρίτον ἔτος ἤδη Ἀττικοῦ διανύοντος τὴν Κωνσταντινουπόλεως ἐπισκοπὴν, Βάσσου[a] καὶ Φιλίππου ὑπατευόντων, τελευτᾷ τὸν βίον Ἀρκάδιος, διάδοχον τῆς ἡγεμονίας Θεοδόσιον τὸν υἱέα

[a] Βάσοῦ B., quod videtur significare, correct. in Βάσσου. Βάσου Steph. Βάσσου Christ.

VALESII INTERPRETATIO.

CAPUT I.

De morte Arcadii, et de imperio Theodosii junioris, ac de sororibus ejusdem. Item de pietate, virtute ac virginitate Pulcheriæ Augustæ; et de religiosis actibus illius: et quam recte Theodosium imperatorem educaverit.

RES quidem Joannis, hujusmodi fuere. Cæterum haud ita diu post ejus mortem, cum Atticus annum tertium ageret in episcopatu Constantinopolitano, Basso et Philippo consulibus, Arcadius finem vivendi fecit, successore imperii relicto Theodosio filio, qui

*καταλιπὼν, ἀρτίως γάλακτι τρέφεσθαι πεπαυμένον·
θυγατέρας δὲ, Πουλχερίαν καὶ Ἀρκαδίαν καὶ Μαρίναν,
2 ἔτι κομιδῇ νέας. Ἧι μοι δοκεῖ μάλιστα τὸν Θεὸν ἐπι-
δεῖξαι, μόνην εὐσέβειαν ἀρκεῖν πρὸς σωτηρίαν τοῖς
βασιλεύουσιν· ἄνευ δὲ ταύτης, μηδὲν εἶναι στρατεύ-
ματα καὶ βασιλέως[b] ἰσχὺν, καὶ τὴν ἄλλην παρα-
σκευήν. Ἐπεὶ οὖν εὐσεβέστατον τὸν βασιλέα ἔσεσθαι
προεῖδεν ἡ τῶν ὅλων οἰκουρὸς[c] θεία δύναμις, ἐπίτρο-
πον αὐτοῦ καὶ τῆς ἡγεμονίας κατέστησε Πουλχερίαν
3 τὴν ἀδελφήν. Ἡ δὲ, οὔπω πεντεκαιδέκατον ἔτος ἄ-
γουσα, ὑπὲρ τὴν ἡλικίαν σοφώτατον καὶ θεῖον ἔλαβε
νοῦν. Καὶ πρῶτα μὲν τὴν αὐτῆς παρθενίαν τῷ Θεῷ
ἀνέθηκε, καὶ τὰς ἀδελφὰς ἐπὶ τὸν αὐτὸν ἐπαιδαγώ-
γησε βίον, ὅπως μὴ ἄλλον ἄνδρα ἐπεισαγάγῃ τοῖς
βασιλείοις, καὶ ζήλου καὶ ἐπιβουλῆς πᾶσαν ἀνέλῃ
4 ἀφορμήν. Ἐπιβεβαιοῦσα δὲ τὰ δόξαντα, καὶ Θεὸν
αὐτὸν, καὶ ἱερέας, καὶ πάντα ἀρχόμενον μάρτυρας ποι-*

b Vide num melius sit βασιλείας. VALESIUS.

c ὑπουργὸς edidit Robertus Stephanus, cum in codice Regio quem typis suis expressit, legeretur οἰκουργός. Verum in codice Fuketiano οἰκουρὸς scribitur, optime. Ac profecto miror, Robertum Stephanum id non vidisse. VALESIUS. οἰκουρὸς B. ὑπουργὸς Genev.

tum recens erat ablactatus: filiabus autem Pulcheria, Arcadia et Marina relictis, adhuc adolescentulis. Qua quidem re vel maxime declarasse mihi videtur Deus, solam pietatem imperatoribus ad salutem sufficere: sine illa vero, nec exercitus, nec imperatoris robur, nec reliquum apparatum quidquam prodesse. Nam cum hujus universi custos Divina virtus, imperatorem religiosissimum fore prævidisset, curatricem illius ac totius imperii constituit Pulcheriam sororem. Quæ licet nondum quindecim annos nata, supra ætatem tamen sapientem ac vere divinum sensum accepit. Ac primum quidem suam ipsius virginitatem Deo consecravit, et sorores suas ad idem vivendi genus informavit, ne quem alium virum in palatium introduceret, utque æmulationis et insidiarum occasionem omnem excluderet. Denique ut ea quæ decreverat amplius confirmaret, Deumque ac sacerdotes, et subditos omnes, testes

ουμένη τῶν αὐτῇ βεβουλευμένων, ἐκ χρυσοῦ καὶ λίθων
τιμίων θαυμάσιόν τι χρῆμα θεαμάτων κάλλιστον,
ὑπὲρ τῆς ἰδίας παρθενίας καὶ τῆς τοῦ ἀδελφοῦ ἡγε-
μονίας, ἱερὰν ἀνέθετο τράπεζαν ἐν τῇ ἐκκλησίᾳ Κων- 365
σταντινουπόλεως· καὶ ἐπὶ τοῦ μετώπου τῆς τραπέζης,
5 ὡς ἂν πᾶσιν ἔκδηλα ᾖ, τάδε ἐπέγραψεν. Ὑπεισελ-
θοῦσα δὲ τῆς ἡγεμονίας τὴν φροντίδα, ἄριστα καὶ ἐν
κόσμῳ πολλῷ τὴν Ῥωμαίων οἰκουμένην διῴκησεν·
εὖ βουλευομένη, ὡς ἐν τάχει τὰ πρακτέα ἐπιτελοῦσα
καὶ γράφουσα[d]. Ἠκρίβωτο γὰρ λέγειν καὶ γράφειν
6 ὀρθῶς κατὰ τὴν Ῥωμαίων καὶ Ἑλλήνων φωνήν. Τῶν
δὲ πραττομένων τὴν δόκησιν εἰς τὸν ἀδελφὸν ἀνέφερε·
καὶ ἐπεμελεῖτο, ὡς ἂν μάλιστα βασιλικῶς ἀναχθείη
τοῖς καθ' ἡλικίαν παιδευομένοις μαθήμασιν. Ἀλλ'
ἱππικὴν μὲν καὶ τὴν ἐν τοῖς ὅπλοις καὶ τοῖς λόγοις

[d] Cod. Fuk. interserit verbum ἐπιτελοῦσα, quemadmodum Christophorsonus in quibusdam exemplaribus scriptum invenerat. Apud Nicephorum tamen non legitur hoc verbum: quod tamen non otiosum mihi videtur hoc loco, modo particulam conjunctivam addamus. Laudat enim Pulcheriam Sozomenus duplici nomine, tum quod celeriter perspiceret quid agendum esset, tum quod consulta exsequeretur. VALESIUS. εὖ βουλευομένη ὡς ἐν τάχει τὰ πρακτέα βουλευομένη καὶ γρ. B. Videtur Sozomenus Pulcheriam laudare quia promptu erat et in deliberando et in scribendo: itaque superfluum fortasse est ἐπιτελοῦσα. [ἐπιτελοῦσα legit Scal. et Curt.]

haberet actorum suorum, ex auro et pretiosis lapidibus admirabile quoddam donarium, operum quæ spectantur longe pulcherrimum, sacram mensam in ecclesia Constantinopolitana pro virginitate sua et pro fratris imperio dedicavit. Et in fronte ipsius mensæ, ut cunctis conspicua essent, hæc eadem inscripsit. Postquam vero principatus curam suscepit, orbem Romanum optime ac decentissime gubernavit: quippe quæ recte consuleret, et consulta celeriter exsequeretur ac scriberet. Nam et loqui et scribere eleganter callebat, tam Græco, quam Latino sermone. Omnium vero quæ gerebantur, laudem ad fratrem referebat. Dabatque operam ut disciplinis ad ætatis captum accommodatis regaliter, quantum fieri posset, educaretur. Et artem quidem equitandi, armorum quoque ac literarum scientiam, ab hujusmodi rerum peritis disce-

7 ἄσκησιν, παρὰ τῶν ἐπιστημόνων ἐξεδιδάσκετο. Περὶ
δὲ τὰς προόδους κόσμιος εἶναι καὶ βασιλικὸς, παρὰ
τῆς ἀδελφῆς ἐρρυθμίζετο· ἐσθῆτά τε[e] ᾗ χρὴ περι-
στέλλειν μανθάνων, καὶ τρόπῳ τίνι καθῆσθαι, καὶ
βαδίζειν, καὶ γέλωτος κρατεῖν, καὶ πρᾷος καὶ φοβερὸς
ἐν καιρῷ εἶναι, καὶ ἁρμοδίως πυνθάνεσθαι τῶν περί
8 του δεομένων. Οὐχ ἥκιστα δὲ εἰς εὐσέβειαν αὐτὸν
ἦγε, συνεχῶς εὔχεσθαι καὶ ταῖς ἐκκλησίαις φοιτᾷν
ἐθίζουσα· καὶ ἀναθήμασι καὶ κειμηλίοις τοὺς εὐκτη-
ρίους οἴκους γεραίρειν· καὶ ἐν τιμῇ ἔχειν τοὺς ἱερέας,
καὶ ἄλλους ἀγαθοὺς ἄνδρας, καὶ τοὺς νόμῳ Χριστια-
9 νῶν φιλοσοφοῦντας. Οὐ μὴν ἀλλὰ καὶ ὑπὸ νόθων
δογμάτων νεωτερίζεσθαι[f] κινδυνευούσης τῆς θρησκείας,
σπουδῇ καὶ σοφῶς προὔστη. Καὶ τοῦ μὴ καινὰς αἱ-
ρέσεις ἐν τοῖς καθ' ἡμᾶς χρόνοις κρατεῖν, μάλιστα
αὐτὴν αἰτίαν εὑρήσομεν, ὡς ἐν τοῖς μετὰ ταῦτα εἰσό-
10 μεθα. Δέει δὲ πολλῷ τὸ θεῖον θρησκεύουσα, μακρὸν
ἂν εἴη παρὰ τίσι λέγειν, καὶ πόσους εὐκτηρίους οἴκους

[e] Ita B. Niceph. τε om. ceteri. [f] νενεωτερῖσθαι C.

bat. Ut vero in processibus graviter ac pro imperatoria majestate se gereret, a sorore instituebatur: quomodo vestem gestare deberet: quomodo sedendum, et qualiter incedendum esset: quomodo risum continere, et pro loco ac tempore nunc mitis, nunc formidabilis esse deberet, et eos qui ab ipso aliquid peterent, decenter audire. Sed præcipue eum ad pietatem informabat, assuefaciens illum ut assidue oraret, et ecclesias adiret; easque donariis ac pretiosis muneribus ornaret: ut sacerdotes, omnesque viros bonos et eos qui Christianorum legibus atque institutis philosopharentur, in pretio haberet. Præterea cum per adulterina dogmata religio turbanda esse videretur, ipsa studiose ac sapienter prospexit. Certe quod novæ hæreses nostra ætate minime prævaluerint, illam in causa fuisse reperiemus, sicut in sequentibus cognoscetur apertius. Porro cum Deum maxima religione coleret, prolixum fuerit recensere, apud quos illa, et quot ecclesias magnifice construxerit: quot diversoria pauperum ac peregrinorum; quot denique monasteria constituerit, perpetuis sumptibus ad hæc destinatis, et an-

μεγαλοπρεπῶς ἐτεκτήνατο· πόσα δὲ καταγώγια[g] *λέ-*
γειν, καὶ μοναστικὰς συνοικίας συνεστήσατο, διηνεκῆ
τάξασα τὴν εἰς ταῦτα δαπάνην, καὶ τὸ σιτηρέσιον
11 *τῶν ἐνοικούντων. Εἴ τῳ δὲ φίλον ἐκ τῶν πραγμάτων*
πειρᾶσθαι τῆς ἀληθείας, καὶ μὴ τοῖς ἐμοῖς πείθεσθαι
λόγοις, μαθήσεται μὴ ψευδῶς, μηδὲ πρὸς χάριν με
τάδε συγγράφειν, εἰ παρὰ τῶν ἐπιτροπευόντων τὸν
αὐτῆς οἶκον ἀνάγραπτον οὖσαν διέλθοι τῶν τοιούτων
γνῶσιν[h], *καὶ παρὰ*[i] *τῶν γεγραμμένων πύθοιτο, εἰ τῇ*
12 *γραφῇ συνᾴδει τὰ πράγματα. Ὧι δὲ μὴ ταῦτα μόνα*
πρὸς πίστιν ἀρκεῖ, πιστούσθω καὶ Θεὸς αὐτὸς, πάν-
τως ποῦ διὰ τὴν πολιτείαν κεχαρισμένην αὐτὴν ἔχων·
ὡς εὐχομένης ἑτοίμως ὑπακούειν, καὶ πολλάκις αὐτῇ
περὶ τῶν πρακτέων προφαίνεσθαι. Οὐδὲ[k] *γὰρ ἂν*
φαίην ποτὲ θεοφίλειαν παραγίνεσθαι τοῖς ἀνθρώποις,
ἣν μὴ σφᾶς ἀξίους ταύτης διὰ τῶν ἔργων παρέχωσιν.
13 *Ἀλλ' ὅσα μὲν τῶν καθ' ἕκαστον*[l] *εἰς ἀπόδειξιν ἧκεν,*
ἐπιδεικνύντων θεοφιλῆ εἶναι τὴν τοῦ βασιλέως ἀδελ-

[g] Ita B. Steph. Genev. *ὅσα τε καταγώγια θεοφιλῶν ἀνδρῶν* Niceph. *καταγώγια πτωχῶν καὶ ξένων* tacite nescio quo auctore Valesius.

[h] *τὴν γνῶσιν* C.

[i] Ita B. uti Valesius conjecerat: *περὶ* Steph. Genev.

[k] Ita B. Steph. *οὐ* tacite Vales.

[l] *ἧκεν τῶν καθ' ἕκ.* B.

nona ad alendos eos qui illic manerent. Quod si quis ex rebus ipsis veritatem scrutari malit, quam verbis meis credere, inveniet profecto, me nec falso, nec ad gratiam ista scribere: dum harum rerum notitiam, a procuratoribus bonorum illius perscriptam legerit, et ex scriptis exploraverit num res ipsæ cum verbis nostris consentiant. Si cui vero hæc per se sola non sufficiunt, at certe Deus illi fidem faciat; qui illam ob vitæ sanctimoniam adeo caram habet et acceptam, ut eam orantem celeriter exaudiat, ac sæpenumero quæ gerenda sunt ei prænuntiet. Neque enim Dei amorem ac benevolentiam hominibus unquam conciliari dixerim, nisi illi operibus suis dignos se amore illo præstiterint. Ac singula quidem ex quibus demonstrari potest Deo caram esse imperatoris sororem, libens hic prætereo; ne quis forte calumnietur, me qui aliud scribendi argumentum susceperim, ad laudes et encomia di-

φὴν, ἑκὼν παρήσω τέως, μὴ καὶ μωμήσηταί[m] τις ὡς 366
ἕτερα πραγματευόμενος, εἰς ἐγκωμίων νόμον ἐτράπην. Ὃ δέ μοι καὶ κατ' αὐτὸν[n], ἐκκλησιαστικῆς τε ἱστορίας ἴδιον εἶναι δοκεῖ, καὶ θεοφιλείας αὐτῆς περιφανὴς ἔλεγχος, αὐτόθεν ἐρῶ, εἰ καὶ χρόνῳ ὕστερον συνέβη. Ἔχει δὲ ὧδε.

ΚΕΦ. Β'.

Περὶ τῆς εὑρέσεως τῶν λειψάνων τῶν ἁγίων τεσσαράκοντα μαρτύρων.

1 Γυνή τις Εὐσεβία τοὔνομα, διάκονος τῆς Μακεδο-
νίου αἱρέσεως, οἴκημα καὶ κῆπον εἶχε πρὸ τοῦ τείχους
τῆς Κωνσταντινουπόλεως· καὶ ἱερὰ λείψανα ἐνθάδε
ἐφύλαττε τῶν ἐν Σεβαστείᾳ τῆς Ἀρμενίας κατὰ τοὺς
Λικινίου χρόνους μαρτυρησάντων τεσσαράκοντα στρα-
2 τιωτῶν. Μέλλουσα δὲ τελευτᾷν, κατέλιπε τὸν προ-
ειρημένον τόπον[o] μοναχοῖς ὁμοδόξοις, καὶ μεθ' ὅρκων
αὐτῶν ἐδεήθη ἐκεῖσε ταφῆναι· ὑπὲρ δὲ κεφαλῆς ἐπὶ

[m] μωμήσαιτο C.

[n] Voces κατ' αὐτὸν Henricus Savilius lineola subnotavit, tanquam suspectas, et intellectu difficiles. Sensus tamen apertus est, si κατ' αὐτὸ legamus, ut in interpretatione mea apparet. Posset etiam non incommode scribi κατὰ ταὐτὸν vel κατὰ ταὐτὸ, id est *simul*. Quam lectionem magis probo. VALESIUS.

[o] τὸν τοιοῦτον τόπον B. Steph. Genev. τὸν προειρημένον tacite Vales.

vertere. Illud vero quod per se ipsum et Ecclesiasticæ Historiæ congruum esse mihi videtur, et divini in illam amoris perspicuum argumentum, hoc loco commemorabo, quamvis aliquanto post acciderit. Est autem hujusmodi.

CAPUT II.

De inventione reliquiarum sanctorum quadraginta martyrum.

Mulier quædam, Eusebia nomine, diaconissa sectæ Macedonianæ, ædes et hortum habebat haud procul a mœnibus urbis Constantinopolitanæ. Illic sacras reliquias custodiebat quadraginta militum illorum, qui olim regnante Licinio martyrium perpessi erant Sebastiæ. Quæ cum moritura jam esset, supradictum locum monachis ejusdem sectæ reliquit, et jurejurando eos obstrinxit, ut ipsam illic sepelirent, ac supra caput in summa parte

τῷ ἄκρῳ τὴν[p] αὐτῆς σορὸν ἰδίᾳ ξέσαι, καὶ συγκατα-
θέσθαι αὐτῇ τῶν μαρτύρων τὰ λείψανα, καὶ μηδενὶ
3 καταμηνύσαι. Καὶ οἱ μὲν ὧδε ἐποίουν. Ὥστε δὲ τῆς
προσηκούσης θεραπείας μεταλαγχάνειν τοὺς μάρτυ-
ρας, καὶ τοὺς ἔξωθεν ἀγνοεῖν, κατὰ τὰ συντεθειμένα
πρὸς Εὐσεβίαν, εὐκτήριον οἶκον ὑπὸ γῆν ἐτεκτήναντο
περὶ τὴν αὐτῆς θήκην· εἰς δὲ τὸ προφανὲς, οἴκημα
ὑπεράνω πλίνθοις ὀπταῖς τὸ ἔδαφος ἠμφιεσμένον, καὶ
καταβάσιον ἐκ τούτου λανθάνον ἐπὶ τοὺς μάρτυρας.
4 Μετὰ δὲ ταῦτα Καισάριος ἀνὴρ τῶν τότε ἐν δυνάμει,
ὃς καὶ ὑπάτου καὶ ὑπάρχου εἰς ἀξίαν προῆλθε, θανοῦ-
σαν αὐτοῦ τὴν γαμετὴν παρὰ τὴν Εὐσεβίας σορὸν
ἔθαψε· τοῦτο γὰρ ἔτι περιούσαις αὐταῖς συνέδοξεν,
ὑπερφυῶς κεχαρισμέναις ἀλλήλαις, καὶ περὶ τὸ δόγμα
5 καὶ τὴν θρησκείαν ὁμοφρονούσαις. Ἐντεῦθεν πρό-
φασις ἐγένετο Καισαρίῳ κτήσασθαι τοῦτον τὸν τό-
πον[q], ὡς ἂν καὶ αὐτὸς πλησίον τῆς γαμετῆς ταφείη.
Οἱ δὲ προειρημένοι μοναχοὶ ἀλλαχῇ μετῳκίσθησαν,

[p] Ita B. et cæteri: τῆς Valesius, inconsulto, ut opinor.

[q] τὸν τοιοῦτον κτήσασθαι τόπον B. Steph. Genev. κτήσασθαι τοῦτον τὸν τόπον tacite Valesius.

loculum ipsius separatim inciderent, et martyrum reliquias una cum ipsa deponerent, nec ulli rem indicarent. Ac monachi quidem id quod mandatum erat fecerunt. Verum ut martyres debito cultu afficerentur, et res nihilominus, sicuti Eusebiæ polliciti fuerant, extraneos lateret, oratorium sub terra circa mulieris tumulum ædificarunt: superne vero habitaculum construxerunt, cujus solum coctis lateribus constratum erat, atque ex eo descensum occultum ad martyres. Postmodum vero Cæsarius, vir ea tempestate potentissimus, quippe qui ad consulatum et ad præfecturam prætorii evectus fuerit, uxorem suam fato functam juxta Eusebiæ loculum sepelivit. Id enim ipsis, dum viverent, ex compacto placuerat; quippe quæ sese invicem maxime diligerent, et in fidei doctrina inter se consentirent. Hinc data est occasio Cæsario, locum illum sibi emendi, ut et ipse juxta conjugem suam sepeliretur. Supradicti vero monachi alium in locum migrarunt, nihil

6 μηδὲν περὶ τῶν μαρτύρων ὁμολογήσαντες. Καταπε-
σόντος δὲ τοῦ οἴκου μετὰ ταῦτα, γῆς τε καὶ φορυτοῦ
ἐπιβληθέντος, πᾶς ὁ τῇδε τόπος ἐξωμαλίσθη· καθότι
αὐτὸς Καισάριος εἰς τιμὴν Θύρσου τοῦ μάρτυρος, με-
γαλοπρεπῆ ναὸν τῷ Θεῷ ἐνθάδε ἀνέστησεν. Ὡς ἔοικε
δὲ, ἐπιμελῶς ὧδε ἀφανισθῆναι τὸν προειρημένον τό-
πον, καὶ τοσοῦτον προελθεῖν χρόνον ὁ Θεὸς ἐβούλετο, 367
παραδοξοτέραν καὶ ἐπιφανεστέραν παρασκευάζων τῶν
μαρτύρων τὴν εὕρεσιν, καὶ τῆς εὑρούσης τὴν θεοφί-
λειαν. Ἦν δὲ τοῦ κρατοῦντος ἡ ἀδελφὴ Πουλχερία
7 ἡ βασιλίς. Ἐπιφανεὶς γὰρ αὐτῇ τρίτον ὁ θαυμάσιος
Θύρσος, τοὺς ὑπὸ γῆν κρυπτομένους ἐμήνυσε, καὶ
μετατίθεσθαι πρὸς ἑαυτὸν ἐκέλευσεν· ὥστε τῆς ὁμοίας
θέσεως καὶ τιμῆς μετέχειν. Ἅμα δὲ καὶ αὐτοὶ οἱ
τεσσαράκοντα χλανίδας ἠμφιεσμένοι λαμπρὰς, κατα-
δήλους αὐτῇ σφᾶς ἐποίησαν. Ἐδόκει δὲ πίστεως εἶναι
8 κρεῖττον τὸ πρᾶγμα, καὶ παντελῶς ἄπορον. Οὔτε
γὰρ οἱ παλαιότεροι τῶν ἐνθάδε κληρικῶν πολλάκις
ἐρωτηθέντες, οὔτε ἄλλος οὐδεὶς καταμηνύειν εἶχε τοὺς
μάρτυρας. Τὸ δὴ τελευταῖον, πάντων ἀμηχανούντων,

de martyribus indicantes. Posthæc collapso ædificio, humoque ac ruderibus superjectis, universus ille locus complanatus est. Nam Cæsarius in honorem Thyrsi martyris, magnificam illic ecclesiam Deo ædificavit. Porro supra memoratum locum destrui, et tantum temporis spatium elabi, meo quidem judicio Deus de industria idcirco permisit, ut et martyrum inventionem, et benevolentiam suam erga inventricem illorum, mirabiliorem atque illustriorem redderet. Inventrix autem illa fuit Pulcheria Augusta, soror imperatoris. Nam cum admirandus Thyrsus ter illi apparuisset, martyres qui sub terra latebant indicavit, utque ad ipsum transferrentur præcepit, ut eadem depositione parique cultu quo ipse fruerentur. Ipsi quoque quadraginta martyres candidis vestibus amicti, eodem tempore semetipsos ei indicarunt. Res porro ipsa fidem omnem transcendere, nec facile expediri posse videbatur. Nam nec antiquiores clerici illius ecclesiæ, licet sæpius interrogati, nec alius quisquam, martyres indicare potuerunt. Tandem vero

Πολυχρονίῳ τινὶ πρεσβυτέρῳ, πάλαι γενομένῳ τῶν Καισαρίου οἰκείων, ἄγει τὸ θεῖον εἰς νοῦν τοὺς ποτὲ
9 τὸν τόπον οἰκήσαντας μοναχούς. Καὶ παρὰ τοὺς Μακεδονιανῶν κληρικοὺς ἐλθὼν, ἐπυνθάνετο περὶ αὐτῶν. Ἤδη δὲ πάντων τετελευτηκότων, ἕνα μόνον περιόντα εὑρὼν ὡς ἐπὶ μηνύσει τῶν ἐπιζητουμένων μαρτύρων ἔτι πεφυλαγμένον ἐν ζῶσιν, ἐδεῖτο φράζειν, εἴγε ἱερὰ λείψανα εἶδεν[r] ὑπὸ τὸν δηλωθέντα χῶρον
10 κρυπτόμενα. Ἐπεὶ δὲ διὰ τὰς πρὸς Εὐσεβίαν συνθήκας ἰδὼν αὐτὸν Πολυχρόνιος ὑποπαραιτούμενον, καὶ τὴν θείαν ἐπιφάνειαν ἐδήλωσε, καὶ τῆς βασιλίδος τὰς ὀχλήσεις, καὶ αὐτῶν τὴν ἀμηχανίαν, συνωμολόγησεν ἀληθῆ τὸν Θεὸν ἐπιδεῖξαι τῇ κρατούσῃ· βούπαιδα γὰρ τότε ὄντα, καὶ ὑπὸ γέροντας ἡγουμένους τὴν μοναστικὴν ἐκδιδασκόμενον, ἀκριβῶς ἐπίστασθαι, μάρτυρας κεῖσθαι περὶ τὴν Εὐσεβίας σορόν· μὴ εἰδέναι μέντοι, πότερον ὑπὸ τέμενος, ἢ ἑτέρωθι κατορωρυγμένοι εἰσὶ, τῷ πολὺν παρελθεῖν χρόνον, καὶ τὴν

[r] εἶδεν om. B. Steph. Niceph. inser. Christ. Scal. Curt. Vales.

cunctis jam desperantibus, Polychronio cuidam presbytero, qui olim fuerat ex Cæsarii familiaribus, Deus in memoriam revocavit monachos illos qui olim locum incoluerant. Hic ergo ad clericos Macedonianorum profectus, eos de monachis interrogavit. Cumque omnibus jam defunctis, unicum ex illis superstitem reperisset, qui ad hoc ipsum servatus esse videbatur, ut quæsitos martyres indicaret; rogavit hominem ut sibi diceret, utrum sacras reliquias in supradicto loco reconditas nosset. Sed cum illum ob pactum quod cum Eusebia pepigerant, nonnihil tergiversantem videret, divinam ei revelationem, et instantiam Augustæ, ipsorumque omnium desperationem exponit Polychronius. Tum ille vera esse confessus est, ea quæ Deus Augustæ revelaverat. Se namque, qui tunc admodum adolescens monasticam disciplinam sub senioribus præfectis illic didicisset, compertum habere, quod martyres juxta arcam Eusebiæ jacerent: nescire tamen, utrum sub templo, an alibi defossi sint; propterea quod multum temporis effluxerit, et prior loci facies in eam quæ nunc cernitur speciem commutata

προτέραν ὄψιν τοῦ τόπου εἰς τὸ νῦν φαινόμενον ἀμει-
11 φθῆναι. Καὶ μὴν, ἔφη Πολυχρόνιος, οὐ τὸ αὐτὸ πέπονθα· μέμνημαι γὰρ παρατυχὼν τῇ ταφῇ τῆς Καισαρίου γαμετῆς· καὶ ἀναλογιζόμενος ἐκ τῆς πέλας παρακειμένης λεωφόρου, εἰκάζω αὐτὴν κεῖσθαι παρὰ[s] τὸν ἄμβωνα· βῆμα δὲ τοῦτο τῶν ἀναγνωστῶν. Οὐκοῦν ὑπολαβὼν ὁ μοναχὸς εἶπε· καὶ τῆς Εὐσεβίας σορὸν παρὰ τὴν Καισαρίου γαμετὴν ζητητέον· καθότι καὶ περιοῦσαι τὰ πολλὰ συνῆσαν ἀλλήλαις, καὶ θα-
12 νοῦσαι συνέθεντο ἅμα τὰς θήκας[t] ἔχειν. Ἐπεὶ δὲ κατὰ τὰ εἰρημένα ὀρύττειν ἔδει, καὶ τὰ ἱερὰ λείψανα ἀνιχνεύειν, μαθοῦσα ταῦτα ἡ βασιλὶς, προσέταξεν
13 ἔχεσθαι τοῦ ἔργου. Ἀνορυγέντος τε τοῦ παρὰ[u] τὸν ἄμβωνα χώρου, εὑρέθη ἡ τῆς Καισαρίου γαμετῆς θήκη[x], καθὼς συνέβαλε Πολυχρόνιος· ὀλίγον δὲ διεστὼς ἐκ πλαγίου κατάστρωμα πλίνθων ὀπτῶν, ἰσό- 368
μετρός[y] τε τῇ τούτων περιβολῇ πλὰξ μαρμαρίνη· ὑφ' ἣν αὐτῆς Εὐσεβίας ἡ σορὸς ἀπεδείχθη, καὶ τὸ περὶ

[s] Ita B. Steph. Genev. περὶ Christ. Scal. Vales. ὑπὸ Niceph.
[t] συνθήκας B. Steph. Genev. θήκας Vales. Niceph.
[u] Ita B. Steph. Genev. περὶ Christ. Vales. Niceph.
[x] συνθήκη B. Steph. Genev. θήκη Vales. θίβη Niceph. quod corruptum est e θήκη.
[y] Ita C. ἰσομέτρως ceteri.

sit. Ad hæc Polychronius: Mihi vero, inquit, idem non accidit. Memini enim adesse me, tunc cum uxor Cæsarii sepeliretur, et ex adjacente via publica judicans, conjicio illam jacere circa ambonem, quod est pulpitum lectorum. Igitur, subjecit monachus, Eusebiæ arca juxta Cæsarii conjugem requirenda est. Nam et dum viverent, una erant ut plurimum: et ut mortuæ arcas vicinas haberent, pactæ inter se fuerant. Cum igitur eo quo dictum erat loco fodiendum esset, et martyrum investigandæ reliquiæ, Augusta ea re intellecta, jussit ut opus aggrederentur. Effossoque circa ambonem loco, reperta est arca conjugis Cæsarii, sicut Polychronius conjecerat. Et modico intervallo distans ex transverso pavimentum coctorum laterum, et marmorea tabula magnitudine illi æqualis. Sub qua ipsius Eusebiæ loculus apparuit, et quod circa

αὐτὴν εὐκτήριον, ἐπιεικῶς μάλα λευκοπορφύροις μαρ-
μάροις ἠμφιεσμένον· τὸ δὲ ἐπίθεμα τῆς θήκης, ὥσ-
περ εἰς ἱερὰν ἐξῃσκεῖτο τράπεζαν. Ἐπ' ἄκρου δὲ
καθ' ὃ οἱ μάρτυρες ἔκειντο, τρύπημα μικρὸν ἀνεφάνη.
14 Παρεστὼς δέ τις τοῦ βασιλέως οἴκου, ῥάβδον λεπτὴν
ἣν ἔτυχε κατέχων, διὰ τοῦ τρυπήματος καθῆκεν· καὶ
ἀνιμήσας, τῇ ῥινὶ προσήγαγε, καὶ μύρον[1] εὐωδίας
ὠσφράνθη. Ἐκ τούτου γε ἀγαθαὶ ἐλπίδες τοῖς ἐργα-
ζομένοις, καὶ τοῖς ἐφεστῶσιν ἐγένοντο· καὶ σπουδῇ
τὴν σορὸν ἀποκαλύψαντες, εὑρίσκουσι τὴν Εὐσεβίαν.
15 Τὸ δὲ πρὸς κεφαλὴν αὐτῆς ἐξέχον τῆς θήκης, εἰς κι-
βωτοῦ σχῆμα περιεξεσμένον, ἰδίῳ ἔνδοθεν ἐκαλύπτετο
ἐπιθέματι· καὶ ἑκατέρωθεν αὐτῷ πρὸς τὰ χείλη σίδη-
ρος ἐπικείμενος, συνεῖχε μολίβδῳ συμπεπηγώς. Ἐπὶ
δὲ μέσου[a] τὸ αὐτὸ τρύπημα πάλιν ἀναφανὲν, ἔτι σα-
16 φέστερον ἐδείκνυ ἔνδον ἔχειν τοὺς μάρτυρας. Ὡς δὲ
ταῦτα ἠγγέλθη, συνέδραμον εἰς τὸ μαρτύριον, ἥ τε
βασιλὶς καὶ ὁ ἐπίσκοπος· αὐτίκα δὲ διὰ τῶν ἐπιστη-
μόνων περιαιρεθέντων τῶν σιδηρείων δεσμῶν, εὐπετῶς

[1] Non dubito quin scribendum sit μύρων. Id enim postulat lex grammatica. VALES.

[a] τοῦ μέσου B.

illum loculum erat oratorium, albopurpurei marmoris crustis satis eleganter tectum. Operculum autem loculi, instar sacræ mensæ fabrefactum erat. In summa autem parte ubi martyres jacebant, exiguum foramen apparuit. Tum vero adstans quidam ex imperatoris palatio, tenuem virgam quam manu gerebat, per foramen demisit. Quam cum retraxisset, naribus admovit, et unguenti odorem suavissimum olfecit. Ea res et operantibus, et iis qui adstabant, animos addidit. Statimque detecto loculo, Eusebiam reperiunt. Id vero quod ad caput ejus eminebat, in arcæ formam undique dedolatum, proprio intus operculo tegebatur; et utrinque ad labra impositum ferrum plumbo solidatum, operculum continebat. In medio vero foramen rursus apparens, adhuc manifestius ostendit, martyres intus conditos esse. Quæ cum nuntiata essent, confestim Augusta, et episcopus, ad basilicam martyris accurrunt. Ac protinus ferreis vinculis opera artificum circumquaque exemp-

ἐξειλκύσθη τὸ ἐπίθεμα· ὑπὸ δὲ τοῦτο μύρα πολλὰ,
καὶ ἐν τοῖς μύροις ἀλαβαστροθῆκαι ἀργυραῖ δύο εὑρέ-
17 θησαν, ἐν αἷς τὰ ἱερὰ λείψανα ἔκειντο. Τότε μὲν οὖν
ἡ βασιλὶς εὐχαριστήρια ηὔξατο τῷ Θεῷ, τοσαύτης
ἐπιφανείας ἀξιωθεῖσα καὶ τῆς εὑρέσεως ἐπιτυχοῦσα
τῶν ἱερῶν λειψάνων· μετὰ δὲ ταῦτα, πολυτελεστάτῃ
θήκῃ τιμῶσα τοὺς μάρτυρας, παρὰ τὸν θεσπέσιον
Θύρσον κατέθετο, δημοτελοῦς ἑορτῆς, ὡς εἰκὸς, καὶ
τῆς προσηκούσης τιμῆς καὶ πομπῆς σὺν ψαλμῳδίαις
18 ἐπιτελεσθείσης, ᾗ καὶ αὐτὸς ἐγὼ παρεγενόμην. Καὶ
τὰ μὲν ὧδε γενέσθαι, οἱ παρατυχόντες τῇ ἑορτῇ μαρτυρήσουσι· σχεδὸν γὰρ ἔτι πάντες περίεισι, καθότι πολλῷ ὕστερον συνέβη, Πρόκλου ἐπιτροπεύοντος τὴν Κωνσταντινουπόλεως ἐκκλησίαν.

ΚΕΦ. Γ'. 369

Ἔτι περὶ ἀρετῆς καὶ θεοφιλείας τῆς Πουλχερίας, καὶ τῶν αὐτῆς ἀδελφῶν.

1 Λόγος δὲ καὶ ἐπὶ ἄλλοις πράγμασι πολλάκις τὸν
Θεὸν προαναφῆναι[b] τὸ μέλλον τῇ βασιλίδι, καὶ πλεῖ-

[b] Ita C. προαναφανῆναι ceteri. προφῆναι Niceph. lib. xiv. c. 10.

tis, operculum facile posthac extractum fuit. Sub quo magna copia unguentorum, et in his duæ pyxides argenteæ repertæ sunt, in quibus sacræ reliquiæ erant reconditæ. Ac tum quidem Augusta, facta oratione, gratias egit Deo, quod ipsam tanta visione dignatus esset, et quod sacras reliquias tandem reperisset. Postmodum vero, cum martyres pretiosissima capsa honorasset, eos juxta admirandum Thyrsum deposuit: publica festivitate, ut par erat, et solemni pompa cum psalmodiis et competenti cultu celebrata: cui ego quoque interfui. Et hæc quidem in hunc modum gesta esse, testabuntur hi qui festivitati interfuerunt: omnes enim ferme adhuc supersunt. Quippe hæc diu postea contigerunt, Proclo Constantinopolitanam ecclesiam administrante.

CAPUT III.

Iterum de virtute Pulcheriæ, ac sororum ejus: et quam Deo caræ fuerint.

Sed et aliis in rebus, Deus id quod venturum erat, Augustæ

στα θεοφίλειαν μαρτυροῦντα συμβῆναι περὶ αὐτὴν καὶ τὰς αὐτῆς ἀδελφάς· ἐπεὶ καὶ αὗται τὸν ἴσον πολιτεύονται τρόπον, περὶ τοὺς ἱερέας, καὶ τοὺς εὐκτηρίους οἴκους σπουδάζουσαι, καὶ περὶ τοὺς δεομένους
2 ξένους καὶ πτωχοὺς φιλοτιμούμεναι. Τράπεζα καὶ πρόοδος ὡς ἐπίπαν ἡ αὐτὴ πάσαις· κοινῇ τε νύκτωρ καὶ μεθ' ἡμέραν τὸν Θεὸν ὑμνοῦσι· καὶ οἷος ἀξιαγάστων γυναικῶν νόμος, ὑφασμάτων καὶ τῶν τοιούτων ἔργων ἐπεμελοῦντο[c]. Ῥᾳστώνην γὰρ καὶ ἀργίαν, καίπερ βασιλεύουσαι, καὶ ἐν τοῖς βασιλείοις τεχθεῖσαι καὶ τραφεῖσαι, παρθενίας ἱερὰς[d] ἣν μετιᾶσιν, ἀναξίαν
3 ἡγήσαντο, καὶ τοῦ οἰκείου βίου ἀφώρισαν. Διὰ ταῦτα δὲ προφανῶς ἵλεω ὄντος τοῦ Θεοῦ, καὶ τοῦ αὐτῶν οἴκου ὑπερμαχοῦντος, τῷ μὲν κρατοῦντι τὰ τῆς ἡλικίας καὶ τῆς ἀρχῆς ἐπεδίδου[e]· πᾶσα δὲ ἐπιβουλὴ, καὶ πόλεμος κατ' αὐτοῦ συνιστάμενος, αὐτομάτως διελύετο.

ΚΕΦ. Δ'.

Περὶ τῶν σπονδῶν τῶν Περσῶν, καὶ περὶ Ὀνωρίου, καὶ Στελίχωνος, καὶ τῶν ἐν Ῥώμῃ καὶ Δαλματίᾳ πραχθέντων.

1 Τότε γοῦν Πέρσαι μὲν εἰς μάχην κεκινημένοι, ἑκα-

[c] Ita B. Steph. Genev. ἐπιμελοῦνται tacite Valesius.

[d] Lege ἱερᾶς.

[e] ἀπεδίδου J. Christ. Scal.

sæpius prænuntiasse dicitur: multaque tum illi, tum sororibus accidisse fama est, quæ Dei erga illas amorem testarentur. Nam et illæ idem vivendi genus institutumque sectantur. Erga sacerdotes ac sacra sædes promptæ ac sedulæ: in peregrinos egentes ac pauperes munificæ. Mensa ut plurimum eadem est omnibus, idemque processus. Noctu atque interdiu hymnos Deo simul canunt. Et prout honestarum mulierum consuetudo est, texendi et hujuscemodi operum studiosæ sunt. Otium ac desidiam, quamvis Augustæ, et in imperio natæ atque educatæ, sacra virginitate quam profitentur, indignam esse censuerunt, et a vita sua procul amandarunt. Qua de causa cum Deus manifeste propitius esset, earumque domum præsidio suo tueretur, imperatoris quidem et ætas et imperium in dies crescebat. Insidiæ vero et bella, quæcumque adversus illum conflata erant, sua sponte discutiebantur.

τοντούτεις σπονδὰς πρὸς Ῥωμαίους ἔθεντο. Στελίχων
δὲ ὁ τῆς Ὀνωρίου στρατιᾶς ἡγούμενος, ὕποπτος ὢν
ὡς Εὐχέριον τὸν υἱέα τὸν ἑαυτοῦ σπουδάζων ἀναγο-
ρεῦσαι βασιλέα κατὰ τὴν ἕω, κτίννυται παρὰ τῶν ἐν
2 Ῥαβέννῃ στρατιωτῶν. Οὗτος δὲ πρότερον, ἔτι περι-
όντος Ἀρκαδίου, καταστὰς εἰς ἔχθρὰν τοῖς αὐτοῦ ἄρ-
χουσιν, ἐβεβούλευτο παρ' ἑαυτὰ[f] συγκροῦσαι τὰ βα-
σίλεια. Καὶ στρατηγοῦ Ῥωμαίων ἀξίαν προξενήσας
Ἀλαρίχῳ τῷ ἡγουμένῳ τῶν Γότθων, προὐτρέψατο
3 καταλαβεῖν τοὺς Ἰλλυριούς. Καὶ ὕπαρχον αὐτὸν[g]
καταστάντα τὸν Ἰόβιον προπέμψας, συνέθετο καὶ αὐ-
τὸς συνδραμεῖσθαι μετὰ τῶν Ῥωμαίων στρατιωτῶν,
ὥστε καὶ τοὺς τῇδε ὑπηκόους ὑπὸ τὴν Ὀνωρίου δῆθεν
4 ἡγεμονίαν ποιῆσαι. Καὶ ὁ μὲν Ἀλάριχος ἐκ τῆς πρὸς
τῇ Δαλματίᾳ καὶ Παννονίᾳ γῆς βαρβάρου, οὗ διῆγε, 370

[f] Scribendum est proculdubio πρὸς ἑαυτὰ, quemadmodum legitur in viii. 25, ex quo hæc pene ad verbum transcripta sunt. In cod. Fuk. παρ' ἑαυτοῦ, male. VALESIUS.

[g] Scribe αὐτῶν, ex viii. 25. Vide Cassiodor. x. 24. Non dissimulabo tamen, viii. 25, cod. Fuk. habere αὐτὸν, quemadmodum scribitur hoc loco. Verum Epiphanius et Nicephorus αὐτῶν legerunt. VALESIUS.

CAPUT IV.

De fœdere Persarum. Item de Honorio et Stilicone: et de rebus Romæ et in Dalmatia gestis.

Etenim per id tempus, Persæ quidem cum ad bellum prorupissent, centum annorum inducias cum Romanis pepigere. Stilico vero magister militum Honorii, cum in suspicionem venisset, quod filium suum Eucherium Orientis imperatorem renuntiare vellet, a militibus qui Ravennæ erant, occiditur. Hic porro jam antea, superstite adhuc Arcadio, cum adversus duces illius inimicitias suscepisset, utrumque imperium inter se committere studuerat. Cumque Alarico Gothorum duci dignitatem magistri militum ab Honorio impetravisset, hortatus eum fuerat ut Illyricum occuparet. Et præmisso Jovio, qui præfectus prætorio per Illyricum erat constitutus, se quoque cum legionibus militum Romanorum illuc accursurum promisit, ut eam provinciam sub Honorii ditionem redigeret. Et Alaricus quidem ex regione barbarica juxta Dalmatiam

παραλαβὼν τοὺς ὑπ' αὐτὸν, ἦγεν εἰς τὰς[h] Ἠπείρους·
καὶ συχνὸν ἐνταῦθα προσμείνας χρόνον, ἄπρακτος ἐπ-
ανῆλθεν εἰς Ἰταλίαν. Μέλλων γὰρ ἐκδημεῖν κατὰ τὰ
5 συντεθειμένα, Ὀνωρίου γράμμασιν ἐπεσχέθη. Ἐπεὶ
δὲ ἐτελεύτησεν Ἀρκάδιος, ὥρμησε μὲν Ὀνώριος φει-
δοῖ τῇ περὶ τὸν ἀδελφιδοῦν ἐπανελθεῖν εἰς Κωνσταν-
τινούπολιν, καὶ πιστοὺς ἄρχοντας καταστῆσαι τῆς
αὐτοῦ σωτηρίας καὶ βασιλείας. Ἐν τάξει γὰρ υἱέος
αὐτὸν ἔχων, ἐδεδίει μήτι πάθοι διὰ τὸ νέον ἕτοιμος
6 ὢν πρὸς ἐπιβουλήν. Ἤδη δὲ μέλλοντα ἔχεσθαι τῆς
ὁδοῦ, πείθει Στελίχων ἐν τῇ Ἰταλίᾳ μένειν τὸν Ὀνώ-
ριον, ἀναγκαῖον εἶναι τοῦτο εἰπὼν, καθότι Κωνσταν-
τῖνός τις ἐτύγχανεν ἔναγχος ἐν Ἀρηλάτῳ τυραννήσας.
Θάτερον δὲ τῶν σκήπτρων ὃ Λάβωρον[i] Ῥωμαῖοι κα-
λοῦσι, καὶ γράμματα βασιλέως λαβὼν, ἐπιτρέποντα
αὐτῷ τὴν εἰς τὴν ἀνατολὴν ἄφιξιν, ἔμελλεν ἐκδημεῖν,
7 τέσσαρας ἀριθμοὺς στρατιωτῶν παραλαβών. Ἐν
τούτῳ δὲ φήμης διαδραμούσης ὡς ἐπιβουλεύει[k] τῷ
βασιλεῖ, καὶ ἐπὶ τυραννίδα τοῦ υἱέος παρασκευάζεται,

[h] τοὺς Ἠπ. C. [i] Λάβαρον C. [k] ἐπιβουλεύοι B.

et Pannoniam, ubi degebat, assumptis Gothis qui ipsi parebant, in Epirum profectus est. Cumque longo temporis spatio illic substitisset, re infecta in Italiam rediit. Nam cum ex compacto iter facturus esset in Illyricum, Honorii literis est retentus. Post obitum vero Arcadii, Honorius quidem, ut fratris filio consuleret, Constantinopolim proficisci decreverat, et fidos illic comites constituere, qui salutem et imperium pupilli conservarent. Nam cum illum filii loco haberet, verebatur ne quid ei accideret, quippe qui ob teneram ætatem insidiis obnoxius esset. Verum cum jam iter arrepturus esset, persuasit ei Stilico ut in Italia remaneret: necessarium id esse affirmans, propterea quod Constantinus quidam Arelate tyrannidem paulo antea invasisset. Ipse vero altero ex sceptris quod Romani Labarum vocant, accepto, una cum imperatoris literis, quibus Orientalis expeditio ipsi committebatur, proficisci jam parabat, sumptis secum quatuor legionibus. Inter hæc vero, cum rumor sparsus esset illum imperatori insidias struere,

συμπράττοντας ἔχων τοὺς ἐν δυνάμει, στασιάσαντες οἱ στρατιῶται κτείνουσι τὸν Ἰταλίας ὕπαρχον, καὶ τὸν τῶν Γαλατῶν, καὶ τοὺς στρατηγοὺς, καὶ τοὺς ἄλλους τοὺς διέποντας τὰς ἐν τοῖς βασιλείοις ἀρχάς.
8 Ἀναιρεῖται δὲ καὶ αὐτὸς παρὰ τῶν ἐν Ῥαβέννῃ στρατιωτῶν· ἀνὴρ, εἴπερ τις ἄλλος πώποτε, ἐν πολλῇ δυνάμει γενόμενος, καὶ πάντας, ὡς εἰπεῖν, βαρβάρους τε καὶ Ῥωμαίους πειθομένους ἔχων. Στελίχων μὲν οὖν ὑπονοηθεὶς κακόνους εἶναι τοῖς βασιλείοις, ὧδε ἀπώλετο· κτίννυται δὲ καὶ Εὐχέριος ὁ τούτου υἱός.

ΚΕΦ. Ε'.

Περὶ διαφόρων ἐθνῶν ἐπιστρατευσάντων Ῥωμαίοις, καὶ Θεοῦ προνοίᾳ ἡττηθέντων· ἄλλων δὲ καὶ ὑποσπόνδων γενομένων.

1 Κατὰ ταυτὸν δὲ συνέβη καὶ Οὔννους στρατοπεδευομένους ἐν Θρᾴκῃ, μήτε πολεμοῦντος αὐτοῦ, μήτε διώκοντος, αἰσχρῶς ὑποστρέψαι, τοὺς πλείους ἀποβαλόντας. Ἐπεὶ γὰρ Οὔλδις[l], ὁ ἡγούμενος τῶν περὶ[m]

[l] Οὔλδης Steph. Genev. Niceph. Valesium in adnott. xiii. 35. Οὔλδις cod. Fuk. Conf. [m] ὑπὲρ B. J.

et adscitis in societatem potentibus, filio suo imperium parare, milites seditione facta, præfectum prætorio Italiæ, et præfectum prætorio Galliarum; simul magistros militum, et reliquos qui in palatio præcipuas dignitates gerebant, interficiunt. Ipse quoque Stilico a militibus occisus est Ravennæ: vir, si quis unquam, ad magnam potentiam evectus, et qui universos, ut ita dicam, Romanos ac barbaros sibi parentes habuit. Ac Stilico quidem, cum in suspicionem venisset quasi imperio insidiaretur, hoc modo interiit. Sed et Eucherius ejus filius una interfectus est.

CAPUT V.

De diversis gentibus quæ bellum intulerunt Romanis, et quæ Divina providentia devictæ sunt, aut fœdus cum Romanis pepigerunt.

Accidit prterea eodem tempore, ut Hunni qui in Thracia castra habebant, nemine eos aggrediente ac persequente, pluribus suorum amissis, cum dedecore terga darent. Quippe Uldis, barbarorum qui circa Danubium erant, regulus, cum ingenti exercitu

τὸν Ἴστρον βαρβάρων, πλείστην ἔχων στρατιὰν ἐπε-
ραιώθη τὸν ποταμὸν, ἐν τοῖς Θρᾳκῶν ὅροις ἐστρατο-
2 πεδεύετο. Καὶ Καστράμαρτις πόλιν τῆς Μυσίας προ-
δοσίᾳ ἑλὼν, ἐντεῦθεν τὴν ἄλλην Θρᾴκην κατέτρεχε,
καὶ σπονδὰς θέσθαι πρὸς Ῥωμαίους ὑπ' ἀλαζονείας
οὐκ ἠνείχετο. Διαλεγομένου δὲ αὐτῷ[n] περὶ εἰρήνης 371
τοῦ ὑπάρχου τῶν Θρᾳκίων στρατευμάτων, ἀνίσχοντα
τὸν ἥλιον ἐπιδείξας, οὐ χαλεπὸν αὐτῷ ἔφη, ἣν βού-
3 λοιτο, πᾶσαν ἣν ἐφορᾷ γῆν καταστρέψασθαι. Τερα-
τευομένου[o] δὲ τοιάδε, καὶ δασμὸν ὅσον ἐβούλετο ἐπι-
τάττοντος, καὶ ἐπὶ τούτοις συντίθεσθαι Ῥωμαίοις
εἰρήνην ἔχειν[p], ἢ πόλεμον περιμένειν· ἀμηχάνου τε
τοῦ πράγματος ὄντος, ἐπέδειξεν ὁ Θεὸς ἣν ἔχει προ-
4 μήθειαν περὶ τὴν παροῦσαν βασιλείαν. Οὐκ εἰς μα-
κρὰν γὰρ λόγοι[q] πρὸς τοὺς ἀμφὶ τὸν Οὔλδιν οἰκείους
καὶ λοχαγοὺς ἐγένοντο περὶ τῆς Ῥωμαίων πολιτείας,
καὶ τῆς τοῦ βασιλέως φιλανθρωπίας, ὁποίων τε καὶ

[n] αὐτοῦ correct. in αὐτῷ B.

[o] στρατευομένου J. Scal.

[p] In cod. Fuk. ἔχοντι, mendose, ut apparet. Vulgata tamen lectio haud penitus sana est. Deest enim verbum λέγοντος, quod post vocem Ῥωμαίοις addendum videtur. VALESIUS. εἰρήνην τε B.

[q] μακρὰν δὲ λόγος B.

amnem transgressus, in finibus Thraciæ castrametatus fuerat. Cumque urbem Mœsiæ, quæ Castra Martis dicitur, proditione cepisset, inde in reliquam Thraciam excursiones faciebat. Nec fœdus cum Romanis facere præ superbia dignabatur. Et cum aliquando magister militum Thraciæ cum illo verba faceret de pace, ille solem orientem demonstrans, facile sibi esse dixit, universam quam ille radiis suis collustraret terram subigere, si vellet. Cumque hujusmodi minas intentaret, et tributum pro libito imperaret Romanis, juberetque ut ea conditione pacem haberent, aut certe bellum exspectarent, resque in maximo discrimine constitutæ essent, declaravit Deus quantam hujus imperii curam ac sollicitudinem gereret. Etenim paulo post, in familiari colloquio cum domesticis Uldis ejusque ordinum ductoribus, verba facta sunt de Romanorum republica, deque imperatoris humanitate: quantis præmiis viros bonos ac fortes remuneraretur. Illi vero non sine

ὅσων ἀξιοῖ γερῶν τοὺς ἀρίστους καὶ ἀγαθοὺς ἄνδρας.
Οὐκ ἀθεεὶ δὲ τούτων εἰς ἔρωτα καταστάντες, Ῥωμαίοις
προσεχώρησαν, καὶ σὺν αὐτοῖς ἐστρατοπεδεύοντο ἅμα
5 *τοῖς ὑπ' αὐτοὺς τεταγμένοις. Ὁ δὲ Οὔλδις πρὸς τὸ*
πέραν τοῦ ποταμοῦ μόλις διεσώθη, πολλοὺς ἀποβα-
λὼν, ἄρδην δὲ τοὺς καλουμένους Σκιροὺς[r]*, ἔθνος δὲ*
τοῦτο βάρβαρον ἱκανῶς πολυάνθρωπον πρὶν τοιᾶδε
περιπεσεῖν συμφορᾷ· ὑστερήσαντες γὰρ ἐν τῇ φυγῇ,
οἱ μὲν αὐτῶν ἀνῃρέθησαν, οἱ δὲ ζωγρηθέντες δέσμιοι
6 *πρὸς τὴν Κωνσταντινούπολιν ἐξεπέμφθησαν. Δόξαν*
δὲ τοῖς ἄρχουσιν διανεῖμαι τούτους, μή τι πλῆθος
ὄντες νεωτερίσωσι· τοὺς μὲν, ἐπ' ὀλίγοις τιμήμασι
ἀπέδοντο· τοὺς δὲ, πολλοῖς προῖκα δουλεύειν παρέ-
δοσαν[s]*, ἐπὶ τῷ*[t] *μήτε Κωνσταντινουπόλεως, μήτε*
πάσης Εὐρώπης ἐπιβαίνειν, καὶ τῇ μέσῃ θαλάσσῃ
7 *χωρίζεσθαι τὸν ἐγνωσμένον αὐτοῖς τόπον. Ἐκ τού-*
των τε πλῆθος ἄπρατον περιλειφθὲν, ἄλλος ἀλλαχῇ

[r] Codex Fuketii habet *Σκιρούς*. Quo modo etiam hi populi vocantur a Prisco Rhetore in Excerptis Legationum. Sciros quoque vocat Jordanes in Gothicis et in libro de Successione Regnorum. Apud Zosimum vero in lib. 4. *Σκύροι* dicuntur. VALESIUS. *Σκιρροὺς* B. Steph. Genev.

[s] *ἀπέδοσαν* B. Steph. Genev. *παρέδοσαν* tacite nescio quo auctore Valesius.

[t] Ita J. *ἐπὶ τὸ* ceteri.

divino nutu, istorum amore capti, ad Romanos transfugerunt, et castra cum illis junxerunt, una cum barbaris qui sub ipsis erant. Uldis vero in ulteriorem fluminis ripam transgressus, ægre tandem evasit, multis quidem suorum amissis: Sciris vero ad internecionem deletis. Erat hæc gens barbara, multitudine hominum abundans antequam in hanc calamitatem incidisset. Nam cum hi tardius quam reliqui fugissent, pars eorum truncati: pars capti vinctique, Constantinopolim transmissi sunt. Cumque magistratibus placuisset eos per varia loca dispergi, ne quid novi, utpote numero prævalentes, tentarent; alios quidem exiguo pretio vendiderunt; alios vero gratis in servitutem dederunt, ea conditione ne unquam Constantinopolim ingrederentur, neve in Europæ regiones ullas pedem inferrent: sed interpositi maris divortio a locis sibi notis separarentur. Ex his, non exigua pars relicta, eorum

σπεύδοντι[z] ἐπὶ Ῥώμην Ἀλαρίχῳ παραινέσαι, φείσασθαι τῆς πόλεως, μηδὲ τηλικούτων αἴτιον γενέσθαι κακῶν· τὸν δὲ φᾶναι, ὡς οὐχ ἑκὼν τάδε ἐπιχειρεῖ· ἀλλά τις συνεχῶς ἐνοχλῶν αὐτὸν βιάζεται, καὶ ἐπι- 2
τάττει τὴν Ῥώμην πορθεῖν· ὃ δὴ τελευτῶν ἐποίησεν.
7 Ἐν ᾧ δὲ ἐπολιόρκει, πλεῖστα δῶρα λαβὼν, ἐπὶ χρόνον τινὰ πολιορκίαν ἔλυσε, συνθεμένων Ῥωμαίων τὸν βασιλέα πείσειν εἰς εἰρήνην αὐτὸν δέχεσθαι.

ΚΕΦ. Ζ′. 3

Περὶ Ἰνοκεντίου τοῦ τῆς πρεσβυτέρας Ῥώμης ἐπισκόπου, ὡς διεπρεσβεύσατο πρὸς Ἀλάριχον· καὶ περὶ Ἰοβίου τοῦ Ἰταλίας ὑπάρχου, καὶ περὶ τῆς εἰς βασιλέα πρεσβείας, καὶ ὅσαπερ Ἀλαρίχῳ συνέβη.

1 Γενομένης δὲ περὶ τούτου πρεσβείας, οἱ τὰ ἐναντία 3
πράττοντες Ἀλαρίχῳ ἐν τοῖς βασιλείοις, ἐνεπόδιζον τῇ εἰρήνῃ. Μετὰ δὲ ταῦτα πρεσβευσαμένου Ἰνοκεντίου τοῦ Ῥωμαίων ἐπισκόπου, μετακληθεὶς Ἀλάριχος γράμμασι τοῦ βασιλέως, ἧκεν εἰς Ἀρίμηνον πόλιν, 4
δέκα καὶ διακοσίοις σταδίοις τῆς Ῥαβέννης ἀφεστῶ- 3
2 σαν. Ἐνταῦθα δὲ σκηνὰς ἔχοντι πρὸ τῶν τειχῶν, εἰς

[z] σπεύδων τι Steph. corr. Curt.

Italia erant, Alarico Romam properanti suasisse, ut urbi parceret, nec tantorum malorum auctor existeret. Cui Alaricus respondisse dicitur, se non sua sponte hæc aggredi: sed quendam sibi assidue molestum esse, qui ipsum urgeat, Romamque expugnare jubeat: quod et ille tandem fecit. Porro cum urbem obsideret, plurimis muneribus acceptis, aliquanto temporis spatio obsidionem solvit, cum Romani pacti essent, se imperatori persuasuros ut illum in amicitiam reciperet.

CAPUT VII.

Quomodo Innocentius Romanæ urbis episcopus legatos misit ad Alaricum. Item de Jovio præfecto prætorio Italiæ: et de legatione ad imperatorem, et de his quæ Alarico contigerunt.

Quumque hac de re legatio missa esset, hi qui in palatio principis Alarico adversabantur, paci obstabant. Postea vero cum Innocentius Romanæ urbis episcopus legatos misisset, Alaricus imperatoris literis evocatus, Ariminum venit, quæ urbs ducentis ac decem stadiis distat Ravenna. Ibi dum ante muros urbis castra posuisset, Jovius præfectus prætorio Italiæ cum eo collocutus, Ala-

λόγους ἐλθὼν Ἰόβιος τῆς Ἰταλίας ὕπαρχος ὤν, δηλοῖ τῷ βασιλεῖ τὴν Ἀλαρίχου αἴτησιν, καὶ ὡς δέοι δέλτοις αὐτὸν τιμῆσαι στρατηγοῦ δυνάμεως ἑκατέρας.

3 Ὁ δὲ βασιλεύς, χρημάτων μὲν καὶ σιτηρεσίων ὧν ᾔτει, ὡς ὑπάρχῳ Ἰοβίῳ τὴν ἐξουσίαν δέδωκεν· ἀξίας δὲ οὔ ποτε μεταδώσειν αὐτῷ ἀντεδήλωσεν. Ἀβούλως δὲ Ἰόβιος ἐν τῇ Ἀλαρίχου σκηνῇ περιμείνας τὸν ἐκ τῶν βασιλείων ἀπεσταλμένον, ἀναγινώσκειν ἐκέλευε παρόντων τῶν βαρβάρων τὰ δόξαντα τῷ βασιλεῖ.

4 Ἐπὶ δὲ τῇ ἀρνήσει τοῦ ἀξιώματος ὀργισθεὶς Ἀλάριχος ὡς ὑβρισμένος, αὐθωρὸν τῇ σάλπιγγι σημήνας, ἐπὶ τὴν Ῥώμην ἤλαυνε. Δείσας δὲ ὁ Ἰόβιος μὴ ὑπονοηθῇ τῷ βασιλεῖ Ἀλαρίχῳ σπουδάζειν, ἀβουλοτέρῳ ἢ πρότερον περιπεσών, πρὸς τῆς σωτηρίας τοῦ βασιλέως αὐτὸς ὤμοσε, καὶ τοὺς ἄλλους ἄρχοντας παρεσκεύασε, μή ποτε εἰρήνην θέσθαι πρὸς Ἀλάριχον.

5 Οὐκ εἰς μακρὰν δὲ μεταμεληθεὶς ὁ βάρβαρος, ἐδήλωσε μηδὲν ἀξιωμάτων δεῖσθαι· σύμμαχον δὲ παρέξειν ἑαυτὸν ἐπὶ μετρίᾳ σίτου δόσει, καὶ οἰκήσει τόπων, οὐ πάνυ Ῥωμαίοις ἐσπουδασμένων.

rici postulata imperatori significavit, eumque codicillis magisterii utriusque militiæ honorandum esse. Verum imperator, quod quidem ad pecuniam et annonas pertinet quas poscebat Alaricus, Jovio utpote præfecto potestatem concessit. Dignitatem vero se nunquam daturum respondit. Porro Jovius legatum ex palatio missum in tentoriis Alarici præstolatus, satis inconsulte coram universis barbaris, imperatoris mandata recitare eum jussit. Tum Alaricus ob negatam dignitatem indignatus, perinde ac si contumelia affectus fuisset, illico signo tubæ dato, Romam versus contendit. At Jovius, metuens ne imperator ipsum Alarico favere suspicaretur; inconsultius adhuc quam antea, per salutem principis et ipse juravit, et alios proceres jurare compulit, nunquam se cum Alarico pacem facturos. Barbarus vero non ita multo post pœnitentia ductus, scripsit sibi nihil opus esse dignitatibus. Cæterum se Romanis socium fore, dummodo modicum ipsi frumentum præberetur, et loca ad habitandum, quæ Romanis haudquaquam magni momenti esse viderentur.

ΚΕΦ. Η'.

Περὶ τῆς ἀποστασίας Ἀττάλου, καὶ τοῦ στρατηγοῦ Ἡρακλειανοῦ· καὶ ὡς ὕστερον προσπεσὼν Ὁνωρίῳ συγγνώμης ἔτυχε.

1 Ἐπεὶ δὲ δὶς ἀπέτυχε περὶ τούτου πρεσβευσάμενος
διά τινων ἐπισκόπων, ἐλθὼν εἰς Ῥώμην, ἐπολιόρκει
τὴν πόλιν· καὶ ἐξ ἑνὸς μέρους τὸν Πόρτον ἑλὼν, βιά-
ζεται Ῥωμαίους βασιλέα ψηφίσασθαι τὸν Ἄτταλον,
2 ὕπαρχον ὄντα τότε τῆς πόλεως. Ῥωμαίων δὲ προ-
βληθέντων ἐπὶ τὰς ἄλλας ἀρχὰς, χειροτονεῖται Ἀλά-
ριχος στρατηγὸς ἑκατέρας δυνάμεως· Ἀδάουλφος δὲ
ὁ τῆς αὐτοῦ γαμετῆς ἀδελφὸς, ἡγεμὼν τῶν ἱππέων
δομεστίκων καλουμένων. Συγκαλέσας δὲ τὴν γερου-
σίαν Ἄτταλος, λόγον διῆλθε μακρὸν καὶ λαμπρῶς
μάλα πεπονημένον, ὑπισχνούμενος τὰ πάτρια τῇ συγ-
κλήτῳ φυλάξειν, καὶ τὴν Αἴγυπτον καὶ πᾶσαν τὴν
3 πρὸς ἕω ἀρχομένην, ὑπήκοον Ἰταλοῖς ποιῆσαι. Καὶ
ὁ μὲν ὧδε ἀλαζονευόμενος, οὐδὲ εἰς ἐνιαυτὸν ὁλόκλη-
ρον ἤμελλε βασιλεὺς καλεῖσθαι· μάντεσι δέ τισιν
ὑπαχθεὶς, ὑπισχνουμένοις ἀμαχητὶ τὴν Ἀφρικὴν καθ-

CAPUT VIII.

De rebellione Attali, et comite Heracliano. Et quomodo Attalus pedibus Honorii postea advolutus, veniam impetrarit.

Ubi vero missa episcoporum legatione, bis repulsam hujus rei passus est, Romam reversus, eam iterum obsedit. Et ex una parte capto Portu, Romanos vi compulit, ut Attalum qui tum præfectus urbis erat, imperatorem crearent. Cumque Romani ad reliquas dignitates promoti essent, Alaricus magister utriusque militiæ constituitur: Ataulfus vero frater uxoris ejus, comes domesticorum equitum. Porro Attalus convocato senatu, orationem habuit prolixam, et admodum splendide elaboratam: pollicitus se jura patria senatui servaturum, et Ægyptum ac reliquas Orientis provincias sub Italorum ditionem redacturum esse. Et hic quidem talia magnifice jactabat, qui ne unius quidem anni spatio imperatoris nomen erat retenturus. Verum inductus a quibusdam vatibus, ipsum citra pugnam Africa potiturum esse pollicentibus, nec Alarico credidit, qui modicam militum manum Carthaginem mit-

ἕξειν, οὔτε Ἀλαρίχῳ ἐπείσθη, μετρίαν δύναμιν εἰσηγησαμένῳ πέμψαι εἰς Χαρχηδόνα ἐπὶ ἀναιρέσει τῶν Ὀνωρίου ἀρχόντων, εἰ ἀντιπαρατάξοιεν αὐτῷ· οὔτε Ἰωάννῃ, ὃν προεστήσατο τῶν ἀμφ' αὐτὸν βασιλικῶν τάξεων, φάσκοντι χρῆναι Κώνσταντα τὸν ἐκδημεῖν εἰς Λιβύην παρ' αὐτοῦ τεταγμένον, ὡς παρὰ Ὀνωρίου ἀπεσταλμένον, γράμματι συνήθει[z] ὃ διάταγμα 374
καλοῦσι, παῦσαι τῆς ἀρχῆς Ἡρακλειανὸν, τὸν τηνικάδε τῶν ἐν Ἀφρικῇ στρατιωτῶν[a] ἐπιτετραμμένον
4 *τὴν ἡγεμονίαν. Ἴσως δ' ἂν καὶ τοῦτο προυχώρησεν· οὔπω γὰρ δῆλα ἐγεγόνει τοῖς[b] ἐν Λιβύῃ τὰ κατὰ Ἄτταλον. Ἐπεὶ δὲ Κώνστας, τοῦτο τοῖς μάντεσι δόξαν, ἔπλευσεν εἰς Καρχηδόνα, Ἄτταλος δὲ ἐπὶ τοσοῦτον ἐβλάβη τὸν νοῦν, ὡς μηδὲ ἀμφιβάλλειν ἀξιοῦν, ἀλλὰ πεπεῖσθαι τοὺς Ἄφρους ὑπηκόους ἔχειν κατὰ τὴν πρόρρησιν τῶν μάντεων, ἐπιστρατεύει τῇ Ῥαβέννῃ.*
5 *Ἅμα δὲ ἠγγέλθη, εἰς Ἀρίμινον[c] ἀφῖχθαι μετὰ τῆς Ῥωμαίων στρατιᾶς καὶ τῶν βαρβάρων, γράφει αὐτῷ Ὀνώριος ὡς βασιλεῖ, καὶ πρεσβεύεται διὰ τῶν ἀμφ'*

[z] *συνήθως* J. Christ. Scal.
[a] *στρατιῶν* J.
[b] *τῶν* B. Steph. Genev. *τοῖς* tacite Valesius.
[c] *Ἀρίμηνον* B.

tendam esse suadebat ad perimendos Honorii duces, si ipsius imperio resisterent: nec Joanni, quem ipse magistrum officiorum creaverat: qui monebat oportere ut Constans, quem ipse in Africam mittere decreverat, tanquam ab Honorio missus, epistola solemni quam vulgo edictum vocant, Heracliano qui tum comes rei militaris per Africam erat constitutus, potestatem abrogaret. Atque id forsitan successisset. Nondum enim Afris quidquam innotuerat de imperio Attali. Porro ubi Constans juxta vatum responsa Carthaginem navigasset, Attalus qui usque adeo mente captus erat, ut ne dubitare quidem vellet, sed pro certo haberet, Afros, sicut ipsi a vatibus prædictum fuerat, imperio suo subjectos esse, Ravennam versus exercitum movit. Posteaquam vero nuntiatum est, illum jam Ariminum pervenisse cum copiis Romanorum simul et barbarorum, confestim Honorius ad eum tanquam imperatorem literas dedit, missisque legatis iis qui in ipsius palatio præcipuas

αὐτὸν τὰς μεγίστας ἀρχὰς λαχόντων, κοινωνὸν ἀγα-
πῶν ἔχειν τῆς βασιλείας. Ἄτταλος δὲ, τὴν μὲν κοι-
νωνίαν τοῦ κράτους ἀπαρνεῖται· δηλοῖ δὲ Ὀνωρίῳ,
νῆσον ἢ τόπον ἑλέσθαι ὃν βούλεται, καὶ καθ' ἑαυτὸν
6 διάγειν, πάσης βασιλικῆς θεραπείας ἀξιούμενον. Εἰς
τοῦτο δὲ περιστάντων[d] τῶν πραγμάτων, ὡς εὐπρεπεῖς
αὐτὸν ἔχειν ναῦς, ἵν' εἰ δεήσειεν ἀποπλεύσῃ πρὸς τὸν
ἀδελφιδοῦν, ἀδοκήτως, ἐν ἓξ ἀριθμοῖς ἀμφὶ τετρακισ-
χίλιοι στρατιῶται νύκτωρ τῇ Ῥαβέννῃ προσέπλευσαν
ἐκ τῆς ἀνατολῆς· οἷς τὴν φυλακὴν τῶν τειχῶν ἐπέ-
τρεψε, δεδιὼς τῶν ἐπιχωρίων στρατιωτῶν τὸ ἕτοιμον
7 εἰς προδοσίαν. Ἐν τούτῳ δὲ Ἡρακλειανὸς ἀνελὼν
τὸν Κώνσταντα, φύλακας ἐπέστησεν ἐν τοῖς λιμέσι
καὶ ταῖς ἀκταῖς τῆς Ἀφρικῆς, καὶ τὰ πλοῖα τῶν ἐμ-
πόρων ἐκώλυσεν εἰς Ῥώμην ἀνάγεσθαι. Λιμοῦ δὲ
ἐντεῦθεν καταλαβόντος τοὺς Ῥωμαίους, πρεσβεύονται
8 περὶ τούτου πρὸς Ἄτταλον. Ὁ δὲ πρὸς τὸ πρακτέον
ἀμηχανῶν, ἐπανῆλθεν εἰς Ῥώμην, ὡς μετὰ τῆς συγ-
κλήτου συμβουλευσόμενος. Ἐπικρατήσαντος δὲ τοῦ
λιμοῦ ἐπὶ τοσοῦτον, ὡς καστάνοις ἀντὶ σίτου κεχρῆ-

[d] παραστάντων J. Christ. [Vulc. hanc variationem haud notavit Scal.]

dignitates gerebant, illum imperii consortem libenter se habere significavit. Verum Attalus, consortium quidem imperii recusavit: Honorio autem scripsit, ut insulam aut alium quem vellet locum sibi deligeret, in quo privatus degeret, omni imperatorio cultu nihilominus retento. Dum in eo statu res essent Honorii, ut paratas haberet naves, quibus ad fratris filium navigaret si necessitas coegisset, repente sex numeri, quatuor circiter armatorum millia continentes, ex Orientis partibus Ravennam insperato appulere. Quibus ille murorum custodiam commisit, Italorum militum animos ad proditionem propensos reformidans. Interea Heraclianus occiso Constante, in portubus ac litoribus Africæ custodes apposuit, et mercatorum naves Romam navigare vetuit. Qua de causa cum fames urbem premere cœpisset, Romani legatos ad Attalum misere. Ille quid agendum esset ambigens, Romam rediit, tan-

σθαι τὸν δῆμον[e], *ὑπονοηθῆναι δέ τινας καὶ ἀνθρωπίνων ἀπογεύσασθαι κρεῶν, Ἀλάριχος μὲν συνεβούλευε πεντακοσίους βαρβάρους κατὰ Ἡρακλειανοῦ πέμπειν*[f]· *τῇ δὲ συγκλήτῳ καὶ Ἀττάλῳ ἐδόκει, μὴ δεῖν πιστευ-*
9 *θῆναι βαρβάροις τὴν Ἀφρικήν. Ἐπεὶ δὲ δῆλον ἦν τὸν Θεὸν ἀντιπράττειν τῇ Ἀττάλου βασιλείᾳ, συνιδὼν Ἀλάριχος μάτην πονεῖν ἐπὶ πράγματι οὐκ ἐν αὐτῷ κειμένῳ, συντίθεται περὶ καταλύσεως τῆς αὐτοῦ*
10 *ἀρχῆς πρὸς Ὀνώριον, ὑποσχέσεις λαβών. Πάντων τοίνυν συνελθόντων πρὸ τῆς πόλεως, ἀποτίθεται Ἄτταλος τὰ σύμβολα τῆς βασιλείας*[g]· *συναποτίθενται δὲ τὰς ζώνας καὶ οἱ αὐτοῦ ἄρχοντες, καὶ συγγνώμην ἐπὶ τοῖς συμβεβηκόσι νέμει πᾶσιν Ὀνώριος, ἕκαστον*[h] 375
ἔχειν τὴν τιμὴν καὶ τὴν ἀξίαν ἧς προτοῦ μετελάγχα-
11 *νεν. Ἄτταλος δὲ ἅμα τῷ παιδὶ, Ἀλαρίχῳ συνῆν, οὐκ ἂν*[i] *οὐκ ἀσφαλὲς τέως ἡγούμενος ἐν Ῥωμαίοις διάγειν.*

[e] Ita C. τὸν δῆμον om. ceteri.
[f] πέμψειν C.
[g] τοῦ βασιλέως J. Christ. Scal.
[h] Scribe ὥσθ' ἕκαστον, ut legitur apud Nicephorum in xiii. 35. VALESIUS.
[i] Delendæ sunt duæ voces οὐκ ἂν, utpote superfluæ. VALES.

quam ea de re cum senatu consulturus. Porro cum fames tantopere crevisset, ut cives tritici loco castaneis uterentur, et quosdam humanas carnes comedisse suspicio esset: Alaricus quidem suadebat ut quingenti barbari adversus Heraclianum mitterentur: senatui vero et Attalo visum est, Africam barbaris committi non oportere. Cum igitur manifestum esset Deum imperio Attali adversari, animadvertens Alaricus, frustra se laborare in negotio quod in sua potestate situm non esset, de abolendo ejus imperio paciscitur cum Honorio, fide ab illo prius accepta. Proinde cum universi extra urbem convenissent, Attalus insignia imperii deposuit. Simul etiam comites ejus cingula deposuerunt: Et Honorius præteritorum veniam omnibus concessit, ita ut eum honoris gradum eamque dignitatem singuli retinerent, quam prius habebant. Attalus vero una cum filio suo apud Alaricum remansit, haudquaquam sibi tutum deinceps fore ratus, inter Romanos degere.

ΚΕΦ. Θ'.

Περὶ τῆς ταραχῆς, ἣν ἔσχον οἱ Ἕλληνες καὶ οἱ Χριστιανοὶ περὶ Ἀττάλου· καὶ περὶ Σάρου τινὸς ἀνδρείου· καὶ ὡς Ἀλάριχος δόλῳ εἷλε τὴν Ῥώμην, ἄσυλον φυλάξας τὸ τοῦ ἀποστόλου Πέτρου ἱερόν.

1 Ἐπὶ τούτοις δὲ ὧδε ἀποβεβηκόσιν, οὐ μετρίως
ἐδυσφόρουν Ἕλληνές τε καὶ Χριστιανοὶ, οἱ ἀπὸ τῆς
Ἀρείου αἱρέσεως. Οἱ μὲν γὰρ, τεκμηράμενοι τῆς Ἀτ-
τάλου προαιρέσεως καὶ τῆς προτέρας ἀγωγῆς, εἰς τὸ
προφανὲς ἑλληνίσειν αὐτὸν ἡγοῦντο, καὶ τοὺς πατρίους
ἀποδιδόναι ναοὺς, καὶ ἑορτὰς καὶ θυσίας· οἱ δὲ, τῶν
ἐκκλησιῶν ὡς ἐπὶ Κωνσταντίου καὶ Οὐάλεντος πάλιν
κρατήσειν ᾤοντο, εἰ βεβαίως σχοίη τὴν βασιλείαν.
Καθότι καὶ βαπτισθεὶς ἦν παρὰ Σιγησαρίου τοῦ ἐπι-
σκόπου τῶν Γότθων, καὶ καταθύμιος ἐπὶ τούτῳ πᾶσί
2 τε αὐτοῖς καὶ Ἀλαρίχῳ ἐτύγχανεν. Οὐ πολλῷ δὲ
ὕστερον Ἀλάριχος καταλαβὼν τὰς Ἄλπεις, χωρίον
δὲ τοῦτο ἀμφὶ τὰ ἑξήκοντα στάδια διεστὼς τῆς Ῥα-
βέννης, εἰς λόγους ἦλθε τῷ βασιλεῖ περὶ τῆς εἰρήνης.
3 Σάρος δέ τις βάρβαρος τὸ γένος, εἰς ἄκρον τὰ πολέμια

CAPUT IX.

De spe quam præsumpserant pagani et Ariani propter Attalum. Item de Saro fortissimo duce. Et quomodo Alaricus Romam per fraudem ceperit, et basilicam Sancti Petri inviolatam servaverit.

Hujusmodi exitum istarum rerum permoleste tulerunt tum pagani, tum ex Christianis ii, qui Arianam sectam sequebantur. Nam pagani quidem, conjecturam capientes ex Attali instituto et ex priore ejus educatione, illum superstitionem Gentilium palam amplexurum esse sperabant, et templa ac sacrificia patria, diesque festos ipsis redditurum. Ariani vero, ecclesiarum potestatem iterum se adepturos putabant, quemadmodum Constantii ac Valentis temporibus acciderat, si Attalus imperium firmiter obtinuisset. Etenim a Sipesario Gothorum episcopo fuerat baptizatus, atque idcirco et omnibus ipsis, et Alarico, gratissimus habebatur. Non multo post Alaricus, cum Alpes occupasset, locus est sexaginta circiter stadiis distans Ravenna, cum imperatore sermones habuit de pace. Sarus vero quidam natione barbarus, rei militaris peri-

ἠσκημένος, ἀμφὶ τριακοσίους μόνους περὶ αὐτὸν ἔχων
πάντας εὔνους καὶ ἀρίστους, ὕποπτος ὢν Ἀλαρίχῳ
διὰ προτέραν ἔχθραν, ἐλογίσατο μὴ συνοίσειν αὐτῷ
τὰς μεταξὺ Ῥωμαίων καὶ Γότθων σπονδάς. Καὶ ἐξ-
απίνης μετὰ τῶν ἰδίων ἐπανελθὼν[k], ἀναιρεῖ τινὰς τῶν
4 βαρβάρων. Ἐκ τούτου δὲ εἰς ὀργὴν καὶ δέος κατα-
στὰς Ἀλάριχος, τὴν αὐτὴν ὁδὸν ἀναστρέφει· καὶ
περικαθεσθεὶς τὴν Ῥώμην εἷλε προδοσίᾳ· καὶ τοῖς
αὐτοῦ πλήθεσιν ἐπέτρεψεν ἑκάστῳ, ὡς ἂν δύναιτο,
τὸ[l] Ῥωμαίων πλοῦτον διαρπάζειν[m], καὶ πάντας τοὺς
οἴκους ληΐζεσθαι· ἄσυλον εἶναι προστάξας αἰδοῖ τῇ
πρὸς τὸν ἀπόστολον Πέτρον, τὴν περὶ τὴν αὐτοῦ σο-
ρὸν ἐκκλησίαν, μεγάλην τε καὶ πολὺν χῶρον περι-
5 έχουσαν. Τουτὶ δὲ γέγονεν αἴτιον, τοῦ μὴ ἄρδην
ἀπολέσθαι τὴν Ῥώμην. Οἱ γὰρ ἐνθάδε διασωθέντες,
πολλοὶ δὲ[n] ἦσαν, πάλιν τὴν πόλιν ᾤκισαν[o].

[k] Mallem scribere ἐπελθὼν, quomodo etiam Savilius ad latus sui codicis emendarat. VALESIUS.

[l] Ita C. Niceph. τῶν ceteri.

[m] Ita C. ἁρπάζειν ceteri. ἁρπάζειν ὡς ἂν δύναιτο B.

[n] Ita C. Niceph. γὰρ ceteri.

[o] Ita C. Niceph. ᾤκησαν ceteri.

tissimus, qui trecentos plus minus milites circa se habebat, sed fidos inprimis ac bellicosos, cum ob priorem simultatem suspectus esset Alarico, fœdus inter Romanos et Gothos haudquaquam e re sua fore consideravit. Itaque cum suis repente irruens, quosdam ex barbaris interfecit. Quam ob causam ira simul ac metu percitus Alaricus, eadem qua venerat via revertitur. Et Romam iterum obsessam proditione cepit: suisque copiis permisit, ut singuli quantum possent, Romanorum opes diriperent, et universas domos deprædarentur. Ob reverentiam tamen erga Petrum apostolum, basilicam quæ circa illius tumulum magna est et spatiosissima, inviolatam esse jussit. Atque hæc res impedimento fuit ne urbs Roma funditus interiret. Nam qui illic servati erant, quorum ingens fuit multitudo, urbem denuo instaurarunt.

ΚΕΦ. Ι'. 3

Περὶ τῆς Ῥωμαίας γυναικὸς, σωφροσύνης ἔργον ἐνδειξαμένης.

1 Οἷα δὲ εἰκὸς, ὡς ἐν ἁλώσει τοιᾶσδε πόλεως πολ-
λῶν συμβεβηκότων, ὃ τότε μοι ἔδοξεν ἐκκλησιαστικῆς
ἱστορίας ἄξιον γεγενῆσθαι ἀναγράψομαι. Δηλοῖ γὰρ
ἀνδρὸς βαρβάρου πρᾶξιν εὐσεβῆ, καὶ γυναικὸς Ῥω-
μαίας ἀνδρείαν ἐπὶ φυλακῇ[p] σωφροσύνης, ἀμφοτέ-
ρων δὲ Χριστιανῶν, οὐκ ἀπὸ τῆς αὐτῆς αἱρέσεως·
καθότι ὁ μὲν, τὰ Ἀρείου· ἡ δὲ, τῶν ἐν Νικαίᾳ τὴν
2 πίστιν ἐζήλου. Ταύτην δὲ εὖ μάλα καλὴν ἰδών τις
νέος τῶν Ἀλαρίχου στρατιωτῶν, ἡττήθη τοῦ κάλ-
λους, καὶ εἰς συνουσίαν εἷλκεν. Ἀνθέλκουσαν δὲ καὶ
βιαζομένην μηδὲν ἀσελγὲς παθεῖν, γυμνώσας τὸ ξί-
φος, ἠπείλησεν ἀναιρεῖν· καὶ μετὰ φειδοῦς, οἷά γε
ἐρωτικῶς διακείμενος, ἐξ ἐπιπολῆς ἔπληξε τὸν τράχη-
3 λον. Πολλῷ δὲ περιρρεομένη τῷ αἵματι, τὸν αὐχένα
τῷ ξίφει ὑπέσχεν· αἱρετώτερον ἐν σωφροσύνῃ λογι-
σαμένη ἀποθανεῖν, ἢ ζῆν ἑτέρου πειρασθεῖσαν ἀνδρὸς

p Ita tacite Valesius, φυλακῆς B. Steph. Genev.

CAPUT X.

De muliere Romana, quæ castitatis egregium specimen edidit.

Porro cum, ut verisimile est in tantæ urbis expugnatione, multa acciderint, ego id quod Ecclesiastica Historia dignum mihi tum videtur contigisse, in præsentia commemorabo. Simul enim et pium facinus viri barbari, et fortitudo mulieris Romanæ in custodienda castitate ostenditur. Uterque autem Christianus fuit, sed non ejusdem sectæ. Nam barbarus quidem, opinionem Arii: mulier vero, Nicæni concilii fidem sequebatur. Hanc cum juvenis quidam ex militibus Alarici eximia forma præditam vidisset, captus pulcritudine, trahebat ad stuprum. Cum autem reluctaretur mulier, totisque viribus obsisteret ne quid obsceni pateretur, barbarus nudato gladio mortem ei minatus est. Et levi brachio, utpote qui ob amorem parcere ei vellet, superficie tenus collum percussit. Tum mulier multo cruore perfusa, cervicem gladio subjecit: optabilius esse ducens, ut cum castitate moreretur, quam ut

4 μετὰ τὸν νόμῳ[q] συνοικήσαντα. Ἐπεὶ δὲ πάλιν[r] ὁ βάρβαρος καὶ φοβερώτερον ἐπιὼν οὐδὲν πλέον ἤνυε, θαυμάσας αὐτῆς τὴν σωφροσύνην[s], ἤγαγεν εἰς τὸ Πέτρου ἀποστολεῖον· καὶ παραδοὺς τοῖς φύλαξι τῆς ἐκκλησίας, καὶ χρυσοὺς ἓξ εἰς ἀποτροφὴν αὐτῆς, ἐκέλευσε τῷ ἀνδρὶ φυλάττειν.

ΚΕΦ. ΙΑʹ.

Περὶ τῶν ἐν τοῖς χρόνοις ἐκείνοις τυράννων ἐπαναστάντων ἐν δύσει κατὰ Ὁνωρίου, καὶ πάντων ἄρδην ἀναιρεθέντων διὰ τὸ τοῦ βασιλέως θεοφιλές.

1 Ὑπὸ δὲ τοῦτον τὸν χρόνον, πολλῶν ἀνισταμένων[t] τυράννων ἐν τῇ πρὸς δύσιν ἀρχῇ, οἱ μὲν πρὸς ἀλλήλων πίπτοντες, οἱ δὲ παραδόξως συλλαμβανόμενοι, οὐ τὴν τυχοῦσαν ἐπεμαρτύρουν Ὁνωρίῳ θεοφίλειαν.
2 Πρῶτον μὲν γὰρ οἱ[u] ἐν Βρεττανίᾳ[x] στασιάσαντες στρατιῶται, ἀναγορεύουσι Μάρκον τύραννον· μετὰ δὲ

[q] Ita Christ. Vales. *νόμῳ* B. *τὸν κατὰ τὸν νόμον* Steph. Genev.

[r] *παλαίων* B. *πλεῖστα διαπαλαίων* Niceph.

[s] *θαυμάσας τὴν τῆς σωφροσύνης* C., quod natum videtur ex *αὐτὴν τῆς σωφροσύνης*, et bono quidem siquid mutandum sit.

[t] Ita B. Steph. Genev. *ἐπανισταμένων* Christ. Scal. Vales.

[u] Ita Christoph. fortasse e Niceph., et Vales. *οἱ ἐν τῇ* Zosim. vi. 2. *οἱ* om. B. Steph. Genev.

[x] *ἐν Ῥαβέννῃ* Niceph.

post eum cui legitime nupserat, alium virum experta superviveret. Sed cum barbarus adhuc terribilius irruens, nihil proficeret, admiratus castitatem mulieris, duxit eam in basilicam Petri apostoli. Cumque eam tradidisset ecclesiæ custodibus, simulque sex aureos ad victum ei comparandum; ut marito servaretur præcepit.

CAPUT XI.

De tyrannis qui eo tempore adversus Honorium in Occidente rebellarunt, et funditus deleti sunt, ob amorem Dei erga imperatorem.

Sub idem tempus cum multi in Occidentis partibus tyrannidem arripuissent, alii a se mutuo interfecti, alii præter omnium exspectationem capti, haud vulgarem Dei erga Honorium benevolentiam testificati sunt. Nam primum quidem milites qui erant in Britanniis, seditione facta, Marcum quendam imperatorem renuntiarunt.

τοῦτον Γρατιανὸν, ἀνελόντες Μάρκον· ἐπεὶ δὲ καὶ
οὗτος οὐ πλέον τεσσάρων μηνῶν διελθόντων ἐφονεύθη
παρ' αὐτῶν, πάλιν Κωνσταντῖνον χειροτονοῦσιν· οἰη-
θέντες καθότι ταύτην εἶχε προσηγορίαν, καὶ βεβαίως
3 αὐτὸν κρατήσειν τῆς βασιλείας. Ἐκ τοιαύτης γὰρ
αἰτίας φαίνονται καὶ τοὺς ἄλλους εἰς τυραννίδα ἐπι-
λεξάμενοι. Περαιωθεὶς δὲ Κωνσταντῖνος ἀπὸ Βρετ- 377
τανίας[y] ἐπὶ Βονονίαν[z] πόλιν τῆς Γαλατίας[a] παρὰ
θάλασσαν κειμένην, προσηγάγετο τοὺς παρὰ Γαλά-
ταις καὶ Ἀκουϊτανοῖς στρατιώτας· καὶ τοὺς τῇδε ὑπ-
ηκόους περιεποίησεν ἑαυτῷ, μέχρι τῶν μεταξὺ Ἰταλίας
καὶ Γαλατίας[b] ὅρων, ἃς Κοττίας Ἄλπεις Ῥωμαῖοι
4 καλοῦσι. Κώνσταντα δὲ τὸν πρεσβύτερον τῶν αὐτοῦ
υἱέων, ὃν ὕστερον βασιλέως σχῆμα ἐνέδυσε, Καίσαρα
τότε ἀναγορεύσας, πέπομφεν εἰς Σπανίαν[c]· ὁ δὲ, τὸ
ἔθνος καταλαβὼν, ἄρχοντας ἰδίους κατέστησε. Καὶ
δεσμίους αὐτῷ ἀχθῆναι προσέταξε Δίδυμον καὶ Βερε-
νιανὸν, τοὺς Ὁνωρίου συγγενεῖς· οἱ τὰ πρῶτα δια-

[y] ἐκ τῆς Βρεττανίας C.
[z] Ita B.C. Βοβονίαν cod. Fuk. Βουβονίαν editt. Conf. adnott.
[a] Γαλλίας J. Scal.
[b] Γαλατείας B.
[c] Ita B. Steph. Genev. Σπανίας tacite Vales. ἐπὶ τὴν Ἰβηρίαν Zosim.

Postea vero, occiso Marco, Gratianum elegerunt. Quo rursus, elapsis haud amplius quam quatuor mensibus, ab ipsis perempto, Constantinum eligunt: illum eo quod isto nomine vocaretur, constanter imperio potiturum arbitrati. Hac enim ex causa videntur alios quoque ad imperium elegisse. Porro Constantinus, cum ex Britannia trajecisset Bononiam, quæ urbs est Galliæ, ad mare sita, milites qui erant in Gallia et Aquitania, ad suas partes pertraxit. Omnesque earum regionum incolas imperio suo adjunxit, usque ad montes qui Galliam ab Italia dividunt, quas Romani Cottias Alpes nominant. Deinde Constantem filium suum majorem natu, quem postea Augustum creavit, tunc Cæsaris dignitate ornatum, misit in Hispaniam. Qui cum eam provinciam occupasset, rectores illic suarum partium constituit: et Didymum ac Verinianum Honorii propinquos, vinctos ad se adduci præcepit. Hi cum antea

φερόμενοι πρὸς ἑαυτοὺς, εἰς κίνδυνον καταστάντες ὡμονόησαν· καὶ πλῆθος ἀγροίκων καὶ οἰκετῶν συλλέξαντες, κοινῇ κατὰ τὴν Λυσιτανίαν παρετάξαντο, καὶ πολλοὺς ἀνεῖλον τῶν εἰς σύλληψιν αὐτῶν ἀποσταλέντων παρὰ τοῦ τυράννου στρατιωτῶν.

ΚΕΦ. ΙΒ'.

Περὶ Θεοδοσίου καὶ Λαγωδίου· περὶ Οὐανδάλων, καὶ Σουίβων ἐθνῶν· καὶ περὶ τοῦ θανάτου Ἀλαρίχου. Καὶ περὶ τῆς φυγῆς Κωνσταντίνου καὶ Κώνστα τῶν τυράννων.

1 Μετὰ δὲ ταῦτα συμμαχίας προστεθείσης τοῖς ἐναντίοις, ἐζωγρήθησαν, καὶ ἅμα ταῖς αὐτῶν γαμεταῖς ἀπήχθησαν, καὶ ὕστερον ἀνῃρέθησαν. Ἐν ἑτέραις δὲ ἐπαρχίαις διατρίβοντες Θεοδοσίωλος καὶ Λαγώδιος οἱ αὐτῶν ἀδελφοὶ, φεύγουσι τὴν πατρίδα· καὶ διασώζονται, Θεοδοσίωλος μὲν, εἰς Ἰταλίαν πρὸς Ὁνώριον τὸν βασιλέα[d]· Λαγώδιος δὲ, πρὸς Θεοδόσιον εἰς
2 ἀνατολήν. Καὶ ὁ μὲν Κώνστας ταῦτα διαπραξάμε-

[d] βασιλέως B. Ὁνώριον τοῦ βασιλέως Steph. Genev. emendav. Christoph. Curt. Vales. τὸν βασιλέως Scal.

inter se dissiderent, simul atque in periculum venerunt, ad pristinam redierunt concordiam: et collecta rusticorum ac servorum manu, cum copias suas junxissent, pugnam conseruerunt in Lusitania, multosque ex militibus qui ad ipsos capiendos a tyranno missi fuerant, interfecerunt.

CAPUT XII.

De Theodosiolo et Lagodio: et de gentibus Vandalorum et Suevorum. Item de morte Alarici, et de fuga Constantini et Constantis tyrannorum.

Postea vero cum adversarii auxiliaribus copiis aucti essent, Didymus et Verinianus capti, et una cum uxoribus suis abducti, nec multo post interempti sunt. Theodosiolus vero et Lagodius eorum fratres, qui in aliis provinciis degebant, patriam suam reliquere. Ac Theodosiolus quidem in Italiam confugit ad Honorium imperatorem: Lagodius vero in Orientis partes se recepit ad Theodosium. His rebus gestis, Constans ad patrem reversus

νος, ἐπανῆλθε πρὸς τὸν πατέρα, φρουρὰν[e] καταστή-
σας ἀπὸ τῶν στρατιωτῶν τῆς ἐπὶ τὰς Σπανίας παρό-
δου· ἣν δεομένοις Σπάνοις κατὰ τὸ ἀρχαῖον ἔθος φυ-
3 λάττειν, οὐκ ἐπέτρεψεν. Ὃ καὶ αἴτιον[f] γέγονε μετὰ
ταῦτα τῆς ἀπωλείας τῶν τῇδε· καταπεσούσης[g] γὰρ
τῆς Κωνσταντίνου δυνάμεως, ἀναλαβόντες ἑαυτοὺς
Οὐάνδαλοί τε καὶ Σουΐβοι καὶ Ἀλανοὶ, ἔθνη βάρβαρα,
τῆς παρόδου ἐκράτησαν, καὶ πολλὰ φρούρια καὶ πό-
λεις τῶν Ἱσπανῶν καὶ Γαλατῶν εἷλον, καὶ τοὺς ἄρ-
4 χοντας τοῦ τυράννου. Κωνσταντῖνος[h] δὲ τέως κατὰ
γνώμην πράττειν δοκῶν, Κώνσταντα τὸν υἱὸν ἀντὶ
Καίσαρος βασιλέα καταστήσας, ἐβουλεύετο[i] τὴν
Ἰταλίαν καταλαβεῖν· καὶ παραμείψας τὰς Κοττίας
Ἄλπεις, ἧκεν εἰς Λιβερῶνα πόλιν τῆς Λιγουρίας.
5 Μέλλων δὲ περαιοῦσθαι τὸν Ἠριδανὸν, τὴν αὐτὴν 378
ὁδὸν ἀνέστρεψε, μαθὼν τὸν Ἀλαβίχου[k] θάνατον· ὃν

[e] Ita Vales. e Niceph. φρουρὸν B. Steph. Genev.

[f] Ita B. αἴτιος post ταῦτα Steph. αἴτιον ante γέγονε inseruit Christoph. post quem αἴτιος omisit Vales. [αἴτιος ante γέγονε habet Vulc.]

[g] Hæc verba καταπεσούσης seqq. usque ad βάρβαρα recurrunt infra, fine capitis; ubi commodiorem locum habent, quantum ad historiam attinet.

[h] Κωνσταντῖνον B. Steph. Genev. emendav. Christoph. Vales.

[i] ἐβούλετο J. Christ. Scal. Niceph.

[k] Ἀλαρίχου C.

est, militum suorum præsidio ad custodiendos Hispaniarum aditus constituto. Petentibusque Hispanis ut ejus aditus custodia juxta antiquam consuetudinem ipsis concederetur, nequaquam id permisit. Quæ quidem res earum regionum incolis causa exitii postmodum fuit. Fractis enim Constantini viribus, gentes barbaræ, Vandali scilicet, Suevi, et Alani, resumpta fiducia, angustias illas occuparunt: multasque urbes et castella Hispaniæ et Galliarum, et tyranni duces ac comites cepere. Constantinus vero, cum res ipsi ex animi sententia succedere viderentur, filio Constante ex Cæsaris dignitate ad Augustum culmen evecto, Italiam occupare aggressus est. Cumque Alpes Cottias superasset, Veronam venit, urbem Liguriæ. Et cum Padum amnem jam trajecturus esset, eadem qua venerat via reversus est, comperta

δὴ στρατηγὸν Ὀνωρίου ὄντα, καὶ ὕποπτον ὡς Κων-
σταντίνῳ πραγματευόμενον πᾶσαν τὴν πρὸς τὴν δύ-
σιν ἡγεμονίαν, ἀναιρεθῆναι συνέβη τότε[1], προηγού-
μενον, ὡς ἔθος, ἐπανιόντος ἐκ προόδου τινὸς τοῦ κρα-
τοῦντος. Ἡνίκα δὴ καὶ ὁ βασιλεὺς αὐτίκα τοῦ ἵππου
ἀποβὰς, δημοσίᾳ εὐχαριστήρια τῷ Θεῷ ηὔξατο, ὡς
6 προφανοῦς ἐπιβούλου ἀπαλλαγείς. Κωνσταντῖνος δὲ
φεύγων, τὴν Ἀρήλατον[m] κατέλαβε· κατὰ ταυτὸν δὲ
καὶ Κώνστας ὁ αὐτοῦ παῖς φεύγων ἐκ τῆς Ἱσπανίας.
7 Καταπεσούσης γὰρ τῆς Κωνσταντίνου δυνάμεως,
ἀναλαβόντες ἑαυτοὺς Οὐανδαλοί τε καὶ Σουΐβοι καὶ
Ἀλανοὶ, σπουδῇ τὸ Πυρηναῖον ὄρος κατέλαβον, εὐ-
δαίμονα καὶ πλησιωτάτην τὴν χώραν ἀκούοντες.
Παρημεληκότων τε τῶν ἐπιτραπέντων παρὰ Κών-
σταντος τὴν φρουρὰν τῆς παρόδου, παρῆλθον εἰς
Ἱσπανίαν.

[1] τότε om. B. πᾶσαν—προηγούμενον et omnia quæ intercedunt om. Steph. suppl. Christ. Scal.

[m] Ἀριήλατον hic et infra, Niceph.

morte Alavici. Qui cum esset magister militum Honorii, eoque nomine suspectus quod universum Occidentis imperium in Constantinum transferre vellet, tunc forte occisus fuerat, cum imperatorem ex processu redeuntem, ut moris est, antecederet. Quo quidem tempore imperator, protinus ex equo desiliens, palam gratias egit Deo, quod manifesto insidiatore esset liberatus. Porro Constantinus fugiens, Arelatum se recepit. Eodemque tempore filius ejus Constans ex Hispania fugiens, illuc venit. Nam cum Constantini vires imminui cœpissent, Vandali, Suevi et Alani, resumptis animis Pyrenæum montem propere occupaverant, cum eam regionem fertilem atque opulentissimam esse didicissent. Et segnius agentibus iis quibus Constans transitus custodiam commiserat, in Hispaniam irruperunt.

ΚΕΦ. ΙΓʹ.

Περὶ Γεροντίου καὶ Μαξίμου, καὶ περὶ τῆς στρατιᾶς Ὁνωρίου, καὶ περὶ τῆς ἁλώσεως Γεροντίου, καὶ τῆς γυναικὸς αὐτοῦ, καὶ ὡς ἐφονεύθησαν.

1 Ἐν τούτῳ δὲ Γερόντιος ὁ τῶν Κωνσταντίνου
στρατηγῶν ἄριστος, δυσμενὴς αὐτῷ γέγονεν· ἐπιτή-
δειόν τε εἰς τυραννίδα Μάξιμον τὸν αὐτοῦ οἰκεῖον
νομίσας[n], βασιλικὴν ἐνέδυσεν ἐσθῆτα, καὶ ἐν Ταρα-
κόνῃ διάγειν εἴασεν. Αὐτὸς δὲ Κωνσταντίνῳ ἐπε-
στράτευσεν, ἐν παρόδῳ Κώνσταντα τὸν υἱὸν αὐτοῦ
2 ἐν Βιέννῃ ὄντα ἀναιρεθῆναι παρασκευάσας. Ἐπεὶ δὲ
ἔμαθε Κωνσταντῖνος τὰ κατὰ Μάξιμον, Ἐδόβιχον[o]
μὲν τὸν αὐτοῦ στρατηγὸν πέραν τοῦ Ῥήνου πέπομ-
φεν, Φράγκων τε καὶ Ἀλαμανῶν συμμαχίαν προ-
τρεψόμενον[p]· Κώνσταντι δὲ τῷ αὐτοῦ παιδὶ, Βιέν-
νης καὶ τῶν τῇδε πόλεων τὴν φυλακὴν ἐπέτρεψε.
3 Καὶ Γερόντιος μὲν ἐπὶ τὴν Ἀρήλατον ἐλάσας, ἐπο-
λιόρκει τὴν πόλιν. Μετ' οὐ πολὺ δὲ στρατιᾶς Ὁνω-

[n] Ita B. Steph. Genev. Niceph. Ταρρακόνῃ Vales.

[o] Christophorsonus et Savilius nescio quos codices secuti, Ἐβόδιχον emendarunt. Ego vero ex codice Fuketiano Ἐδόβιχον restitui. VALESIUS. Ita Scal. Ἐδόμιχον Steph. ubi μ perperam legitur pro β, Ἐδόχιμον Genev. Εὐδόβιχον Niceph.

[p] Ita C. προτρεψάμενον ceteri.

CAPUT XIII.

De Gerontio et Maximo, et de exercitu Honorii: et quomodo Gerontius cum uxore captus interfectusque est.

Inter hæc Gerontius omnium Constantini ducum fortissimus, hostis illi factus, Maximum familiarem suum quem imperio gerendo idoneum existimabat, imperiali veste induit, et Tarracone morari jussit. Ipse expeditione adversus Constantinum suscepta, obiter filium ejus Constantem qui Viennæ agebat, interfici curavit. Constantiuus vero cum defectionem Maximi comperisset, Edobicum ducem suum trans Rhenum direxit, ut Francorum et Alamannorum auxilia impetraret. Constanti autem filio suo, Viennæ et reliquarum illic urbium custodiam commisit. At Gerontius Arelatum profectus, eam obsidere aggressus est. Sed non multo post cum exercitus, Honorii contra tyrannum missus adve-

ρίου κατὰ τοῦ τυράννου παραγενομένης, ἧς ἡγεῖτο
Κωνστάντιος ὁ τοῦ Οὐαλεντινιανοῦ τοῦ βασιλέως 379
πατὴρ, φεύγει παραχρῆμα μετ' ὀλίγων στρατιωτῶν.
Οἱ γὰρ πλείους τοῖς ἀμφὶ τὸν Κωνστάντιον προσε-
4 χώρησαν. Οἱ δὲ ἐν Ἱσπανίᾳ στρατιῶται, εὐκαταφρό-
νητον ἀπὸ τῆς φυγῆς δόξαντα τὸν Γερόντιον, ἐβου-
λεύσαντο ἀνελεῖν· καὶ φραξάμενοι, νύκτωρ αὐτοῦ τὴν
οἰκίαν κατέδραμον. Ὁ δὲ, μεθ' ἑνὸς Ἀλανοῦ ἐπιτη-
δείου, καὶ ὀλίγων οἰκετῶν, ἄνωθεν τοξεύων, ὑπὲρ τοὺς
τριακοσίους ἀναιρεῖ στρατιώτας. Ἐπιλειψάντων δὲ
τῶν βελῶν, φεύγουσιν οἱ οἰκέται, καθέντες αὑτοὺς τοῦ
5 οἰκήματος λάθρα. Γερόντιος δὲ τὸν ἶσον τρόπον δια-
σωθῆναι δυνάμενος, οὐχ εἵλετο, κατασχεθεὶς ἔρωτι
Νουνιχίας[q] τῆς αὐτοῦ γαμετῆς. Περὶ δὲ τὴν ἕω πῦρ
ἐμβαλόντων τῇ οἰκίᾳ τῶν στρατιωτῶν, οὐκ ἔχων
λοιπὸν σωτηρίας ἐλπίδα, ἑκόντος τοῦ συνόντος αὐτῷ
6 Ἀλανοῦ ἀποτέμνει τὴν κεφαλήν· μετὰ δὲ ταῦτα
καὶ τῆς ἰδίας γαμετῆς ὀλοφυρομένης, καὶ μετὰ δα-

[q] Apud Nicephorum in xiv. 6. scriptum est Νουννχίας. Sed non dubito quin scribendum fit Νουνεχίας. Est enim nomen proprium mulieris Nunechia. VALESIUS.

nisset duce Constantio, qui pater fuit Valentiniani Augusti, Gerontius cum paucis militibus statim fugam arripuit. Major enim pars eorum ad Constantium transfugerat. Porro Hispanienses milites, Gerontium ob eam fugam contemnendum rati, consilium de eo interficiendo ceperunt; noctuque obsessa ejus domo, impetum in eum fecerunt. Verum Gerontius cum uno Alano familiari suo paucisque admodum servulis, tela ex superiori domus parte conjiciens, supra trecentos milites interemit. Sed cum sagittæ defecissent, servi quidem aufugerunt, clam semetipsos demittentes ex domo. Gerontius vero, cum et ipse pari modo posset evadere, Nunechiæ conjugis amore detentus, id facere recusavit. Luce orta, cum milites ignem in domum injecissent, ipse nullam amplius spem salutis relictam videns, Alano comiti suo, id volenti, caput abscidit. Posthæc suæ quoque uxori lamentanti, et cum lacrymis semetipsam gladio admoventi, poscentique ut priusquam

κρύων προσωθούσης ἑαυτὴν τῷ ξίφει, καὶ πρὶν ὑφ' ἑτέροις γενέσθαι, παρὰ τοῦ ἀνδρὸς ἀποθανεῖν αἰτούσης, καὶ τοῦτο[r] δῶρον ὕστατον παρ' αὐτοῦ λαβεῖν
7 ἀντιβολούσης. Καὶ ἡ μὲν γυνὴ, ἀνδρείᾳ τῆς θρησκείας ἐπαξίως φανεῖσα, ἦν γὰρ Χριστιανὴ, ὧδε τέθνηκε, κρείττονα λήθης τὴν περὶ αὐτῆς μνήμην τῷ χρόνῳ παραδοῦσα. Γερόντιος δὲ τρίτον ἑαυτὸν τῷ ξίφει παίσας, ὡς οὐ καιρίαν λαβὼν ᾔσθετο, σπασάμενος τὸ παρὰ τὸν μηρὸν ξιφίδιον, κατὰ τῆς καρδίας ἤλασε.

ΚΕΦ. ΙΔ'.

Περὶ Κωνσταντίνου καὶ τῆς στρατιᾶς Ὀνωρίου, καὶ Ἐδοβίχου τοῦ στρατηγοῦ· καὶ ἧττα Ἐδοβίχου ὑπὸ Οὐλφίλα τοῦ συστρατηγοῦ Κωνσταντίνου, καὶ φόνος αὐτοῦ.

1 Κωνσταντῖνος δὲ περικαθημένης τῆς Ὀνωρίου στρατιᾶς, ἔτι πρὸς τὴν πολιορκίαν ἀντεῖχεν, ἀγγελθέντος Ἐδοβίχου μετὰ πλείστης συμμαχίας ἥξειν. Τοῦτο δὲ καὶ τοὺς Ὀνωρίου στρατηγοὺς οὐ μετρίως ἐφόβει· βουλευσαμένων τε αὐτῶν ἀναστρέφειν εἰς Ἰταλίαν, κἀκεῖ πειραθῆναι τοῦ πολέμου, καὶ ἐπειδὴ

[r] τοῦτο τὸ Vales.

in aliorum potestatem veniret, viri sui dextra moreretur; utque hoc extremum munus ab ipso acciperet oranti, itidem caput amputavit. Ita virilis animi mulier dignum religione sua exitum sortita, erat enim Christiana, sempiternam sui memoriam posteris dereliquit. Gerontius vero, cum se tertio percussisset, nec tamen letale vulnus accepisse sentiret, stricto pugione quem ad femur habebat, cor suum transfixit.

CAPUT XIV.

De Constantino, et de exercitu Honorii: et de Edobico magistro militum: quomodo ab Ulphila duce qui cum Constantio missus fuerat, victus ac peremptus fuerit.

Interim circumsidente Arelatum Honorii exercitu, Constantinus adhuc obsidionem sustinebat, cum ei nuntiatum esset, Edovicum cum ingentibus auxiliis adventare. Quod quidem etiam Honorii duces magnopere terrebat: adeo ut in Italiam reverti,

τοῦτο συνεδόκει, πλησίον ἀγγελθέντος Ἐδοβίχου[s],
2 *περῶσι Ῥοδανὸν τὸν ποταμόν. Καὶ Κωνστάντιος
μὲν ἔχων τοὺς πεζοὺς, ἐπιόντας περιμένει τοὺς πολε-
μίους· Οὐλφίλας δὲ ὁ Κωνσταντίου συστρατηγὸς,
οὐ πόρρωθεν ἀποκρυβεὶς μετὰ τῶν ἱππέων ἐλάνθανεν.
Ἐπεὶ δὲ παραμείψαντες οἱ πολέμιοι τοῦ Οὐλφίλα τῇ
στρατιᾷ, ἔμελλον εἰς χεῖρας ἰέναι τῶν ἀμφὶ τὸν Κων-
στάντιον, σημείου δοθέντος, ἐξαπίνης ἀναφανεὶς Οὐλ-
φίλας, κατὰ νώτου τῶν πολεμίων ἤλαυνεν· αὐτίκα τε
τροπῆς γενομένης, οἱ μὲν φεύγουσιν*[t], *οἱ δ' ἀναιροῦν-
ται, οἱ δὲ πλείους τὰ ὅπλα ἀποθέμενοι συγγνώμην*
3 *ᾔτησαν, καὶ φειδοῦς ἠξιώθησαν. Ἐδόβιχος*[u] *δὲ ἵπ-
που ἐπιβὰς, ἔφυγεν εἰς ἀγρόν τινα πρὸς Ἐκδίκιον*[x]
*τὸν κεκτημένον, πλεῖστα παρ' αὐτοῦ Ἐδοβίχου πρό-
τερον εὐηργετημένον, καὶ φίλον νομιζόμενον. Ὁ δὲ,
τὴν αὐτοῦ κεφαλὴν ἀποτεμὼν, προσφέρει τοῖς Ὀνω-
ρίου στρατηγοῖς, ἐπ' ἐλπίδι μεγάλων δώρων καὶ τι-* 380
4 *μῆς. Κωνστάντιος δὲ, τὴν μὲν κεφαλὴν δεχθῆναι*

[s] Pro Ἐδοβίχου habet Ἡριδήνου C.

[t] Ita B. φεύγουσι editt.

[u] Ἐβόδιχος B.

[x] Ἐκδίχιον alia manu supplet. in lacuna B.

atque illic bellum gerere jam pararent. Cumque id consilium placuisset, nunciato protinus Edovici adventu, et quod is in proximo castra haberet, ipsi Rhodanum amnem trajiciunt. Et Constantius quidem qui pedestres copias ductabat, adventum hostium opperiebatur. Ulfila vero Constantii collega, haud procul abditus cum equitatu subsidebat. Postquam hostes exercitum Ulfilæ prætergressi, jam cum militibus Constantii pugnam inituri erant, repente signo dato prorumpens Ulfila, hostes a tergo invadit. Statimque disjectis eorum copiis, alii in fugam versi, alii occisi: plurimi armis abjectis veniam poscentes, salutem consequuti sunt. Edovicus autem conscenso equo, in agrum quendam profugit, ad Ecdicium ejus possessorem, qui multis olim beneficiis ab Edovico affectus, amicus illi esse putabatur. Verum Ecdicius caput Edovici amputatum ad Honorii duces detulit maxima ab illis munera et honorem se adepturum sperans. Con-

προσέταξε, χάριν ἔχειν Ἐκδικίῳ τὸ δημόσιον εἰπὼν τῆς Οὐλφίλα[y] πράξεως· συνεῖναι δὲ σπουδάζοντα αὐτὸν, ἀναχωρεῖν ἐκέλευσεν, οὐκ ἀγαθὴν ἡγησάμενος κακοῦ ξενοδόχου τὴν συνουσίαν ἔσεσθαι αὐτῷ ἢ τῇ στρατιᾷ. Καὶ ὁ μὲν, φίλου ἀνδρὸς καὶ ξένου ἐν δυσπραγίᾳ διακειμένου ἀνοσιώτατον φόνον τολμήσας, κατὰ κενῆς, τοῦτο δὴ τοῦ λόγου, χανὼν ἀπῆλθε.

ΚΕΦ. ΙΕʹ.

Περὶ τῆς ἀποθέσεως τῶν βασιλικῶν σημείων Κωνσταντίνου, καὶ ὡς ἐχειροτονήθη πρεσβύτερος· καὶ θάνατος αὐτοῦ ὕστερον, καὶ τῶν ἄλλων τυράννων τῶν ἐπαναστάντων Ὀνωρίῳ.

1 Μετὰ δὲ τὴν νίκην ἀντιπεραιωθείσης αὖθις πρὸς τὴν πόλιν τῆς Ὀνωρίου στρατιᾶς, μαθὼν Κωνσταντῖνος ἀναιρεῖσθαι[z] Ἐδόβιχον, αὐτὸς ἐξ ἑαυτοῦ[a] τὴν ἁλουργίδα καὶ τὰ σύμβολα τῆς βασιλείας ἀπέθετο· καὶ καταλαβὼν τὴν ἐκκλησίαν, χειροτονεῖται πρεσβύ-
2 τερος. Ὅρκους τε πρότερον λαβόντες οἱ ἔσω τειχῶν,

[y] Οὐλφίλα om. Niceph. Conf. adnott.

[z] Scribendum est ἀνῃρεῖσθαι. VALESIUS.

[a] αὐτὸς ἑαυτῷ B. Steph. Genev. ἐξ ἑαυτοῦ tacite nescio quo auctore Vales.

stantius vero caput quidem accipi jussit, dicens rempublicam gratias agere Ulfilæ ob facinus Ecdicii. Sed cum Ecdicius apud ipsum manere vellet, abscedere eum jussit: nec sibi, nec exercitui commodam fore ratus consuetudinem ejus viri, qui tam male hospites suos exciperet. Ita Ecdicius, cum hominis amici atque hospitis adversa fortuna usi nefariam cædem perpetrare ausus fuisset, incassum hians, ut vulgo dici solet, abscessit.

CAPUT XV.

Quomodo Constantinus insignia imperii deposuerit, et presbyter factus fuerit. Ejusdem cædes, et aliorum qui adversus Honorium rebellaverant.

Post hanc victoriam, cum exercitus Honorii trajecto iterum amne ad obsidionem urbis revertisset, Constantinus cognita Edovici cæde, purpuram et reliqua imperii insignia sponte deposuit. Cumque ad ecclesiam venisset, illic presbyter ordinatus est. Obsessi vero, accepta prius jurisjurandi fide, portas aperiunt, et uni-

ἀνοιγουσι τὰς πύλας, καὶ φειδοῦς ἀξιοῦνται πάντες. Καὶ τὸ ἐξ ἐκείνου πάλιν τὸ τῇδε ὑπήκοον, εἰς τὴν Ὀνωρίου ἡγεμονίαν ἐπανῆλθε· καὶ τοῖς ὑπ' αὐτὸν
3 ἄρχουσιν ἐπείθετο. Κωνσταντῖνος δὲ ἅμα Ἰουλιανῷ τῷ παιδὶ παραπεμφθεὶς εἰς Ἰταλίαν, πρὶν φθάσαι, κατὰ τὴν ὁδὸν κτίννυται. Οὐ πολλῷ δὲ ὕστερον ἀδοκήτως ἀναιροῦνται Ἰοβιανός[b] τε καὶ Μάξιμος οἱ προειρημένοι τύραννοι, καὶ Σάρος, καὶ ἄλλοι πλεῖστοι ἐπὶ τούτοις, ἐπιβουλεύσαντες τῇ Ὀνωρίου βασιλείᾳ.

ΚΕΦ. Ιϛʹ. 381

Περὶ τῆς τοῦ κρατοῦντος Ὀνωρίου θεοφιλείας, καὶ τῆς τελευτῆς αὐτοῦ, καὶ περὶ τῶν διαδόχων αὐτοῦ, Οὐαλεντινιανοῦ, καὶ Ὀνωρίας τῆς θυγατρός· καὶ περὶ τῆς τότε κοσμικῆς εἰρήνης.

1 Ταῦτα δὲ καταλέγειν, οὐκ ἐπὶ[c] τοῦ παρόντος καιροῦ· ὅμως δ' οὖν ἀναγκαίως ἐμνήσθην, ὡς ἂν ἔχοιμεν[d] εἰδέναι, ἀρκεῖν βασιλεῖ πρὸς φυλακὴν τοῦ κρά-

[b] Scribendum est Ἰοβῖνος. VALESIUS. Ἰωβιανὸς Philostorg. Ἰοβιανὸς Niceph. Ἰοβῖνος Olympiod.

[c] Assentior Henrico Savilio, qui ad latus sui codicis emendavit ἐστί. VALESIUS.

[d] ἔχομεν B. Steph. Genev. tacite emendavit Vales.

versi veniam consequuti sunt. Atque ex eo tempore hæ omnes provinciæ sub potestatem Honorii rediere, et ducibus ac rectoribus illius deinceps paruere. Constantinus porro una cum Juliano filio in Italiam missus, antequam eo pervenisset, in itinere est occisus. Nec multo post Jovinus et Maximus tyranni, quorum superius mentionem fecimus, ex improviso interfecti sunt: Sarus item et alii præterea complures, qui Honorii imperio fuerant insidiati.

CAPUT XVI.

De Divini numinis erga Honorium benevolentia; et de ejusdem obitu. Item de successoribus illius, Valentiniano scilicet et Honoria filia. Et de pace quæ tunc fuit ubique terrarum.

Sed hæc singillatim recensere, non est hujus loci. Obiter tamen commemoranda esse duxi, ut ex iis perspicere possemus, imperatori ad custodiam imperii sufficere, si studiosus sit Divini numinis cultor: cujusmodi certe fuit imperator iste. Degebat

τους, ἐπιμελῶς τὸ θεῖον πρεσβεύειν, ὁποῖος καὶ οὑτοσὶ
2 ὁ βασιλεὺς ἐγένετο. Τούτῳ δὲ συνῆν καὶ Γάλλα
Πλακιδία, ὁμοπατρία αὐτοῦ ἀδελφὴ, παραπλησίως
πολὺν ποιουμένη λόγον τῆς θρησκείας[e] καὶ τῶν ἐκ-
κλησιῶν. Ἄγεται δὲ ταύτην Κωνστάντιος ὁ τὴν
Κωνσταντίνου τυραννίδα καθελὼν, ἀνὴρ μαχιμώτατος
καὶ στρατηγικός· ὃν ὁ βασιλεὺς γεραίρων, τῇ ἀδελφῇ
στεφάνῳ[f] καὶ ἀλουργίδι καὶ τῇ κοινωνίᾳ τοῦ κράτους
ἐτίμησεν. Ὀλίγον δὲ χρόνον ἐπιβιώσας ἐτελεύτησεν,
Οὐαλεντινιανὸν τὸν Ὀνωρίου[g] διάδοχον καὶ Ὀνωρίαν
3 παῖδας καταλιπών. Ἐν τούτῳ δὲ, τὰ μὲν πρὸς ἕω
τῆς ἀρχομένης πολεμίων ἀπήλλακτο, καὶ σὺν κόσμῳ
πολλῷ τὰ τῇδε ἰθύνετο παρὰ[h] τὴν πάντων δόξαν· ἦν
4 γὰρ ἔτι νέος ὁ κρατῶν. Ἐδόκει δὲ ὁ Θεὸς προφανῶς
ἥδεσθαι τῇ παρούσῃ βασιλείᾳ, οὐ μόνον ἐξ ἀπροσδο-
κήτου τὰ περὶ τοὺς πολέμους ὧδε διατεθεὶς, ἀλλὰ καὶ
πολλῶν ἐπὶ εὐσεβείᾳ πάλαι εὐδοκιμηκότων τὰ ἱερὰ

e τῆς θρησκείας καὶ τῶν ἐκκλησιῶν om. B. Steph. supplev. Christoph. Curt. Scal. Vales.

f Interpretes post vocem ἀδελφῇ subdistictionem adhibent. Mihi tamen durior videtur hæc τῇ ἀδελφῇ ἐτίμησε. Quare locum hunc ita restituendum puto, ὃν ὁ βασιλεὺς, γεραίρων τὴν ἀδελφὴν, στεφάνῳ καὶ ἀλουργίδι ἐτίμησεν. VALESIUS.

g τὸν Ὀνωρίου om. C.

h περὶ B.

cum illo Galla Placidia soror, eodem patre nata: ipsa quoque religionis et ecclesiarum maximam curam gerens. Eam uxorem duxit Constantius, is qui Constantini tyrannidem extinxerat, vir strenuus et rei bellicæ peritissimus. Quem imperator remunerans, sororis conjugio, et purpura ac diademate, imperiique consortio honoravit. Verum hic cum exiguo tempore supervixisset, defunctus est; relictis liberis, Valentiniano qui postea in imperio successit, et Honoria. Per idem tempus Orientis imperium hostibus penitus vacuum erat, et præter omnium expectationem summo cum decore respublica illic gerebatur. Quippe imperator adhuc infirma ætate erat. Sed Deus præsenti tum imperio delectari videbatur, quippe qui non solum bellicos motus præter omnium sententiam hujusmodi exitu terminaverit, verum etiam multorum qui sanctitatis causa olim celebres exstitissent, sacra

σώματα ἀναφαίνων· οἷον δὴ καὶ τότε γενέσθαι συνέβη ἐπὶ Ζαχαρίᾳ τῷ παλαιοτέρῳ προφήτῃ, καὶ Στεφάνῳ τῷ διακόνῳ χειροτονηθέντι παρὰ τῶν ἀποστόλων. Ἑκατέρου δὲ τῆς εὑρέσεως παραδόξου καὶ θείας οὔσης, ἀναγκαῖον εἰπεῖν τὸν τρόπον.

ΚΕΦ. ΙΖ'.

Περὶ τῆς εὑρέσεως Ζαχαρίου τοῦ προφήτου, καὶ Στεφάνου τοῦ πρωτομάρτυρος.

1 Ἄρξομαι δὲ τοῦ προφήτου. Χαφὰρ[i] Ζαχαρία, κώμη ἐστὶν ἐν ὁρίοις Ἐλευθεροπόλεως τῆς Παλαιστίνης. Ἐπετρόπευε δὲ ταύτην Καλήμερός τις ὁμόδουλος τῷ ἀγρῷ· εὔνους μὲν τῷ κεκτημένῳ, χαλεπὸς δὲ καὶ δύσκολος, καὶ περὶ τοὺς ὁμόρους ἀγροίκους
2 ἄδικος. Τοιούτῳ δὲ ὄντι ὕπαρ ἐπιστὰς ὁ προφήτης, ἑαυτὸν κατεμήνυσε· καὶ κῆπον τινὰ ἐπιδείξας, Ἄγε δὴ ἐνθάδε ὄρυξον δύο πήχεις, ἔφη, ἀναμετρήσας ἀπὸ τῆς 382

[i] Assentior Nicephoro ac Savilio, qui vocem Ζαχαρία delet. Nicephorus in eo vico natum esse Zachariam scribit. VALESIUS. Χωφὰρ Niceph. Male nomen Zachariæ omitteretur; nam Χαφὰρ, כְּפַר, Hebraice *pagus* est; quæ vox multis nominibus præfigi solet; et per hæc loci distinguuntur, quibus vox Caphar, sive vicus, sive urbs, communis est; ut Capharnachum, vel Capharsaba. Vid. Reland. Palæstin. p. 682 seqq.: ubi tamen locus iste Capharzacharia non reperitur.

corpora patefecerit. Cujusmodi illud est quod tunc temporis evenit in Zacharia, vetustissimo propheta, et in Stephano diacono, ab apostolis ordinato. Utriusque autem inventio cum admiranda sit ac plane divina, quomodo acciderit, necessario exponendum est.

CAPUT XVII.

De inventione Zachariæ prophetæ et Stephani protomartyris.

Ordiar autem a propheta. Chaphar Zachariæ vicus est in finibus Eleutheropolis, urbis Palæstinæ. Hujus procurator erat Calemerus quidam, addictus glebæ: domino quidem suo fidus: sed gravis ac morosus, et erga finitimos rusticos injustus. Hujusmodi cum esset, tamen propheta vigilanti apparens, seipsum manifestavit. Ostensoque quodam horto: Hic, inquit, fodito, mensura duorum cubitorum ducta a maceria in hortum, secus viam

*αἱμασιᾶς ἐπὶ τὸν κῆπον, παρὰ τὴν ὁδὸν τὴν ἐπὶ Βιθ-
θερέβιν*[k] *τὴν πόλιν*[l] *ἄγουσαν· εὑρήσεις δὲ λάρνακα
διπλῆν, ξυλίνην τὴν ἔνδον, ἐν μολυβδίνῃ τῇ ἔξωθεν·
ἀμφὶ δὲ τὴν λάρνακα, ὑέλινον*[m] *σκεῦος πλῆρες ὑδά-
των, καὶ δύο ὄφεις μεγέθει μετρίους, καὶ πρᾳους καὶ*
3 *ἀβλαβεῖς, ὡς δοκεῖν χειροήθεις εἶναι. Κατὰ δὲ τὴν
σύνταξιν τοῦ προφήτου παραγενόμενος Καλήμερος
ἐπὶ τὸν δηλωθέντα τόπον, σπουδῇ τοῦ ἔργου εἴχετο.
Ὑπὸ δὲ τοῖς προειρημένοις συμβόλοις ἀνακαλυφθεί-
σης τῆς ἱερᾶς θήκης, ἀνεφάνη ὁ θεῖος προφήτης, λευ-
κὴν στολὴν ἠμφιεσμένος, οἷά γε οἶμαι καὶ ἱερεὺς ὤν·
ὑπὸ δὲ τοὺς πόδας αὐτοῦ ἔξωθεν τῆς λάρνακος, παι-
δίον ἔκειτο βασιλικῆς ἠξιωμένον ταφῆς· εἶχε μὲν
γὰρ, ἐπὶ μὲν τῆς κεφαλῆς, χρυσοῦν στέφανον, χρυσᾶ*
4 *δὲ τὰ ὑποδήματα, καὶ τὴν ἐσθῆτα τιμίαν. Ἀπορούν-
των δὲ τῶν τότε σοφῶν καὶ ἱερέων περὶ τούτου τοῦ
παιδίου, τίς τε εἴη καὶ πόθεν, καὶ οὗ χάριν*[n] *τοιάδε
ἠμφίεστο, λέγεται Ζαχαρίαν τὸν ἡγούμενον τῆς ἐν*

[k] Ita Vales. e Βιθθερέμου codicis Fuk. Βιθρερέβιν B. Steph. Genev. Niceph. Relandus citat a Sozomeno Βιθθερέβιν; de quo subdit, "videtur esse Ἐρεβίνθων οἶκος apud Josephum, voce ex Ἐρεβὶν et Βὴθ composita, et Ἐρεμίνθα Eusebii." Palæstin. p. 664.

[l] τὴν κωμην C.

[m] ὑάλινον J. Christ. Scal.

[n] Lege τοῦ χάριν.

quæ ducit ad urbem Bitthereman. Reperies autem arcam duplicem: interiorem quidem ligneam; plumbeam vero exteriorem: et circa arcam vas vitreum aqua plenum: duos item angues mediocri magnitudine, mites atque innoxios; ita ut mansueti esse videantur. Igitur Calemerus ex prophetæ mandato ad locum monstratum profectus, manum operi admovere cœpit. Cumque juxta signa quæ supra retulimus, sacra capsa aperta fuisset, apparuit divinus propheta, alba veste indutus, quippe qui sacerdos etiam, ut opinor, fuisset. Porro sub pedibus illius, extra arcam tamen, infans jacebat regia sepultura honoratus. Habebat enim auream coronam in capite: aurea item calceamenta et vestem pretiosam. Cumque sapientes et sacerdotalis ordinis viri de hoc puero ambigerent, quisnam et unde esset, et quam ob causam ejusmodi veste amictus esset, aiunt Zachariam qui tum monasterio

Γεράροις μοναχικῆς συνοικίας, Ἑβραίων παλαιᾷ[o] πε-
ριτυχεῖν γραφῇ, οὐ τῶν ἐκκλησιαζομένων. Ἐδήλου
δὲ ὡς ἡνίκα Ζαχαρίαν τὸν προφήτην ἀνεῖλεν Ἰωὰς ὁ
τῆς Ἰουδαίας βασιλεύς, οὐκ εἰς μακρὰν περὶ τὸν οἶκον
5 χαλεπῇ ἐχρήσατο συμφορᾷ. Ἑβδόμῃ γὰρ ἡμέρᾳ τῆς
ἀναιρέσεως τοῦ προφήτου, ἐξαπίνης αὐτῷ μάλα κεχα-
ρισμένος ὁ παῖς ἀπολώλει. Συμβαλὼν δὲ κατὰ θεο-
μηνίαν τῷ τοιούτῳ παθήματι περιπεσεῖν, ὑπὸ τοὺς
πόδας αὐτοῦ τὸ μειράκιον ἔθαψεν, ἀπολογούμενος
ταύτῃ ὑπὲρ ὧν εἰς αὐτὸν ἥμαρτε. Καὶ τὰ μὲν ὧδε
6 ἔγνων. Ὁ δὲ προφήτης καίπερ πρὸ[p] πλείστων γε-
νεῶν ὑπὸ γῆν κείμενος, σῶος ἀνεφάνη, ἐν χρῷ κεκαρ-
μένος, εὐθύρρις, γενειάδα μετρίως καθειμένην ἔχων,
τὴν δὲ κεφαλὴν βραχυτέραν, καὶ τοὺς ὀφθαλμοὺς ὀλί-
γον ἐν βάθει ταῖς ὀφρύσι καλυπτομένους.

Τέλος σὺν τῇ ἁγίᾳ Τριάδι[q].

[o] Ita B. Steph. Genev. Niceph. Ἑβραίᾳ καὶ παλαιᾷ nescio quo auctore Vales.

[p] πρὸ om. B. Steph. inseruit Christoph. Vales.

[q] Τέλος τῆς θ ἐκκλησιαστικῆς ἱστορίας Ἑρμείου Σωζομένου Σαλαμινίου καὶ ὅλης αὐτοῦ πραγματείας ἐν τόμοις θ' καὶ κεφαλαίοις ὅλοις ,σμζ. man. recent. minio script. B.

in Geraris præerat, vetustum quendam Hebræorum librum, non tamen canonicum, forte nactum esse. Scriptum erat in eo libro, Joas regem Judæorum, cum Zachariam prophetam interfecisset, non multo post domi acerbissima calamitate perculsum fuisse. Septimo enim die post necem prophetæ, filius ipsi jucundissimus repentina morte interiit. Cumque eam calamitatem Dei indignatione sibi invectam esse conjiceret, puerum sub pedibus prophetæ humari præcepit: hoc modo satisfaciens pro his quæ adversus prophetam commiserat. Atque hæc quidem ita accepi. Cæterum prophetes, licet multis ante ætatibus sub terra conditus fuisset, integer nihilominus apparuit, ad cutem tonsus, naso recto, barba modice promissa, capite breviore: oculos habens paululum cavos, et superciliis obtectos.



INDEX RERUM.

N. B. Numerorum figuræ, quibus loci in Indice signantur, hunc in modum legendæ sunt; e. g.

i. 2, 1, 2, 3. . . . . i. e. libro primo, capite secundo, sectionibus 1, 2, 3.

ii. 2, 1. ib. 11. . . . . . . i. e. libro secundo, capite secundo, sectione prima, et eodem capite, sectione undecima.

E.

H.

T.

U. & V.

Z.